GREEK SERIES · VOLUME 86

Argonautica

Apollonius of Rhodes

ΑΡΓΟΝΑΥΤΙΚΑ

Argonautica

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 86 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Seaton's text of the Argonautica, 1900

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

BOOK I

I.1 · The Prologue 7
I.2 · The Catalog of Heroes 9
I.3 · The Departure and the Choice of a Leader 24
I.4 · Sacrifice and the Song of Orpheus 36
I.5 · The Sailing 45
I.6 · The Women of Lemnos and the Cloak 52
I.7 · Hypsipyle and Heracles' Rebuke 64
I.8 · Samothrace and Cyzicus 74
I.9 · Rhea and the Broken Oar 86
I.10 · Hylas 93
I.11 · Heracles Left Behind 100

BOOK II

II.1 · The Boxing Match with Amycus 107
II.2 · Phineus and the Harpies 120
II.3 · The Prophecy of Phineus 130
II.4 · The Clashing Rocks 147
II.5 · Thynias and Apollo 155
II.6 · Lycus and the Deaths of Idmon and Tiphys 160
II.7 · The Coast of the Pontus 173

BOOK II

(continued)

II.8 · The Island of Ares 182
II.9 · The Sons of Phrixus and the Arrival in Colchis 189

BOOK III

III.1 · Hera, Athena, and Aphrodite 203
III.2 · Jason Goes to Aeetes 215
III.3 · Eros Strikes Medea 223
III.4 · The Heroes' Counsel 235
III.5 · Medea and Chalciope 247
III.6 · Medea's Night 257
III.7 · Medea Prepares 263
III.8 · The Meeting at Hecate's Temple 272
III.9 · The Rites at Midnight 287
III.10 · The Bulls and the Earthborn Men 296

BOOK IV

IV.1 · Medea's Flight and the Fleece 307
IV.2 · The Colchians Pursue 320
IV.3 · The Murder of Apsyrtus 329
IV.4 · The Colchians Scattered 342
IV.5 · The Eridanus and the Rhone 347
IV.6 · Circe 355
IV.7 · Hera and Thetis 362
IV.8 · The Sirens and the Wandering Rocks 371
IV.9 · The Phaeacians 379
IV.10 · The Syrtis 392
IV.11 · The Carrying of the Argo 404
IV.12 · Triton 415
IV.13 · Talos and the Homecoming 426

BOOK I

I.1 · THE PROLOGUE

The poet begins from Phoebus to recall the men who sailed the Argo through the mouth of the Pontus and the Cyanean rocks for the golden fleece, at King Pelias' command. An oracle had warned Pelias of a man with one sandal, and Jason, losing a sandal in the flooded Anaurus on his way to a feast Pelias was holding for Poseidon, came before him so. Pelias at once devised the voyage, so that Jason might lose his homecoming at sea or among strangers.

Ἀρχόμενος σέο, Φοῖβε, παλαιγενέων κλέα φωτῶν
Beginning from-you Phoebus of-long-ago-born glorious-deeds of-men
μνήσομαι, οἳ Πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας
I-will-recall who of-Pontus through mouth and through rocks
Κυανέας βασιλῆος ἐφημοσύνῃ Πελίαο
Cyanean of-king at-the-bidding of-Pelias
χρύσειον μετὰ κῶας ἐύζυγον ἤλασαν Ἀργώ.
golden after fleece well-benched drove Argo
Τοίην γὰρ Πελίης φάτιν ἔκλυεν, ὥς μιν ὀπίσσω 5
Such for Pelias report heard how him hereafter
μοῖρα μένει στυγερή, τοῦδ' ἀνέρος, ὅντιν' ἴδοιτο
fate awaits hateful of-this man whomever he-should-see
δημόθεν οἰοπέδιλον, ὑπ' ἐννεσίῃσι δαμῆναι.
from-the-people one-sandaled by the-promptings to-be-subdued
δηρὸν δ' οὐ μετέπειτα †τεὴν† κατὰ βάξιν Ἰήσων
long and not afterward (corrupt)-your according-to report Jason
χειμερίοιο ῥέεθρα κιὼν διὰ ποσσὶν Ἀναύρου
wintry streams crossing through on-foot of-Anaurus

ἄλλο μὲν ἐξεσάωσεν ὑπ᾽ ἰλύος, ἄλλο δ᾽ ἔνερθεν
one indeed saved from mud the-other and below
κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν.
left there sandal held-fast in-the-floods
ἵκετο δ᾽ ἐς Πελίην αὐτοσχεδὸν ἀντιβολήσων
came and to Pelias straightway to-be-going-to-partake
εἰλαπίνης, ἣν πατρὶ Ποσειδάωνι καὶ ἄλλοις
the-feast which to-father Poseidon and other
ῥέζε θεοῖς, Ἥρης δὲ Πελασγίδος οὐκ ἀλέγιζεν.
he-offered gods of-Hera and Pelasgian not he-took-heed
αἶψα δὲ τόνγ᾽ ἐσιδὼν ἐφράσσατο, καί οἱ ἄεθλον
quickly and him having-seen he-pondered and for-him a-contest
ἔντυε ναυτιλίης πολυκηδέος, ὄφρ᾽ ἐνὶ πόντῳ
devised of-voyage of-many-troubles so-that on sea
ἠὲ καὶ ἀλλοδαποῖσι μετ᾽ ἀνδράσι νόστον ὀλέσσῃ.
or also foreign among men return he-might-lose

Νῆα μὲν οὖν οἱ πρόσθεν ἐπικλείουσιν ἀοιδοὶ
Ship indeed then the former celebrate bards
Ἄργον Ἀθηναίης καμέειν ὑποθημοσύνῃσιν.
Argus of-Athena to-have-built by-the-instructions
νῦν δ᾽ ἂν ἐγὼ γενεήν τε καὶ οὔνομα μυθησαίμην
now and — I lineage both and name would-tell
ἡρώων, δολιχῆς τε πόρους ἁλός, ὅσσα τ᾽ ἔρεξαν
of-heroes of-long and paths of-sea how-many-things and they-did
πλαζόμενοι· Μοῦσαι δ᾽ ὑποφήτορες εἶεν ἀοιδῆς.
wandering Muses and interpreters may-they-be of-song

The poet names the heroes who came to help Jason: Orpheus, whom Calliope bore and whose songs moved rocks and oaks; Asterion, Polyphemus, Iphiclus, Admetus, Echion, Erytus, Aethalides, Coronus, the seer Mopsus, Eurydamas, Menoetius, Eurytion, Eribotes, Oileus, Canthus, Clytius and Iphitus, Telamon and Peleus, Butes, Phalerus, Tiphys, Phlias, Talaus, Areius and Leodocus, Heracles with Hylas, Nauplius, Idmon, Castor and Polydeuces, Lynceus and Idas, Periclymenus, Amphidamas and Cepheus, Ancaeus, Augeas, Asterius and Amphion, Euphemus, Erginus and Ancaeus, Meleager with Laocoon, Iphiclus, Pylaemonius, Iphitus, Zetes and Calais, and Acastus and Argus.

Πρῶτά νυν Ὀρφῆος μνησώμεθα, τόν ῥά ποτ' αὐτὴ
First now of-Orpheus let-us-make-mention whom then once herself
Καλλιόπη Θρήικι φατίζεται εὐνηθεῖσα
Calliope with-Thracian is-said having-lain
Οἰάγρῳ σκοπιῆς Πιμπληίδος ἄγχι τεκέσθαι. 25
with-Oeagrus of-the-height Pimpleian near to-have-borne
αὐτὰρ τόνγ' ἐνέπουσιν ἀτειρέας οὔρεσι πέτρας
but him they-tell unyielding on-mountains rocks
θέλξαι ἀοιδάων ἐνοπῇ ποταμῶν τε ῥέεθρα.
to-have-charmed of-songs by-the-sound of-rivers and streams
φηγοὶ δ' ἀγριάδες, κείνης ἔτι σήματα μολπῆς,
oaks and wild of-that still tokens of-song
ἀκτῆς Θρηικίης Ζώνης ἔπι τηλεθόωσαι
of-the-shore Thracian of-Zone on flourishing
ἑξείης στιχόωσιν ἐπήτριμοι, ἃς ὅγ' ἐπιπρὸ 30
in-order stand-in-rows close-set which he forward
θελγομένας φόρμιγγι κατήγαγε Πιερίηθεν.
charmed by-the-lyre led-down from-Pieria

Ὀρφέα μὲν δὴ τοῖον ἑῶν ἐπαρωγὸν ἀέθλων
Orpheus indeed truly such of-his-own helper of-labors
Αἰσονίδης Χείρωνος ἐφημοσύνῃσι πιθήσας
son-of-Aeson of-Chiron to-the-bidding having-obeyed
δέξατο, Πιερίῃ Βιστωνίδι κοιρανέοντα.
received in-Pieria Bistonian ruling
Ἦλυθε δ' Ἀστερίων αὐτοσχεδόν, ὅν ῥα Κομήτης
Came and Asterion straightway whom then Cometes
γείνατο δινήεντος ἐφ' ὕδασιν Ἀπιδανοῖο,
begot of-eddying by waters of-Apidanus
Πειρεσιὰς ὄρεος Φυλληίου ἀγχόθι ναίων,
Peiresiae of-mountain Phyllean near dwelling
ἔνθα μὲν Ἀπιδανός τε μέγας καὶ δῖος Ἐνιπεὺς
there indeed Apidanus both great and divine Enipeus
ἄμφω συμφορέονται, ἀπόπροθεν εἰς ἓν ἰόντες.
both flow-together from-afar into one going
Λάρισαν δ' ἐπὶ τοῖσι λιπὼν Πολύφημος ἵκανεν
Larisa and after these having-left Polyphemus came
Εἰλατίδης, ὃς πρὶν μὲν ἐρισθενέων Λαπιθάων,
son-of-Elatus who formerly indeed of-the-mighty Lapiths
ὁππότε Κενταύροις Λαπίθαι ἐπὶ θωρήσσοντο,
when Centaurs Lapiths against were-arming
ὁπλότερος πολέμιζε· τότ' αὖ βαρύθεσκέ οἱ ἤδη
younger fought then in-turn were-heavy for-him now
γυῖα, μένεν δ' ἔτι θυμὸς ἀρήιος, ὡς τὸ πάρος περ.
limbs remained and still heart warlike as — before indeed

Οὐδὲ μὲν Ἴφικλος Φυλάκῃ ἔνι δηρὸν ἔλειπτο,
Nor indeed Iphiclus Phylace in long was-left
μήτρως Αἰσονίδαο· κασιγνήτην γὰρ ὄπυιεν
uncle of-the-son-of-Aeson sister for had-wed
Ἄϊσων Ἀλκιμέδην Φυλακηίδα· τῆς μιν ἀνώγει
Aeson Alcimede daughter-of-Phylacus her him bade
πηοσύνη καὶ κῆδος ἐνικρινθῆναι ὁμίλῳ.
kinship and affinity to-be-numbered with-the-company
Οὐδὲ Φεραῖς Ἄδμητος ἐυρρήνεσσιν ἀνάσσων
Nor at-Pherae Admetus rich-in-sheep ruling
μίμνεν ὑπὸ σκοπιὴν ὄρεος Χαλκωδονίοιο.
remained under the-peak of-mountain Chalcodonian
Οὐδ' Ἀλόπῃ μίμνον πολυλήιοι Ἑρμείαο
Nor at-Alope remained rich-in-corn of-Hermes
υἱέες εὖ δεδαῶτε δόλους, Ἔρυτος καὶ Ἐχίων,
sons well skilled-in wiles Erytus and Echion
τοῖσι δ' ἐπὶ τρίτατος γνωτὸς κίε νισσομένοισιν
them and with third brother went setting-out
Αἰθαλίδης· καὶ τὸν μὲν ἐπ' Ἀμφρυσσοῖο ῥοῇσιν
Aethalides and him indeed by of-Amphrysus streams
Μυρμιδόνος κούρη Φθιὰς τέκεν Εὐπολέμεια·
of-Myrmidon daughter Phthian bore Eupolemeia
τὼ δ' αὖτ' ἐκγεγάτην Μενετηίδος Ἀντιανείρης.
the-two and in-turn were-born of-Menetes'-daughter Antianeira
Ἦλυθε δ' ἀφνειὴν προλιπὼν Γυρτῶνα Κόρωνος
Came and wealthy having-left Gyrton Coronus
Καινείδης, ἐσθλὸς μέν, ἑοῦ δ' οὐ πατρὸς ἀμείνων.
son-of-Caeneus noble indeed his-own but not than-father better

Καινέα γὰρ ζῶόν περ ἔτι κλείουσιν ἀοιδοὶ
Caeneus for living though still celebrate bards
Κενταύροισιν ὀλέσθαι, ὅτε σφέας οἷος ἀπ' ἄλλων
by-Centaurs to-have-perished when them alone from other
ἤλασ' ἀριστήων· οἱ δ' ἔμπαλιν ὁρμηθέντες
he-drove of-chiefs they and back having-rushed
οὔτε μιν ἀγκλῖναι προτέρω σθένον, οὔτε δαΐξαι·
neither him to-bend further were-able nor to-slay
ἀλλ' ἄρρηκτος ἄκαμπτος ἐδύσετο νειόθι γαίης,
but unbroken unbending he-sank beneath of-earth
θεινόμενος στιβαρῇσι καταΐγδην ἐλάτῃσιν.
being-struck with-sturdy downward with-pines
Ἦλυθε δ' αὖ Μόψος Τιταρήσιος, ὃν περὶ πάντων
Came and in-turn Mopsus Titaresian whom above all
Λητοΐδης ἐδίδαξε θεοπροπίας οἰωνῶν·
son-of-Leto taught the-prophecies of-birds
ἠδὲ καὶ Εὐρυδάμας Κτιμένου πάις· ἄγχι δὲ λίμνης
and also Eurydamas of-Ctimenus son near and the-lake
Ξυνιάδος Κτιμένην Δολοπηίδα ναιετάασκεν.
Xynian Ctimene Dolopian dwelt-in
Καὶ μὴν Ἄκτωρ υἱα Μενοίτιον ἐξ Ὀπόεντος
And truly Actor son Menoetius from Opus
ὦρσεν, ἀριστήεσσι σὺν ἀνδράσιν ὄφρα νέοιτο.
roused chieftains with men so-that he-might-go
Εἵπετο δ' Εὐρυτίων τε καὶ ἀλκήεις Ἐρυβώτης,
Followed and Eurytion both and valiant Eribotes
υἷες ὁ μὲν Τελέοντος, ὁ δ' Ἴρου Ἀκτορίδαο·
sons the-one indeed of-Teleon the-other and of-Irus of-the-son-of-Actor
ἤτοι ὁ μὲν Τελέοντος ἐυκλειὴς Ἐρυβώτης,
truly the-one indeed of-Teleon famous Eribotes

Ἴρου δ' Εὐρυτίων. σὺν καὶ τρίτος ἦεν Ὀιλεύς,
of-Irus and Eurytion with and third was Oileus
ἔξοχος ἠνορέην καὶ ἐπαΐξαι μετόπισθεν
pre-eminent in-courage and to-rush-on from-behind
εὖ δεδαὼς δῄοισιν, ὅτε κλίνωσι φάλαγγας.
well skilled at-the-foes when they-turn the-ranks
Αὐτὰρ ἀπ' Εὐβοίης Κάνθος κίε, τόν ῥα Κάνηθος
But from Euboea Canthus went whom then Canethus
πέμπεν Ἀβαντιάδης λελιημένον· οὐ μὲν ἔμελλεν
sent son-of-Abas eager not indeed he-was-to
νοστήσειν Κήρινθον ὑπότροπος. αἶσα γὰρ ἦεν
to-be-going-to-return to-Cerinthus coming-back fate for was
αὐτὸν ὁμῶς Μόψον τε δαήμονα μαντοσυνάων
him alike Mopsus and skilled of-prophecies
πλαγχθέντας Λιβύης ἐνὶ πείρασι δῃωθῆναι.
having-wandered of-Libya in ends to-be-slain
ὡς οὐκ ἀνθρώποισι κακὸν μήκιστον ἐπαυρεῖν,
as not for-men evil most-remote to-reach
ὁππότε κἀκείνους Λιβύῃ ἔνι ταρχύσαντο,
when them-too Libya in they-buried
τόσσον ἑκὰς Κόλχων, ὅσσον τέ περ ἠελίοιο
so-much far from-Colchians as — indeed of-the-sun
μεσσηγὺς δύσιές τε καὶ ἀντολαὶ εἰσορόωνται.
between settings both and risings are-seen
Τῷ δ' ἄρ' ἐπὶ Κλυτίος τε καὶ Ἴφιτος ἠγερέθοντο,
Him and then after Clytius both and Iphitus gathered
Οἰχαλίης ἐπίουροι, ἀπηνέος Εὐρύτου υἷες,
of-Oechalia wardens of-cruel of-Eurytus sons

Εὐρύτου, ᾧ πόρε τόξον Ἑκηβόλος· οὐδ' ἀπόνητο
of-Eurytus to-whom gave a-bow the-Far-shooter nor had-he-profit
δωτίνης· αὐτῷ γὰρ ἑκὼν ἐρίδηνε δοτῆρι.
of-the-gift with-the-very for willingly he-contended giver
Τοῖσι δ' ἐπ' Αἰακίδαι μετεκίαθον· οὐ μὲν ἅμ' ἄμφω,
Them and after sons-of-Aeacus went not indeed together both
οὐδ' ὁμόθεν· νόσφιν γὰρ ἀλευάμενοι κατένασθεν
nor from-the-same-place apart for fleeing they-settled
Αἰγίνης, ὅτε Φῶκον ἀδελφεὸν ἐξενάριξαν
from-Aegina when Phocus brother they-slew
ἀφραδίῃ. Τελαμὼν μὲν ἐν Ἀτθίδι νάσσατο νήσῳ·
in-folly Telamon indeed in Atthis dwelt island
Πηλεὺς δὲ Φθίῃ ἐνὶ δώματα ναίε λιασθείς.
Peleus and Phthia in house dwelt having-withdrawn
Τοῖς δ' ἐπὶ Κεκροπίηθεν ἀρήιος ἦλυθε Βούτης,
Them and after from-Cecropia warlike came Butes
παῖς ἀγαθοῦ Τελέοντος, ἐυμμελίης τε Φάληρος.
son of-good Teleon good-at-the-ash-spear and Phalerus
Ἄλκων μιν προέηκε πατὴρ ἑός· οὐ μὲν ἔτ' ἄλλους
Alcon him sent-forth father his-own not indeed still other
γήραος υἷας ἔχεν βιότοιό τε κηδεμονῆας.
of-old-age sons he-had of-life and guardians
ἀλλά ἑ τηλύγετόν περ ὁμῶς καὶ μοῦνον ἐόντα
but him late-born though alike and only being
πέμπεν, ἵνα θρασέεσσι μεταπρέποι ἡρώεσσιν.
he-sent so-that among-the-bold he-might-shine heroes
Θησέα δ', ὃς περὶ πάντας Ἐρεχθεΐδας ἐκέκαστο,
Theseus and who above all sons-of-Erechtheus excelled
Ταιναρίην ἀίδηλος ὑπὸ χθόνα δεσμὸς ἔρυκεν,
Taenarian unseen beneath land bond held-back

Πειρίθῳ ἑσπόμενον κοινὴν ὁδόν· ἦ τέ κεν ἄμφω
Pirithous following common road truly — — both
ῥηίτερον καμάτοιο τέλος πάντεσσιν ἔθεντο.
easier of-the-toil end for-all would-have-made
Τῖφυς δ' Ἁγνιάδης Σιφαέα κάλλιπε δῆμον
Tiphys and son-of-Hagnias Siphaean left people
Θεσπιέων, ἐσθλὸς μὲν ὀρινόμενον προδαῆναι
of-Thespians good indeed rising to-know-beforehand
κῦμ' ἁλὸς εὐρείης, ἐσθλὸς δ' ἀνέμοιο θυέλλας
wave of-sea broad good and of-wind the-storms
καὶ πλόον ἠελίῳ τε καὶ ἀστέρι τεκμήρασθαι.
and course by-sun both and by-star to-judge
αὐτή μιν Τριτωνὶς ἀριστήων ἐς ὅμιλον
herself him Tritonian of-chiefs to company
ὧρσεν Ἀθηναίη, μετὰ δ' ἤλυθεν ἐλδομένοισιν.
roused Athena among and he-came eager-ones
αὐτὴ γὰρ καὶ νῆα θοὴν κάμε· σὺν δέ οἱ Ἄργος
herself for also ship swift built with and her Argus
τεῦξεν Ἀρεστορίδης κείνης ὑποθημοσύνῃσιν.
fashioned son-of-Arestor of-her by-the-instructions
τῷ καὶ πασάων προφερεστάτη ἔπλετο νηῶν,
therefore also of-all most-excellent was of-ships
ὅσσαι ὑπ' εἰρεσίῃσιν ἐπειρήσαντο θαλάσσης.
as-many-as under oars made-trial of-the-sea
Φλίας δ' αὖτ' ἐπὶ τοῖσιν Ἀραιθυρέηθεν ἵκανεν,
Phlias and in-turn after them from-Araethyrea came
ἔνθ' ἀφνειὸς ἔναιε Διωνύσοιο ἑκητι,
where wealthy he-dwelt of-Dionysus by-the-will
πατρὸς ἑοῦ, πηγῇσιν ἐφέστιος Ἀσωποῖο.
father of-his-own by-the-springs at-home of-Asopus

Ἀργόθεν αὖ Ταλαὸς καὶ Ἀρήιος, υἷε Βίαντος,
From-Argos in-turn Talaus and Areius sons of-Bias
ἦλυθον ἴφθιμός τε Λεώδοκος, οὓς τέκε Πηρὼ
came mighty and Leodocus whom bore Pero
Νηληίς· τῆς δ' ἀμφὶ δύην ἐμόγησε βαρεῖαν
daughter-of-Neleus her and for hardship toiled heavy
Αἰολίδης σταθμοῖσιν ἐν Ἰφίκλοιο Μελάμπους.
son-of-Aeolus the-stalls in of-Iphiclus Melampus
Οὐδὲ μὲν οὐδὲ βίην κρατερόφρονος Ἡρακλῆος
Nor indeed even the-might of-stout-hearted Heracles
πευθόμεθ' Αἰσονίδαο λιλαιομένου ἀθερίξαι.
do-we-learn of-the-son-of-Aeson eager to-have-slighted
ἀλλ' ἐπεὶ ἄιε βάξιν ἀγειρομένων ἡρώων,
but when he-heard the-report of-gathering heroes
νεῖον ἀπ' Ἀρκαδίης Λυρκήιον Ἄργος ἀμείψας
newly from Arcadia Lyrceian Argos having-come
τὴν ὁδόν, ᾗ ζωὸν φέρε κάπριον, ὅς ῥ' ἐνὶ βήσσης
the road by-which alive he-carried the-boar which then in glens
φέρβετο Λαμπείης, Ἐρυμάνθιον ἂμ μέγα τῖφος,
fed of-Lampeia Erymanthian over great swamp
τὸν μὲν ἐνὶ πρώτῃσι Μυκηναίων ἀγορῇσιν
him indeed in first of-Mycenaeans assemblies
δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεθήκατο νώτων·
with-bonds bound from-great put-down shoulders
αὐτὸς δ' ᾗ ἰότητι παρὲκ νόον Εὐρυσθῆος
himself and by-his-own will against mind of-Eurystheus
ὥρμήθη· σὺν καί οἱ Ὕλας κίεν, ἐσθλὸς ὀπάων,
set-out with and him Hylas went noble squire
πρωθήβης, ἰῶν τε φορεὺς φύλακός τε βιοῖο.
in-early-youth of-arrows both bearer guardian and of-bow

Τῷ δ' ἐπὶ δὴ θείοιο κίεν Δαναοῖο γενέθλη,
Him and after indeed of-divine went of-Danaus offspring
Ναύπλιος. ἦ γὰρ ἔην Κλυτονήου Ναυβολίδαο·
Nauplius truly for was of-Clytoneus of-the-son-of-Naubolus
Ναύβολος αὖ Λέρνου· Λέρνον γε μὲν ἴδμεν ἐόντα
Naubolus in-turn of-Lernus Lernus indeed indeed we-know being
Προίτου Ναυπλιάδαο· Ποσειδάωνι δὲ κούρη
of-Proetus of-the-son-of-Nauplius to-Poseidon and maiden
πρίν ποτ' Ἀμυμώνη Δαναΐς τέκεν εὐνηθεῖσα
formerly once Amymone daughter-of-Danaus bore having-lain
Ναύπλιον, ὃς περὶ πάντας ἐκαίνυτο ναυτιλίῃσιν.
Nauplius who above all excelled in-seafaring
Ἴδμων δ' ὑστάτιος μετεκίαθεν, ὅσσοι ἔναιον
Idmon and last came of-those-who dwelt
Ἄργος, ἐπεὶ δεδαὼς τὸν ἑὸν μόρον οἰωνοῖσιν
Argos since knowing the his-own fate by-birds
ἤιε, μή οἱ δῆμος ἐυκλείης ἀγάσαιτο.
he-went lest to-him the-people fair-fame might-grudge
οὐ μὲν ὅγ' ἦεν Ἄβαντος ἐτήτυμον, ἀλλά μιν αὐτὸς
not indeed he was of-Abas truly but him himself
γείνατο κυδαλίμοις ἐναρίθμιον Αἰολίδῃσιν
begot glorious to-be-numbered-among Aeolids
Λητοΐδης· αὐτὸς δὲ θεοπροπίας ἐδίδαξεν
son-of-Leto himself and prophecies taught
οἰωνούς τ' ἀλέγειν ἠδ' ἔμπυρα σήματ' ἰδέσθαι.
birds and to-heed and burnt signs to-see
Καὶ μὴν Αἰτωλὶς κρατερὸν Πολυδεύκεα Λήδη
And truly Aetolian strong Polydeuces Leda
Κάστορά τ' ὠκυπόδων ὦρσεν δεδαημένον ἵππων
Castor and of-swift-footed roused skilled of-horses

Σπάρτηθεν· τοὺς δ' ἥγε δόμοις ἔνι Τυνδαρέοιο
from-Sparta them and she house in of-Tyndareus
τηλυγέτους ὠδῖνι μιῇ τέκεν· οὐδ' ἀπίθησεν
dearly-loved in-travail one bore nor disobeyed
νισσομένοις· Ζηνὸς γὰρ ἐπάξια μήδετο λέκτρων.
going-ones of-Zeus for worthy she-planned of-bed
Οἵ τ' Ἀφαρητιάδαι Λυγκεὺς καὶ ὑπέρβιος Ἴδας
The and sons-of-Aphareus Lynceus and overweening Idas
Ἀρήνηθεν ἔβαν, μεγάλῃ περιθαρσέες ἀλκῇ
from-Arene went in-great very-confident strength
ἀμφότεροι· Λυγκεὺς δὲ καὶ ὀξυτάτοις ἐκέκαστο
both Lynceus and also with-sharpest excelled
ὄμμασιν, εἰ ἐτεόν γε πέλει κλέος, ἀνέρα κεῖνον
eyes if truly indeed is the-report man that
ῥηιδίως καὶ νέρθε κατὰ χθονὸς αὐγάζεσθαι.
easily even beneath under earth to-discern
Σὺν δὲ Περικλύμενος Νηλήιος ὦρτο νέεσθαι,
With and Periclymenus son-of-Neleus set-out to-go
πρεσβύτατος παίδων, ὅσσοι Πύλῳ ἐξεγένοντο
eldest of-sons as-many-as at-Pylos were-born
Νηλῆος θείοιο· Ποσειδάων δέ οἱ ἀλκὴν
of-Neleus divine Poseidon and to-him strength
δῶκεν ἀπειρεσίην ἠδ' ὅττι κεν ἀρήσαιτο
gave boundless and whatever — he-should-pray-for
μαρνάμενος, τὸ πέλεσθαι ἐνὶ ξυνοχῇ πολέμοιο.
fighting that to-be in close-press of-war
Καὶ μὴν Ἀμφιδάμας Κηφεύς τ' ἴσαν Ἀρκαδίηθεν,
And truly Amphidamas Cepheus and went from-Arcadia
οἳ Τεγέην καὶ κλῆρον Ἀφειδάντειον ἔναιον,
who Tegea and lot Apheidantean inhabited

υἷε δύω Ἀλεοῦ· τρίτατός γε μὲν ἕσπετ' ἰοῦσιν
sons two of-Aleus third indeed indeed followed going-ones
Ἀγκαῖος, τὸν μέν ῥα πατὴρ Λυκόοργος ἔπεμπεν,
Ancaeus him indeed then father Lycurgus sent
τῶν ἄμφω γνωτὸς προγενέστερος. ἀλλ' ὁ μὲν ἤδη
of-them both brother elder but he indeed now
γηράσκοντ' Ἀλεὸν λίπετ' ἂμ πόλιν ὄφρα κομίζοι,
aging Aleus he-left in city so-that he-might-tend
παῖδα δ' ἑὸν σφετέροισι κασιγνήτοισιν ὄπασσεν.
son and his-own to-his-own brothers he-gave
βῆ δ' ὅγε Μαιναλίης ἄρκτου δέρος, ἀμφίτομόν τε
went and he of-Maenalian bear skin double-edged and
δεξιτερῇ πάλλων πέλεκυν μέγαν. ἔντεα γάρ οἱ
in-right-hand brandishing axe great arms for him
πατροπάτωρ Ἀλεὸς μυχάτῃ ἐνέκρυψε καλιῇ,
grandfather Aleus in-innermost hid granary
αἴ κέν πως ἔτι καὶ τὸν ἐρητύσειε νέεσθαι.
if — somehow still also him he-might-keep to-go

Βῆ δὲ καὶ Αὐγείης, ὃν δὴ φάτις Ἠελίοιο
Went and also Augeas whom indeed report of-Helios
ἔμμεναι· Ἠλείοισι δ' ὅγ' ἀνδράσιν ἐμβασίλευεν,
to-be among-Eleans and he men ruled
ὄλβῳ κυδιόων· μέγα δ' ἵετο Κολχίδα γαῖαν
in-wealth glorying greatly and longed Colchian land
αὐτόν τ' Αἰήτην ἰδέειν σημάντορα Κόλχων.
himself and Aeetes to-see ruler of-Colchians

Ἀστέριος δὲ καὶ Ἀμφίων Ὑπερασίου υἷες
Asterius and also Amphion of-Hyperasius sons
Πελλήνης ἀφίκανον Ἀχαιίδος, ἣν ποτε Πέλλης
of-Pellene came Achaean which once Pelles
πατροπάτωρ ἐπόλισσεν ἐπ᾽ ὀφρύσιν Αἰγιαλοῖο.
grandfather founded on brows of-Aegialus
Ταίναρον αὖτ᾽ ἐπὶ τοῖσι λιπὼν Εὔφημος ἵκανεν,
Taenarus in-turn after them having-left Euphemus came
τόν ῥα Ποσειδάωνι ποδωκηέστατον ἄλλων
whom then to-Poseidon swiftest-footed of-others
Εὐρώπη Τιτυοῖο μεγασθενέος τέκε κούρη.
Europa of-Tityus mighty bore daughter
κεῖνος ἀνὴρ καὶ πόντου ἐπὶ γλαυκοῖο θέεσκεν
that man even of-sea over gray used-to-run
οἴδματος, οὐδὲ θοοὺς βάπτεν πόδας, ἀλλ᾽ ὅσον ἄκροις
of-swell nor swift dipped feet but just with-tips
ἴχνεσι τεγγόμενος διερῇ πεφόρητο κελεύθῳ.
of-feet wetted on-watery was-borne path
Καὶ δ᾽ ἄλλω δύο παῖδε Ποσειδάωνος ἵκοντο·
And and other two sons of-Poseidon came
ἤτοι ὁ μὲν πτολίεθρον ἀγαυοῦ Μιλήτοιο
truly the-one indeed citadel of-noble Miletus
νοσφισθεὶς Ἐργῖνος, ὁ δ᾽ Ἰμβρασίης ἕδος Ἥρης,
having-left Erginus the-other and of-Imbrasian seat of-Hera
Παρθενίην, Ἀγκαῖος ὑπέρβιος· ἴστορε δ᾽ ἄμφω
Parthenian Ancaeus overweening skilled and both
ἠμὲν ναυτιλίης ἠδ᾽ ἄρεος εὐχετόωντο.
both of-seafaring and of-war boasted

Οἰνείδης δ' ἐπὶ τοῖσιν ἀφορμηθεὶς Καλυδῶνος
son-of-Oeneus and after them having-set-out from-Calydon
ἀλκήεις Μελέαγρος ἀνήλυθε, Λαοκόων τε,
valiant Meleager came Laocoon and
Λαοκόων Οἰνῆος ἀδελφεός, οὐ μὲν ἰῆς γε
Laocoon of-Oeneus brother not indeed of-one indeed
μητέρος· ἀλλά ἑ θῆσσα γυνὴ τέκε· τὸν μὲν ἄρ' Οἰνεὺς
mother but him serving woman bore him indeed then Oeneus
ἤδη γηραλέον κοσμήτορα παιδὸς ἔλλεν·
now aged guardian of-son sent
ὣδ' ἔτι κουρίζων περιθαρσέα δῦνεν ὅμιλον
so still being-a-boy very-bold entered company
ἡρώων. τοῦ δ' οὔτιν' ὑπέρτερον ἄλλον ὀίω,
of-heroes than-him and none higher other I-think
νόσφιν γ' Ἡρακλῆος, ἐπελθέμεν, εἴ κ' ἔτι μοῦνον
apart-from indeed Heracles to-have-come if — still one
αὖθι μένων λυκάβαντα μετετράφη Αἰτωλοῖσιν.
there remaining year he-had-been-reared among-Aetolians
καὶ μήν οἱ μήτρως αὐτὴν ὁδόν, εὖ μὲν ἄκοντι,
and truly him uncle the-same way well indeed with-javelin
εὖ δὲ καὶ ἐν σταδίῃ δεδαημένος ἀντιφέρεσθαι,
well and also in close-fight skilled to-face
Θεστιάδης Ἴφικλος ἐφωμάρτησε κιόντι.
son-of-Thestius Iphiclus accompanied going
Σὺν δὲ Πυλαιμόνιος Λέρνου πάις Ὠλενίοιο,
With and Pylaemonius of-Lernus son Olenian
Λέρνου ἐπίκλησιν, γενεήν γε μὲν Ἡφαίστοιο·
of-Lernus by-name by-descent indeed indeed of-Hephaestus

τούνεκ᾽ ἔην πόδα σιφλός· ἀτὰρ δέμας οὔ κέ τις ἔτλη
therefore was in-foot lame but body not — any would-dare
ἠνορέην τ᾽ ὀνόσασθαι, ὃ καὶ μεταρίθμιος ἦεν
manliness and to-scorn wherefore also numbered-among was
πᾶσιν ἀριστήεσσιν, Ἰήσονι κῦδος ἀέξων.
all chiefs for-Jason glory increasing
Ἐκ δ᾽ ἄρα Φωκήων κίεν Ἴφιτος Ὀρνυτίδαο
From and then Phocians came Iphitus of-the-son-of-Ornytus
Ναυβόλου ἐκγεγαώς· ξεῖνος δέ οἱ ἔσκε πάροιθεν,
of-Naubolus sprung guest and to-him was before
ἧμος ἔβη Πυθώδε θεοπροπίας ἐρεείνων
when he-went to-Pytho prophecies asking
ναυτιλίης· τόθι γάρ μιν ἑοῖς ὑπέδεκτο δόμοισιν.
of-voyage there for him in-his-own received house
Ζήτης αὖ Κάλαΐς τε Βορήιοι υἷες ἵκοντο,
Zetes in-turn Calais and of-Boreas sons came
οὓς ποτ᾽ Ἐρεχθηὶς Βορέῃ τέκεν Ὠρείθυια
whom once daughter-of-Erechtheus to-Boreas bore Orithyia
ἐσχατιῇ Θρῄκης δυσχειμέρου· ἔνθ᾽ ἄρα τήνγε
at-the-edge of-Thrace wintry there then her
Θρηίκιος Βορέης ἀνερέψατο Κεκροπίηθεν
Thracian Boreas snatched-up from-Cecropia
Ἰλισσοῦ προπάροιθε χορῷ ἔνι δινεύουσαν.
Ilissus before dance in whirling
καί μιν ἄγων ἔκαθεν, Σαρπηδονίην ὅθι πέτρην
and her leading far Sarpedonian where rock
κλείουσιν, ποταμοῖο παρὰ ῥόον Ἐργίνοιο,
they-call of-river beside stream of-Erginus
λυγαίοις ἐδάμασσε περὶ νεφέεσσι καλύψας.
in-dark he-subdued around in-clouds having-covered

τὼ μὲν ἐπ᾽ ἀκροτάτοισι ποδῶν ἑκάτερθεν ἐρεμνὰς
the-two indeed on topmost of-feet on-either-side dark
σεῖον ἀειρομένω πτέρυγας, μέγα θάμβος ἰδέσθαι,
shook rising wings great marvel to-see
χρυσείαις φολίδεσσι διαυγέας· ἀμφὶ δὲ νώτοις
with-golden with-scales gleaming about and backs
κράατος ἐξ ὑπάτοιο καὶ αὐχένος ἔνθα καὶ ἔνθα
of-head from top and of-neck here and there
κυάνεαι δονέοντο μετὰ πνοιῇσιν ἔθειραι.
dark were-tossed with breezes hair
Οὐδὲ μὲν οὐδ᾽ αὐτοῖο πάις μενέαινεν Ἄκαστος
Nor indeed even himself son was-eager Acastus
ἰφθίμου Πελίαο δόμοις ἔνι πατρὸς ἑῆος
of-mighty Pelias house in of-father his-own
μιμνάζειν, Ἄργος τε θεᾶς ὑποεργὸς Ἀθήνης·
to-tarry Argus and of-goddess helper Athena
ἀλλ᾽ ἄρα καὶ τὼ μέλλον ἐνικρινθῆναι ὁμίλῳ.
but then also the-two were-to to-be-numbered with-the-company
Τόσσοι ἄρ᾽ Αἰσονίδῃ συμμήστορες ἠγερέθοντο.
So-many then with-son-of-Aeson counselors gathered
τοὺς μὲν ἀριστῆας Μινύας περιναιετάοντες
them indeed chiefs Minyae dwellers-around
κίκλησκον μάλα πάντας, ἐπεὶ Μινύαο θυγατρῶν
called very all since of-Minyas of-daughters
οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ᾽ αἵματος εὐχετόωντο
the most and best from blood boasted
ἔμμεναι· ὣς δὲ καὶ αὐτὸν Ἰήσονα γείνατο μήτηρ
to-be so and also himself Jason bore mother
Ἀλκιμέδη, Κλυμένης Μινυηίδος ἐκγεγαυῖα.
Alcimede of-Clymene daughter-of-Minyas born

The townsfolk crowd to watch the heroes march to the ship, praying for their success, and the women pity Jason's mother. Alcimede embraces her son and laments, while old Aeson lies at home; Jason comforts her and goes out like Apollo from his temple. At Pagasae Acastus and Argus join the heroes, and Jason bids them choose the best man as leader. All look to Heracles, who refuses and names Jason, and the heroes haul the Argo down to the sea on rollers.

Αὐτὰρ ἐπεὶ δμώεσσιν ἐπαρτέα πάντ᾽ ἐτέτυκτο,
But when by-the-servants ready all had-been-made
ὅσσα περ ἐντύνονται ἐπαρτέες ἔνδοθι νῆες,
as-many-as indeed are-equipped-with ready within ships
εὖτ᾽ ἂν ἄγῃ χρέος ἄνδρας ὑπεὶρ ἅλα ναυτίλλεσθαι,
when — leads need men over sea to-sail
δὴ τότ᾽ ἴσαν μετὰ νῆα δι᾽ ἄστεος, ἔνθα περ ἀκταὶ
indeed then went to ship through town where indeed shores
κλείονται Παγασαὶ Μαγνήτιδες· ἀμφὶ δὲ λαῶν
are-called Pagasae Magnesian around and of-people
πληθὺς σπερχομένων ἄμυδις θέεν· οἱ δὲ φαεινοὶ
crowd of-the-hastening together ran they and shining
ἀστέρες ὣς νεφέεσσι μετέπρεπον· ὧδε δ᾽ ἕκαστος
stars as among-clouds were-conspicuous thus and each
ἔννεπεν εἰσορόων σὺν τεύχεσιν ἀίσσοντας·
said gazing with arms darting
"Ζεῦ ἄνα, τίς Πελίαο νόος; πόθι τόσσον ὅμιλον
O-Zeus lord what of-Pelias purpose where so-great a-throng
ἡρώων γαίης Παναχαιΐδος ἔκτοθι βάλλει;
of-heroes of-land Panachaean out-of throws

αὐτῆμάρ κε δόμους ὀλοῷ πυρὶ δῃώσειαν
on-the-same-day — the-halls with-baneful fire they-would-destroy
Αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρος ἐγγυαλίξῃ.
of-Aeetes when not to-them willingly the-fleece he-should-hand-over
ἀλλ᾽ οὐ φυκτὰ κέλευθα, πόνος δ᾽ ἄπρηκτος ἰοῦσιν.᾽᾽
but not to-be-escaped the-paths the-toil and unaccomplished for-the-going-ones
῾Ως φάσαν ἔνθα καὶ ἔνθα κατὰ πτόλιν· αἱ δὲ γυναῖκες
So they-spoke here and there throughout city the and women
πολλὰ μάλ᾽ ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον,
much very to-the-immortals to sky hands raised
εὐχόμεναι νόστοιο τέλος θυμηδὲς ὀπάσσαι.
praying of-return the-end heart-pleasing to-grant
ἄλλη δ᾽ εἰς ἑτέρην ὀλοφύρετο δακρυχέουσα·
one and to another lamented shedding-tears
᾽᾽Δειλὴ Ἀλκιμέδη, καὶ σοὶ κακὸν ὀψέ περ ἔμπης
Wretched Alcimede even to-you evil late though nevertheless
ἤλυθεν, οὐδ᾽ ἐτέλεσσας ἐπ᾽ ἀγλαΐῃ βιότοιο.
has-come nor did-you-end in splendor of-life
Αἴσων αὖ μέγα δή τι δυσάμμορος. ἦ τέ οἱ ἦεν
Aeson in-turn greatly indeed somehow ill-fated truly — for-him was
βέλτερον, εἰ τὸ πάροιθεν ἐνὶ κτερέεσσιν ἐλυσθεὶς
better if — before in grave-clothes wrapped
νειόθι γαίης κεῖτο, κακῶν ἔτι νῆις ἀέθλων.
beneath earth he-lay of-evils still unknowing of-the-labors
ὡς ὄφελεν καὶ Φρίξον, ὅτ᾽ ὤλετο παρθένος Ἕλλη,
would-that it-had also Phrixus when perished the-maiden Helle

κῦμα μέλαν κριῷ ἅμ᾽ ἐπικλύσαι· ἀλλὰ καὶ αὐδὴν
wave black with-the-ram together had-overwhelmed but even voice
ἀνδρομέην προέηκε κακὸν τέρας, ὥς κεν ἀνίας
human it-sent-forth evil portent so-that — sorrows
Ἀλκιμέδῃ μετόπισθε καὶ ἄλγεα μυρία θείη.᾽᾽
for-Alcimede hereafter and pains countless it-might-cause
Αἱ μὲν ἄρ᾽ ὣς ἀγόρευον ἐπὶ προμολῇσι κιόντων.
They indeed then so were-speaking at the-goings-forth of-them-going
ἤδη δὲ δμῳές τε πολεῖς δμωαί τ᾽ ἀγέροντο·
already and servants both many maidservants and gathered
μήτηρ δ᾽ ἀμφ᾽ αὐτὸν βεβολημένη. ὀξὺ δ᾽ ἑκάστην
mother and about him having-flung-herself sharp and each
δῦνεν ἄχος· σὺν δέ σφι πατὴρ ὀλοῷ ὑπὸ γήραι
entered grief with and them father baneful under old-age
ἐντυπὰς ἐν λεχέεσσι καλυψάμενος γοάασκεν.
wrapped-up in bed having-covered lamented
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα κατεπρήυνεν ἀνίας
but he their indeed then soothed the-sorrows
θαρσύνων, δμώεσσι δ᾽ ἀρήια τεύχε᾽ ἀείρειν
encouraging to-servants and warlike arms to-take-up
πέφραδεν· οἱ δέ τε σῖγα κατηφέες ἠείροντο.
he-told they and — silently downcast lifted-them
μήτηρ δ᾽ ὡς τὰ πρῶτ᾽ ἐπεχεύατο πήχεε παιδί,
mother and when the first poured-around arms to-her-son
ὣς ἔχετο κλαίουσ᾽ ἀδινώτερον, ἠύτε κούρη
so she-held weeping more-thickly as a-girl
οἰόθεν ἀσπασίως πολιὴν τροφὸν ἀμφιπεσοῦσα
alone gladly gray nurse falling-about
μύρεται, ᾗ οὐκ εἰσὶν ἔτ᾽ ἄλλοι κηδεμονῆες,
weeps for-whom not are still others guardians

ἀλλ᾽ ὑπὸ μητρυιῇ βίοτον βαρὺν ἡγηλάζει·
but under a-stepmother life heavy she-leads
καί ἑ νέον πολέεσσιν ὀνείδεσιν ἐστυφέλιξεν,
and her lately with-many with-reproaches abused
τῇ δέ τ᾽ ὀδυρομένῃ δέδεται κέαρ ἔνδοθεν ἄτῃ,
her and — lamenting is-bound heart within by-ruin
οὐδ᾽ ἔχει ἐκφλύξαι τόσσον γόον, ὅσσον ὀρεχθεῖ·
nor is-she-able to-sob-out so-much grief as she-longs
ὣς ἀδινὸν κλαίεσκεν ἑὸν παῖδ᾽ ἀγκὰς ἔχουσα
so thickly she-wept her-own son in-her-arms holding
Ἀλκιμέδη, καὶ τοῖον ἔπος φάτο κηδοσύνῃσιν·
Alcimede and such word she-spoke in-her-grief
"Αἴθ᾽ ὄφελον κεῖν᾽ ἦμαρ, ὅτ᾽ ἐξειπόντος ἄκουσα
Would-that I-had that day when proclaiming I-heard
δειλὴ ἐγὼ Πελίαο κακὴν βασιλῆος ἐφετμήν,
wretched I of-Pelias evil of-the-king the-command
αὐτίκ᾽ ἀπὸ ψυχὴν μεθέμεν, κηδέων τε λαθέσθαι,
at-once away life to-have-let-go of-cares and to-forget
ὄφρ᾽ αὐτός με τεῇσι φίλαις ταρχύσαο χερσίν,
so-that yourself me with-your dear had-buried with-hands
τέκνον ἐμόν· τὸ γὰρ οἷον ἔην ἔτι λοιπὸν ἐέλδωρ
child my this for alone was still remaining wish
ἐκ σέθεν, ἄλλα δὲ πάντα πάλαι θρεπτήρια πέσσω.
from you the-other and all long-since nursing-rewards I-enjoy
νῦν γε μὲν ἡ τὸ πάροιθεν Ἀχαιιάδεσσιν ἀγητὴ
now indeed indeed I-who — before among-Achaean-women admired
δμωὶς ὅπως κενεοῖσι λελείψομαι ἐν μεγάροισιν,
servant like empty shall-be-left in halls

σεῖο πόθῳ μινύθουσα δυσάμμορος, ᾧ ἔπι πολλὴν
for-your longing wasting-away ill-fated whom in much
ἀγλαΐην καὶ κῦδος ἔχον πάρος, ᾧ ἔπι μούνῳ
splendor and glory I-had before whom for alone
μίτρην πρῶτον ἔλυσα καὶ ὕστατον. ἔξοχα γάρ μοι
girdle first I-loosed and last exceedingly for to-me
Εἰλείθυια θεὰ πολέος ἐμέγηρε τόκοιο.
Eileithyia goddess much begrudged offspring
ὤ μοι ἐμῆς ἄτης· τὸ μὲν οὐδ' ὅσον, οὐδ' ἐν ὀνείρῳ
ah me of-my blindness this indeed not as-much-as not-even in dream
ὠισάμην, εἰ Φρίξος ἐμοὶ κακὸν ἔσσετ' ἀλύξας."
I-thought if Phrixus for-me evil would-be having-escaped
Ὣς ἤγε στενάχουσα κινύρετο· ταὶ δὲ γυναῖκες
So she groaning wailed the and women
ἀμφίπολοι γοάασκον ἐπισταδόν· αὐτὰρ ὁ τήνγε
handmaids lamented standing-by but he her
μειλιχίοις ἐπέεσσι παρηγορέων προσέειπεν·
with-gentle with-words consoling addressed
"Μή μοι λευγαλέας ἐνιβάλλεο, μῆτερ, ἀνίας
Not on-me grievous lay mother sorrows
ὧδε λίην, ἐπεὶ οὐ μὲν ἐρητύσεις κακότητος
so very since not indeed you-will-ward-off of-evil
δάκρυσιν, ἀλλ' ἔτι κεν καὶ ἐπ' ἄλγεσιν ἄλγος ἄροιο.
with-tears but still — also on pains pain you-would-add
πήματα γάρ τ' ἀίδηλα θεοὶ θνητοῖσι νέμουσιν,
woes for — unseen the-gods to-mortals deal
τῶν μοῖραν κατὰ θυμὸν ἀνιάζουσά περ ἔμπης
of-them portion in heart grieving though nevertheless
τλῆθι φέρειν· θάρσει δὲ συνημοσύνῃσιν Ἀθήνης,
dare to-bear take-heart and in-the-covenants of-Athena

ἠδὲ θεοπροπίοισιν, ἐπεὶ μάλα δεξιὰ Φοῖβος
and in-the-oracles since very favorable Phoebus
ἔχρη, ἀτὰρ μετέπειτά γ' ἀριστήων ἐπαρωγῇ.
declared but afterward indeed of-chiefs with-the-help
ἀλλὰ σὺ μὲν νῦν αὖθι μετ' ἀμφιπόλοισιν ἔκηλος
but you indeed now there among handmaids at-peace
μίμνε δόμοις, μηδ' ὄρνις ἀεικελίη πέλε νηί·
remain in-house nor a-bird ill-omened be for-the-ship
κεῖσε δ' ὁμαρτήσουσιν ἔται δμῶές τε κιόντι." 305
there and will-accompany clansmen servants and going
Ἦ, καὶ ὁ μὲν προτέρωσε δόμων ἐξῶρτο νέεσθαι.
He-spoke and he indeed forward from-the-house rushed to-go
οἷος δ' ἐκ νηοῖο θυώδεος εἶσιν Ἀπόλλων
as and from temple fragrant goes Apollo
Δῆλον ἀν' ἠγαθέην, ἠὲ Κλάρον, ἢ ὅγε Πυθώ,
Delos through holy or Claros or he Pytho
ἢ Λυκίην εὐρεῖαν, ἐπὶ Ξάνθοιο ῥοῇσιν,
or Lycia broad by of-Xanthus streams
τοῖος ἀνὰ πληθὺν δήμου κίεν· ὦρτο δ' ἀυτὴ 310
such through crowd of-people he-went arose and a-shout
κεκλομένων ἄμυδις. τῷ δὲ ξύμβλητο γεραιὴ
of-them-calling together him and met aged
Ἰφιὰς Ἀρτέμιδος πολιηόχου ἀρήτειρα,
Iphias of-Artemis guardian-of-the-city priestess
καί μιν δεξιτερῆς χειρὸς κύσεν, οὐδέ τι φάσθαι
and him of-right hand kissed nor anything to-speak
ἔμπης ἱεμένη δύνατο, προθέοντος ὁμίλου·
nevertheless eager was-able of-the-running-forward crowd

ἀλλ᾽ ἡ μὲν λίπετ᾽ αὖθι παρακλιδόν, οἷα γεραιὴ
but she indeed was-left there aside as old
ὁπλοτέρων, ὁ δὲ πολλὸν ἀποπλαγχθεὶς ἐλιάσθη.
by-the-younger he and far having-been-borne-away swerved
Αὐτὰρ ἐπεί ῥα πόληος ἐυδμήτους λίπ᾽ ἀγυιάς,
But when then of-city well-built he-left the-streets
ἀκτὴν δ᾽ ἵκανεν Παγασηίδα, τῇ μιν ἑταῖροι
shore and he-reached Pagasaean there him comrades
δειδέχατ᾽, Ἀργῴῃ ἄμυδις παρὰ νηὶ μένοντες.
welcomed Argo's together by ship remaining
στῆ δ᾽ ἄρ᾽ ἐπὶ προμολῇς· οἱ δ᾽ ἀντίοι ἠγερέθοντο.
stood and then at the-entrance they and opposite gathered
ἐς δ᾽ ἐνόησαν Ἄκαστον ὁμῶς Ἄργον τε πόληος
in and they-noticed Acastus alike Argus and of-city
νόσφι καταβλώσκοντας, ἐθάμβησαν δ᾽ ἐσιδόντες
apart coming-down they-marveled and seeing
πασσυδίῃ Πελίαο παρὲκ νόον ἰθύοντας.
in-all-haste of-Pelias against will hastening
δέρμα δ᾽ ὁ μὲν ταύροιο ποδηνεκὲς ἀμφέχετ᾽ ὤμους
hide and he indeed of-bull reaching-the-feet held-around shoulders
Ἄργος Ἀρεστορίδης λάχνῃ μέλαν· αὐτὰρ ὁ καλὴν
Argus son-of-Arestor with-hair black but he fair
δίπλακα, τήν οἱ ὄπασσε κασιγνήτη Πελόπεια.
double-mantle which to-him gave sister Pelopia
ἀλλ᾽ ἔμπης τὼ μέν τε διεξερέεσθαι ἕκαστα
but nevertheless the-two indeed — to-question each-thing
ἔσχετο· τοὺς δ᾽ ἀγορήνδε συνεδριάασθαι ἄνωγεν.
he-refrained them and to-the-assembly to-sit-together bade

αὐτοῦ δ' ἰλλομένοις ἐπὶ λαίφεσιν, ἠδὲ καὶ ἱστῷ
there and furled on sails and also mast
κεκλιμένῳ μάλα πάντες ἐπισχερὼ ἑδριόωντο.
laid-down very all in-rows sat
τοῖσιν δ' Αἴσονος υἱὸς ἐυφρονέων μετέειπεν·
to-them and of-Aeson son kindly spoke-among
"Ἄλλα μὲν ὅσσα τε νηὶ ἐφοπλίσσασθαι ἔοικεν
Other-things indeed as-many-as — for-a-ship to-equip befits
— πάντα γὰρ εὖ κατὰ κόσμον — ἐπαρτέα κεῖται ἰοῦσιν.
all for well in order ready lie for-us-going
τῷ οὐκ ἂν δηναιὸν ἐχοίμεθα τοῖο ἕκητι
therefore not — long we-would-be-kept of-this for-the-sake
ναυτιλίης, ὅτε μοῦνον ἐπιπνεύσουσιν ἀῆται.
of-voyage when only will-blow-upon winds
ἀλλά, φίλοι, — ξυνὸς γὰρ ἐς Ἑλλάδα νόστος ὀπίσσω,
but friends common for to Hellas return hereafter
ξυναὶ δ' ἄμμι πέλονται ἐς Αἰήταο κέλευθοι —
common and to-us are to of-Aeetes the-paths
τούνεκα νῦν τὸν ἄριστον ἀφειδήσαντες ἕλεσθε
therefore now the best unsparing choose
ὄρχαμον ἡμείων, ᾧ κεν τὰ ἕκαστα μέλοιτο,
leader of-us to-whom — the each-thing would-be-a-care
νείκεα συνθεσίας τε μετὰ ξείνοισι βαλέσθαι."
quarrels covenants and with strangers to-make

Ὣς φάτο· πάπτηναν δὲ νέοι θρασὺν Ἡρακλῆα
So he-spoke looked and the-young-men at-bold Heracles
ἥμενον ἐν μέσσοισι· μιῇ δέ ἑ πάντες ἀυτῇ
sitting in the-middle with-one and him all shout
σημαίνειν ἐπέτελλον· ὁ δ' αὐτόθεν, ἔνθα περ ἧστο,
to-lead bade he and from-there where indeed he-sat
δεξιτερὴν ἀνὰ χεῖρα τανύσσατο φώνησέν τε·
right up hand stretched spoke and
"Μήτις ἐμοὶ τόδε κῦδος ὀπαζέτω. οὐ γὰρ ἔγωγε
Let-no-one on-me this honor bestow not for I
πείσομαι· ὥστε καὶ ἄλλον ἀναστήσεσθαι ἐρύξω.
will-consent so-that also another to-stand-up I-will-prevent
αὐτός, ὅτις ξυνάγειρε, καὶ ἀρχεύοι ὁμάδοιο."
himself who gathered also let-him-lead of-the-throng
Ἦ ῥα μέγα φρονέων, ἐπὶ δ' ᾔνεον, ὡς ἐκέλευεν
He-spoke then greatly minding on and they-approved as he-bade
Ἡρακλέης· ἀνὰ δ' αὐτὸς ἀρήιος ὄρνυτ' Ἰήσων
Heracles up and himself warlike rose Jason
γηθόσυνος, καὶ τοῖα λιλαιομένοις ἀγόρευεν·
glad and such to-the-eager-ones he-spoke
"Εἰ μὲν δή μοι κῦδος ἐπιτρωπᾶτε μέλεσθαι,
If indeed truly to-me honor you-entrust to-care-for
μηκέτ' ἔπειθ', ὡς καὶ πρίν, ἐρητύοιτο κέλευθα.
no-longer then as also before let-be-hindered the-paths

νῦν γε μὲν ἤδη Φοῖβον ἀρεσσάμενοι θυέεσσιν
now indeed indeed already Phoebus having-appeased with-sacrifices
δαῖτ' ἐντυνώμεσθα παρασχεδόν. ὄφρα δ' ἴωσιν
the-feast let-us-prepare at-once while and they-come
δμῶες ἐμοὶ σταθμῶν σημάντορες, οἷσι μέμηλεν
servants of-me of-the-stalls overseers to-whom it-is-a-care
δεῦρο βόας ἀγέληθεν ἐὺ κρίναντας ἐλάσσαι,
here oxen from-the-herd well having-chosen to-drive
τόφρα κε νῆ' ἐρύσαιμεν ἔσω ἁλός, ὅπλα δὲ πάντα
so-long — ship we-might-drag into sea tackle and all
ἐνθέμενοι πεπάλαχθε κατὰ κληῖδας ἐρετμά.
having-placed-in allot along tholes the-oars
τείως δ' αὖ καὶ βωμὸν ἐπάκτιον Ἐμβασίοιο
meanwhile and in-turn also altar on-the-shore of-Embasius
θείομεν Ἀπόλλωνος, ὅ μοι χρείων ὑπέδεκτο
let-us-build of-Apollo who to-me in-an-oracle promised
σημανέειν δείξειν τε πόρους ἁλός, εἴ κε θυηλαῖς
to-signify to-show and paths of-sea if — by-sacrifices
οὗ ἕθεν ἐξάρχωμαι ἀεθλεύων βασιλῆι."
of-him himself I-begin contending for-the-king
Ἦ ῥα, καὶ εἰς ἔργον πρῶτος τράπεθ'· οἱ δ' ἐπανέσταν
He-spoke then and to work first turned they and rose
πειθόμενοι· ἀπὸ δ' εἵματ' ἐπήτριμα νηήσαντο
obeying off and garments in-heaps piled
λείῳ ἐπὶ πλαταμῶνι, τὸν οὐκ ἐπέβαλλε θάλασσα
smooth on rock which not struck sea
κύμασι, χειμερίη δὲ πάλαι ἀποέκλυσεν ἅλμη.
with-waves stormy and long-ago washed-away brine

νῆα δ᾽ ἐπικρατέως Ἄργου ὑποθημοσύνῃσιν
ship and firmly of-Argus by-the-instructions
ἔζωσαν πάμπρωτον ἐυστρεφεῖ ἔνδοθεν ὅπλῳ
girded first-of-all with-well-twisted within rope
τεινάμενοι ἑκάτερθεν, ἵν᾽ εὖ ἀραροίατο γόμφοις
stretching on-either-side so-that well might-fit with-pegs
δούρατα καὶ ῥοθίοιο βίην ἔχοι ἀντιόωσαν.
planks and of-the-surge the-force might-hold opposing
σκάπτον δ᾽ αἶψα κατ᾽ εὖρος ὅσον περιβάλλετο χῶρον,
dug and quickly in breadth as-much-as it-covered space
ἠδὲ κατὰ πρῴραν εἴσω ἁλὸς ὁσσάτιόν περ
and at prow inward of-sea so-far indeed
ἑλκομένη χείρεσσιν ἐπιδραμέεσθαι ἔμελλεν.
being-dragged by-hands to-run-down it-was-to
αἰεὶ δὲ προτέρω χθαμαλώτερον ἐξελάχαινον
always and forward lower they-hollowed-out
στείρης, ἐν δ᾽ ὁλκῷ ξεστὰς στορέσαντο φάλαγγας·
of-keel in and furrow polished laid rollers
τὴν δὲ κατάντη κλῖναν ἐπὶ πρώτῃσι φάλαγξιν,
it and downward they-tilted on first rollers
ὥς κεν ὀλισθαίνουσα δι᾽ αὐτάων φορέοιτο.
so-that — gliding over them it-might-be-borne
ὕψι δ᾽ ἄρ᾽ ἔνθα καὶ ἔνθα μεταστρέψαντες ἐρετμὰ
aloft and then here and there reversing the-oars
πήχυιον προύχοντα περὶ σκαλμοῖσιν ἔδησαν.
a-cubit projecting around tholes they-bound
τῶν δ᾽ ἐναμοιβαδὶς αὐτοὶ ἐνέσταθεν ἀμφοτέρωθεν,
them and in-turn themselves stood on-both-sides

στέρνα θ᾽ ὁμοῦ καὶ χεῖρας ἐπήλασαν. ἐν δ᾽ ἄρα Τῖφυς
chests both together and hands pressed in and then Tiphys
βήσαθ᾽, ἵν᾽ ὀτρύνειε νέους κατὰ καιρὸν ἐρύσσαι·
stepped so-that he-might-urge young in time to-drag
κεκλόμενος δ᾽ ἤυσε μάλα μέγα· τοὶ δὲ παρᾶσσον
calling and he-shouted very loud they and immediately
ᾧ κράτεϊ βρίσαντες ἰῇ στυφέλιξαν ἐρωῇ
with-their-own strength leaning with-one pushed with-rush
νειόθεν ἐξ ἕδρης, ἐπὶ δ᾽ ἐρρώσαντο πόδεσσιν
from-below from seat on and strained with-feet
προπροβιαζόμενοι· ἡ δ᾽ ἕσπετο Πηλιὰς Ἀργὼ
forcing-forward she and followed Pelian Argo
ῥίμφα μάλ᾽· οἱ δ᾽ ἑκάτερθεν ἐπίαχον ἀίσσοντες.
swiftly very they and on-either-side shouted rushing
αἱ δ᾽ ἄρ᾽ ὑπὸ τρόπιδι στιβαρῇ στενάχοντο φάλαγγες
they and then under keel sturdy groaned rollers
τριβόμεναι· περὶ δέ σφιν ἀιδνὴ κήκιε λιγνὺς
being-rubbed around and them dark rose smoke
βριθοσύνῃ, κατόλισθε δ᾽ ἔσω ἁλός· οἱ δέ μιν αὖθι
under-the-weight she-slid and into sea they and her there
ἂψ ἀνασειράζοντες ἔχον προτέρωσε κιοῦσαν.
back holding-back held forward going
σκαλμοῖς δ᾽ ἀμφὶς ἐρετμὰ κατήρτυον· ἐν δέ οἱ ἱστὸν
in-the-tholes and around the-oars fitted in and her mast
λαίφεά τ᾽ εὐποίητα καὶ ἁρμαλιὴν ἐβάλοντο.
sails both well-made and stores they-put

The heroes draw lots for the benches, giving the middle to Heracles and Ancaeus and the helm to Tiphys. They build an altar to Apollo of the Shore and of Embarkation, and Jason prays and sacrifices. Idmon reads the omens: they will return with the fleece, but he himself will die in Asia. At the feast Idas mocks the brooding Jason and boasts of his spear, and he and Idmon quarrel until their comrades and Jason check them; Orpheus sings how earth, sky, and sea were sundered and how Ophion and Eurynome ruled before Cronus.

Αὐτὰρ ἐπεὶ τὰ ἕκαστα περιφραδέως ἀλέγυναν,
But when the-things each carefully they-had-attended-to
κληῖδας μὲν πρῶτα πάλῳ διεμοιρήσαντο,
benches indeed first by-lot they-apportioned
ἄνδρ' ἐντυναμένω δοιὼ μίαν· ἐκ δ' ἄρα μέσσην
men equipping two one from and then middle
ᾕρεον Ἡρακλῆι καὶ ἡρώων ἄτερ ἄλλων
they-chose for-Heracles and of-heroes apart-from others
Ἀγκαίῳ, Τεγέης ὅς ῥα πτολίεθρον ἔναιεν.
for-Ancaeus of-Tegea who then the-citadel inhabited
τοῖς μέσσην οἵοισιν ἀπὸ κληῖδα λίποντο
for-them the-middle alone apart bench they-left
αὖτως, οὔτι πάλῳ· ἐπὶ δ' ἔτρεπον αἰνήσαντες
just-so not-at-all by-lot to and they-turned approving
Τίφυν ἐυστείρης οἰήια νηὸς ἔρυσθαι.
Tiphys of-the-well-keeled the-helm of-ship to-guard
Ἔνθεν δ' αὖ λάιγγας ἁλὸς σχεδὸν ὀχλίζοντες
Thence and in-turn stones of-sea near heaving
νήεον αὐτόθι βωμὸν ἐπάκτιον Ἀπόλλωνος,
they-built there altar on-the-shore of-Apollo

Ἀκτίου Ἐμβασίοιό τ᾽ ἐπώνυμον· ὦκα δὲ τοίγε
of-Actius of-Embasius and named quickly and they
φιτροὺς ἀζαλέης στόρεσαν καθύπερθεν ἐλαίης.
logs of-dry spread on-top of-olive
τείως δ᾽ αὖτ᾽ ἀγέληθεν ἐπιπροέηκαν ἄγοντες
meanwhile and in-turn from-the-herd sent-forward driving
βουκόλοι Αἰσονίδαο δύω βόε. τοὺς δ᾽ ἐρύσαντο
herdsmen of-the-son-of-Aeson two oxen them and dragged
κουρότεροι ἑτάρων βωμοῦ σχεδόν. οἱ δ᾽ ἄρ᾽ ἔπειτα
the-younger of-the-comrades of-altar near they and then thereafter
χέρνιβά τ᾽ οὐλοχύτας τε παρέσχεθον. αὐτὰρ Ἰήσων
water-for-hands both barley-grains and offered but Jason
εὔχετο κεκλόμενος πατρώιον Ἀπόλλωνα·
prayed calling-on of-his-fathers Apollo

"Κλῦθι ἄναξ, Παγασάς τε πόλιν τ᾽ Αἰσωνίδα ναίων,
Hear lord Pagasae both city and Aesonian dwelling
ἡμετέροιο τοκῆος ἐπώνυμον, ὅς μοι ὑπέστης
of-our father named who to-me promised
Πυθοῖ χρειομένῳ ἄνυσιν καὶ πείραθ᾽ ὁδοῖο
at-Pytho inquiring accomplishment and the-ends of-road
σημανέειν, αὐτὸς γὰρ ἐπαίτιος ἔπλευ ἀέθλων·
to-show yourself for responsible you-were of-labors
αὐτὸς νῦν ἄγε νῆα σὺν ἀρτεμέεσσιν ἑταίροις
yourself now lead ship with safe comrades
κεῖσέ τε καὶ παλίνορσον ἐς Ἑλλάδα. σοὶ δ᾽ ἂν ὀπίσσω
there both and back to Hellas to-you and — hereafter
τόσσων, ὅσσοι κεν νοστήσομεν, ἀγλαὰ ταύρων
for-so-many as — we-return splendid of-bulls
ἱρὰ πάλιν βωμῷ ἐπιθήσομεν· ἄλλα δὲ Πυθοῖ,
offerings again on-altar we-will-place others and at-Pytho

ἄλλα δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσω.
others and to Ortygia countless gifts I-will-bring
νῦν δ' ἴθι, καὶ τήνδ' ἧμιν, Ἑκηβόλε, δέξο θυηλήν,
now and come and this for-us Far-shooter receive sacrifice
ἥν τοι τῆσδ' ἐπίβαθρα χάριν προτεθείμεθα νηὸς
which to-you of-this as-passage-fee thanks we-have-set-before of-ship
πρωτίστην· λύσαιμι δ', ἄναξ, ἐπ' ἀπήμονι μοίρῃ
first may-I-loose and lord with harmless fate
πείσματα σὴν διὰ μῆτιν· ἐπιπνεύσειε δ' ἀήτης
cables your through counsel may-blow and wind
μείλιχος, ᾧ κ' ἐπὶ πόντον ἐλευσόμεθ' εὐδιόωντες."
gentle with-which — over sea we-shall-go in-fair-weather
Ἦ, καὶ ἅμ' εὐχωλῇ προχύτας βάλε. τὼ δ' ἐπὶ βουσὶν
He-spoke and with prayer barley-grains threw the-two and at oxen
ζωσάσθην, Ἀγκαῖος ὑπέρβιος, Ἡρακλέης τε.
girded-themselves Ancaeus overweening Heracles and
ἤτοι ὁ μὲν ῥοπάλῳ μέσσον κάρη ἀμφὶ μέτωπα
truly he indeed with-club mid head about forehead
πλῆξεν, ὁ δ' ἀθρόος αὖθι πεσὼν ἐνερείσατο γαίῃ·
struck it and in-a-heap there having-fallen sank on-earth
Ἀγκαῖος δ' ἑτέροιο κατὰ πλατὺν αὐχένα κόψας
Ancaeus and of-the-other through broad neck having-struck
χαλκείῳ πελέκει κρατεροὺς διέκερσε τένοντας·
with-bronze with-axe the-strong cut-through sinews
ἤριπε δ' ἀμφοτέροισι περιρρηδὴς κεράεσσιν.
it-fell and on-both twisting horns
τοὺς δ' ἕταροι σφάξαν τε θοῶς, δείρᾱν τε βοείας,
them and comrades slaughtered both quickly flayed and hides
κόπτον, δαίτρευόν τε, καὶ ἱερὰ μῆρ' ἐτάμοντο,
cut carved both and sacred thighs cut-out

κὰδ δ᾽ ἄμυδις τάγε πάντα καλύψαντες πύκα δημῷ
down and together these all having-covered close with-fat
καῖον ἐπὶ σχίζῃσιν· ὁ δ᾽ ἀκρήτους χέε λοιβὰς
burned on billets he and unmixed poured libations
Αἰσονίδης, γήθει δὲ σέλας θηεύμενος Ἴδμων
son-of-Aeson rejoiced and the-gleam beholding Idmon
πάντοσε λαμπόμενον θυέων ἄπο τοῖό τε λιγνὺν
all-around shining sacrifices from of-it and smoke
πορφυρέαις ἑλίκεσσιν ἐναίσιμον ἀίσσουσαν·
in-purple in-coils auspicious darting
αἶψα δ᾽ ἀπηλεγέως νόον ἔκφατο Λητοΐδαο·
quickly and frankly the-mind spoke of-the-son-of-Leto
“Ὑμῖν μὲν δὴ μοῖρα θεῶν χρειώ τε περῆσαι
For-you indeed truly fate of-the-gods necessity and to-come-back
ἐνθάδε κῶας ἄγοντας· ἀπειρέσιοι δ᾽ ἐνὶ μέσσῳ
here fleece bringing countless and in middle
κεῖσέ τε δεῦρό τ᾽ ἔασιν ἀνερχομένοισιν ἄεθλοι.
there both here and are for-the-returning labors
αὐτὰρ ἐμοὶ θανέειν στυγερῇ ὑπὸ δαίμονος αἴσῃ
but for-me to-die hateful by of-a-god doom
τηλόθι που πέπρωται ἐπ᾽ Ἀσίδος ἠπείροιο.
far somewhere is-fated on of-Asia mainland
ὧδε κακοῖς δεδαὼς ἔτι καὶ πάρος οἰωνοῖσιν
so by-evil knowing still also before birds
πότμον ἐμὸν πάτρης ἐξήιον, ὄφρ᾽ ἐπιβαίην
fate my from-fatherland I-went-forth so-that I-might-embark
νηός, ἐυκλείῃ δὲ δόμοις ἐπιβάντι λίπηται.”
the-ship good-fame and in-house for-the-one-having-embarked may-be-left

Ὣς ἄρ᾽ ἔφη· κοῦροι δὲ θεοπροπίης ἀίοντες
So then he-spoke youths and the-prophecy hearing
νόστῳ μὲν γήθησαν, ἄχος δ᾽ ἕλεν Ἴδμονος αἶσῃ.
at-return indeed rejoiced grief and seized of-Idmon at-the-doom
ἦμος δ᾽ ἠέλιος σταθερὸν παραμείβεται ἦμαρ,
when and the-sun the-steadfast passes day
αἱ δὲ νέον σκοπέλοισιν ὑποσκιόωνται ἄρουραι,
they and newly by-the-crags are-shadowed fields
δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο,
evening sinking toward darkness of-the-sun
τῆμος ἄρ᾽ ἤδη πάντες ἐπὶ ψαμάθοισι βαθεῖαν
then then already all on sands deep
φυλλάδα χεύαμενοι πολιοῦ πρόπαρ αἰγιαλοῖο
leaves having-strewn gray before shore
κέκλινθ᾽ ἑξείης· παρὰ δέ σφισι μυρί᾽ ἔκειτο
lay-down in-order beside and them countless lay
εἴδατα, καὶ μέθυ λαρόν, ἀφυσσαμένων προχόῃσιν
foods and wine sweet drawing-off with-jugs
οἰνοχόων· μετέπειτα δ᾽ ἀμοιβαδὶς ἀλλήλοισιν
the-wine-pourers afterward and in-turn to-one-another
μυθεῦνθ᾽, οἷά τε πολλὰ νέοι παρὰ δαιτὶ καὶ οἴνῳ
told-tales such-as — many youths at feast and wine
τερπνῶς ἐψιόωνται, ὅτ᾽ ἄατος ὕβρις ἀπείη.
pleasantly amuse-themselves when insatiable insolence is-absent
ἔνθ᾽ αὖτ᾽ Αἰσονίδης μὲν ἀμήχανος εἰν ἑοῖ αὐτῷ
there in-turn son-of-Aeson indeed helpless in his-own himself
πορφύρεσκεν ἕκαστα κατηφιόωντι ἐοικώς.
pondered each-thing downcast like
τὸν δ᾽ ἄρ᾽ ὑποφρασθεὶς μεγάλῃ ὀπὶ νείκεσεν Ἴδας·
him and then having-observed with-great voice reproached Idas

"Αἰσονίδη, τίνα τήνδε μετὰ φρεσὶ μῆτιν ἑλίσσεις;
Son-of-Aeson what this among mind plan do-you-turn
αὖδα ἐνὶ μέσσοισι τεὸν νόον. ἦέ σε δαμνᾷ
speak in the-middle your mind or you is-subduing
τάρβος ἐπιπλόμενον, τό τ' ἀνάλκιδας ἄνδρας ἀτύζει;
fear having-come-on which — cowardly men dismays
ἴστω νῦν δόρυ θοῦρον, ὅτῳ περιώσιον ἄλλων
let-witness now spear impetuous by-which beyond others
κῦδος ἐνὶ πτολέμοισιν ἀείρομαι, οὐδέ μ' ὀφέλλει
glory in wars I-win nor me helps
Ζεὺς τόσον, ὁσσάτιόν περ ἐμὸν δόρυ, μή νύ τι πῆμα
Zeus so-much as-much indeed my spear not now any harm
λοίγιον ἔσσεσθαι, μηδ' ἀκράαντον ἄεθλον
deadly to-be-going-to-be nor unaccomplished contest
Ἴδεω ἑσπομένοιο, καὶ εἰ θεὸς ἀντιόῳτο.
of-Idas following even if a-god should-oppose
τοῖόν μ' Ἀρήνηθεν ἀοσσητῆρα κομίζεις."
such me from-Arene helper you-bring
Ἦ, καὶ ἐπισχόμενος πλεῖον δέπας ἀμφοτέρῃσιν
He-spoke and holding full cup with-both
πῖνε χαλίκρητον λαρὸν μέθυ· δεύετο δ' οἴνῳ
drank unmixed sweet wine were-wet and with-wine
χείλεα, κυάνεαί τε γενειάδες· οἱ δ' ὁμάδησαν
lips dark and beard they and clamored
πάντες ὁμῶς, Ἴδμων δὲ καὶ ἀμφαδίην ἀγόρευσεν·
all alike Idmon and also openly spoke

"Δαιμόνιε, φρονέεις ὀλοφώια καὶ πάρος αὐτῷ.
Strange-man you-think deadly-things even before to-yourself
ἦέ τοι εἰς ἄτην ζωρὸν μέθυ θαρσαλέον κῆρ
or to-you to ruin neat wine bold heart
οἰδάνει ἐν στήθεσσι, θεοὺς δ' ἀνέηκεν ἀτίζειν;
swells in breast gods and it-led to-dishonor
ἄλλοι μῦθοι ἔασι παρήγοροι, οἷσί περ ἀνὴρ
other words are consoling with-which indeed a-man
480 θαρσύνοι ἕταρον· σὺ δ' ἀτάσθαλα πάμπαν ἔειπας,
would-encourage comrade you and reckless-things wholly have-spoken
τοῖα φάτις καὶ τοὺς πρὶν ἐπιφλύειν μακάρεσσιν
such report even them formerly to-have-babbled-against the-blessed
υἷας Ἀλωιάδας, οἷς οὐδ' ὅσον ἰσοφαρίζεις
sons sons-of-Aloeus whom not-even as-much-as you-rival
ἠνορέην· ἔμπης δὲ θοοῖς ἐδάμησαν ὀιστοῖς
in-manliness nevertheless and by-swift were-subdued arrows
ἄμφω Λητοΐδαο, καὶ ἴφθιμοί περ ἐόντες."
both of-the-son-of-Leto even mighty though being
485 Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσεν ἄδην Ἀφαρήιος Ἴδας
So he-spoke out and laughed fully son-of-Aphareus Idas
καί μιν ἐπιλλίζων ἠμείβετο κερτομίοισιν·
and him leering answered with-taunts
" Ἄγρει νυν τόδε σῇσι θεοπροπίῃσιν ἐνίσπες,
Come now this by-your prophecies tell
εἰ καὶ ἐμοὶ τοιόνδε θεοὶ τελέουσιν ὄλεθρον,
if also for-me such the-gods bring-to-pass destruction
οἷον Ἀλωιάδῃσι πατὴρ τεὸς ἐγγυάλιξεν.
as for-the-sons-of-Aloeus father your handed-over

φράζεο δ᾽ ὅππως χεῖρας ἐμὰς σόος ἐξαλέοιο,
consider and how hands my safe you-shall-escape
χρειὼ θεσπίζων μεταμώνιον εἴ κεν ἁλώῃς.᾽᾽
need prophesying vain if — you-be-caught
Χώετ᾽ ἐνιπτάζων· προτέρω δέ κε νεῖκος ἐτύχθη,
He-raged abusing further and — strife would-have-arisen
εἰ μὴ δηριόωντας ὁμοκλήσαντες ἑταῖροι
if not quarreling with-shouts comrades
αὐτός τ᾽ Αἰσονίδης κατερήτυεν· ἂν δὲ καὶ Ὀρφεὺς
himself and son-of-Aeson had-restrained up and also Orpheus
λαιῇ ἀνασχόμενος κίθαριν πείραζεν ἀοιδῆς.
in-left-hand raising lyre essayed of-song
Ἤειδεν δ᾽ ὡς γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα,
He-sang and how earth and heaven and sea
τὸ πρὶν ἐπ᾽ ἀλλήλοισι μιῇ συναρηρότα μορφῇ,
the before with one-another in-one joined in-form
νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα·
strife from baneful were-separated apart each-thing
ἠδ᾽ ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
and how firm ever in sky mark have
ἄστρα σεληναίη τε καὶ ἠελίοιο κέλευθοι·
stars moon both and of-sun the-paths
οὔρεά θ᾽ ὡς ἀνέτειλε, καὶ ὡς ποταμοὶ κελάδοντες
mountains and how rose and how rivers babbling
αὐτῇσιν νύμφῃσι καὶ ἑρπετὰ πάντ᾽ ἐγένοντο.
with-their-very nymphs and creatures all came-to-be
ἤειδεν δ᾽ ὡς πρῶτον Ὀφίων Εὐρυνόμη τε
he-sang and how first Ophion Eurynome and
Ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο·
daughter-of-Ocean of-snowy held power of-Olympus

ὥς τε βίῃ καὶ χερσὶν ὁ μὲν Κρόνῳ εἴκαθε τιμῆς,
how — by-force and hands he indeed to-Cronus yielded of-honor
ἡ δὲ Ῥέῃ, ἔπεσον δ' ἐνὶ κύμασιν Ὠκεανοῖο·
she and to-Rhea they-fell and into waves of-Ocean
οἱ δὲ τέως μακάρεσσι θεοῖς Τιτῆσιν ἄνασσον,
they and meanwhile over-the-blessed gods Titans ruled
ὄφρα Ζεὺς ἔτι κοῦρος, ἔτι φρεσὶ νήπια εἰδώς,
while Zeus still a-boy still in-mind childish-things knowing
Δικταῖον ναίεσκεν ὑπὸ σπέος· οἱ δέ μιν οὔπω
Dictaean dwelt under cave they and him not-yet
γηγενέες Κύκλωπες ἐκαρτύναντο κεραυνῷ,
earth-born Cyclopes had-strengthened with-thunderbolt
βροντῇ τε στεροπῇ τε· τὰ γὰρ Διὶ κῦδος ὀπάζει.
with-thunder both with-lightning and these for to-Zeus glory give
Ἦ, καὶ ὁ μὲν φόρμιγγα σὺν ἀμβροσίῃ σχέθεν αὐδῇ.
He-spoke and he indeed lyre with ambrosial checked voice
τοὶ δ' ἄμοτον λήξαντος ἔτι προύχοντο κάρηνα
they and insatiably having-ceased still stretched-forward heads
πάντες ὁμῶς ὀρθοῖσιν ἐπ' οὔασιν ἠρεμέοντες
all alike erect at ears at-rest
κηληθμῷ· τοῖόν σφιν ἐνέλλιπε θέλκτρον ἀοιδῆς.
with-enchantment such them left charm of-song
οὐδ' ἐπὶ δὴν μετέπειτα κερασσάμενοι Διὶ λοιβάς,
nor for long afterward having-mixed to-Zeus libations
†ἣ θέμις ἐστί, τέως ἐπί τε γλώσσῃσι χέοντο†
(corrupt)-which right it-is meanwhile on and tongues poured(corrupt)
αἰθομέναις, ὕπνου δὲ διὰ κνέφας ἐμνώοντο.
burning of-sleep and through dark they-bethought

At dawn Tiphys rouses the crew, the Argo herself cries out to sail, and the heroes row out from Pagasae while Orpheus plays to the oars. Jason weeps as his homeland falls away. Chiron comes down to the shore with Achilles in his wife's arms to watch them go. They sail past Pelion, Sepias, and Sciathus, put in for two days at the tomb of Dolops, and pass Athos, whose shadow reaches Lemnos, which they reach by rowing when the wind fails.

Αὐτὰρ ὅτ' αἰγλήεσσα φαεινοῖς ὄμμασιν Ἠὼς
But when radiant with-shining eyes Dawn
Πηλίου αἰπεινὰς ἴδεν ἄκριας, ἐκ δ' ἀνέμοιο
of-Pelion steep saw the-heights out and wind
εὔδιοι ἐκλύζοντο τινασσομένης ἁλὸς ἄκραι,
calm were-washed of-the-tossed sea the-headlands
δὴ τότ' ἀνέγρετο Τῖφυς· ἄφαρ δ' ὀρόθυνεν ἑταίρους
indeed then awoke Tiphys at-once and roused comrades
βαινέμεναί τ' ἐπὶ νῆα καὶ ἀρτύνασθαι ἐρετμά.
to-embark both on ship and to-make-ready oars
σμερδαλέον δὲ λιμὴν Παγασήιος ἠδὲ καὶ αὐτὴ
terribly and harbor Pagasaean and also herself
Πηλιὰς ἴαχεν Ἀργὼ ἐπισπέρχουσα νέεσθαι.
Pelian cried-out Argo urging to-go
ἐν γάρ οἱ δόρυ θεῖον ἐλήλατο, τό ῥ' ἀνὰ μέσσην
in for her beam divine had-been-driven which then in middle
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
keel Athena of-Dodonian fitted of-oak
οἱ δ' ἀνὰ σέλματα βάντες ἐπισχερὼ ἀλλήλοισιν,
they and up-on benches having-gone in-order one-after-another
ὡς ἐδάσαντο πάροιθεν ἐρεσσέμεν ᾧ ἐνὶ χώρῳ,
as they-had-allotted before to-row his-own in place

εὐκόσμως σφετέροισι παρ᾽ ἔντεσιν ἑδριόωντο.
in-good-order their-own beside arms sat
μέσσῳ δ᾽ Ἀγκαῖος μέγα τε σθένος Ἡρακλῆος
in-middle and Ancaeus great and strength of-Heracles
ἵζανον· ἄγχι δέ οἱ ῥόπαλον θέτο, καί οἱ ἔνερθεν
sat near and to-him club he-set and of-him below
ποσσὶν ὑπεκλύσθη νηὸς τρόπις. εἵλκετο δ᾽ ἤδη
at-feet sank-down of-ship keel were-drawn and now
πείσματα, καὶ μέθυ λεῖβον ὕπερθ᾽ ἁλός. αὐτὰρ Ἰήσων
cables and wine they-poured over sea but Jason
δακρυόεις γαίης ἀπὸ πατρίδος ὄμματ᾽ ἔνεικεν.
tearful land from fatherland eyes turned
οἱ δ᾽, ὥστ᾽ ἠίθεοι Φοίβῳ χορὸν ἢ ἐνὶ Πυθοῖ
they and as youths for-Phoebus dance either in Pytho
ἤ που ἐν Ὀρτυγίῃ, ἢ ἐφ᾽ ὕδασιν Ἰσμηνοῖο
either somewhere in Ortygia or by waters of-Ismenus
στησάμενοι, φόρμιγγος ὑπαὶ περὶ βωμὸν ὁμαρτῇ
having-set-up lyre to around altar together
ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν·
in-time with-swift ground beat with-feet
ὣς οἱ ὑπ᾽ Ὀρφῆος κιθάρῃ πέπληγον ἐρετμοῖς
so they to of-Orpheus lyre smote with-oars
πόντου λάβρον ὕδωρ, ἐπὶ δὲ ῥόθια κλύζοντο·
of-sea rushing water on and surges dashed
ἀφρῷ δ᾽ ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη
with-foam and here and there dark bubbled brine
δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.
terribly murmuring of-the-mighty by-the-strength of-men

στράπτε δ᾽ ὑπ᾽ ἠελίῳ φλογὶ εἴκελα νηὸς ἰούσης
flashed and under the-sun to-flame like of-ship going
τεύχεα· μακραὶ δ᾽ αἰὲν ἐλευκαίνοντο κέλευθοι,
the-arms long and ever grew-white paths
ἀτραπὸς ὡς χλοεροῖο διειδομένη πεδίοιο.
path as of-green seen-through plain
πάντες δ᾽ οὐρανόθεν λεῦσσον θεοὶ ἤματι κείνῳ
all and from-heaven looked-down gods on-day that
νῆα καὶ ἡμιθέων ἀνδρῶν μένος, οἳ τότ᾽ ἄριστοι
the-ship and of-demigods of-men the-might who then best
πόντον ἐπιπλώεσκον· ἐπ᾽ ἀκροτάτῃσι δὲ νύμφαι
sea sailed-over on topmost and nymphs
Πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
Pelian peaks marveled gazing
ἔργον Ἀθηναίης Ἰτωνίδος, ἠδὲ καὶ αὐτοὺς
work of-Athena Itonian and also themselves
ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.
heroes with-hands brandishing oars
αὐτὰρ ὅγ᾽ ἐξ ὑπάτου ὄρεος κίεν ἄγχι θαλάσσης
but he from highest mountain went near sea
Χείρων Φιλλυρίδης, πολιῇ δ᾽ ἐπὶ κύματος ἀγῇ
Chiron son-of-Philyra gray and at of-wave breaking
τέγγε πόδας, καὶ πολλὰ βαρείῃ χειρὶ κελεύων,
wetted feet and much with-heavy hand waving
νόστον ἐπευφήμησεν ἀκηδέα νισσομένοισιν.
return wished-well-of free-from-care for-the-going-ones
σὺν καί οἱ παράκοιτις ἐπωλένιον φορέουσα
with and him wife on-arm carrying
Πηλεΐδην Ἀχιλῆα, φίλῳ δειδίσκετο πατρί.
son-of-Peleus Achilles to-dear held-up father

Οἱ δ' ὅτε δὴ λιμένος περιηγέα κάλλιπον ἀκτὴν
They and when indeed of-harbor curving had-left shore
φραδμοσύνῃ μήτι τε δαΐφρονος Ἁγνιάδαο
by-the-skill counsel and of-wise of-the-son-of-Hagnias
Τίφυος, ὅς ῥ' ἐνὶ χερσὶν ἐύξοα τεχνηέντως
Tiphys who then in hands well-polished skillfully
πηδάλι' ἀμφιέπεσκ', ὄφρ' ἔμπεδον ἐξιθύνοι,
rudders handled so-that steadily he-might-steer
δή ῥα τότε μέγαν ἱστὸν ἐνεστήσαντο μεσόδμῃ,
indeed then then great mast set-up in-the-mast-box
δῆσαν δὲ προτόνοισι, τανυσσάμενοι ἑκάτερθεν,
bound and with-forestays tightening on-either-side
κὰδ δ' αὐτοῦ λίνα χεῦαν, ἐπ' ἠλακάτην ἐρύσαντες.
down and from-it linen poured on masthead having-hauled
ἐν δὲ λιγὺς πέσεν οὖρος· ἐπ' ἰκριόφιν δὲ κάλωας
in and shrill fell wind on deck and ropes
ξεστῇσιν περόνῃσι διακριδὸν ἀμφιβαλόντες
on-polished pins separately casting-around
Τισαίην εὔκηλοι ὑπὲρ δολιχὴν θέον ἄκρην.
Tisaean calmly beyond long ran headland
τοῖσι δὲ φορμίζων εὐθήμονι μέλπεν ἀοιδῇ
for-them and playing-the-lyre in-well-ordered sang song
Οἰάγροιο πάις νηοσσόον εὐπατέρειαν
of-Oeagrus son ship-saving of-noble-sire
Ἄρτεμιν, ἣ κείνας σκοπιὰς ἁλὸς ἀμφιέπεσκεν
Artemis who those peaks of-sea watched-over

ῥυομένη καὶ γαῖαν Ἰωλκίδα· τοὶ δὲ βαθείης
protecting also land Iolcian they and of-deep
ἰχθύες ἀίσσοντες ὕπερθ' ἁλός, ἄμμιγα παύροις
fishes darting over sea mingled with-small
ἄπλετοι, ὑγρὰ κέλευθα διασκαίροντες ἕποντο.
countless watery paths bounding followed
ὡς δ' ὁπότ' ἀγραύλοιο κατ' ἴχνια σημαντῆρος
as and when of-the-rustic in tracks of-shepherd
μυρία μῆλ' ἐφέπονται ἄδην κεκορημένα ποίης
countless sheep follow fully sated of-grass
εἰς αὐλιν, ὁ δέ τ' εἶσι πάρος σύριγγι λιγείῃ
to fold he and — goes before with-pipe sbrill
καλὰ μελιζόμενος νόμιον μέλος· ὣς ἄρα τοίγε
beautifully playing pastoral tune so then they
ὠμάρτευν· τὴν δ' αἰὲν ἐπασσύτερος φέρεν οὖρος.
followed it and ever unceasing bore wind
Αὐτίκα δ' ἠερίη πολυλήιος αἶα Πελασγῶν
At-once and misty rich-in-corn land of-Pelasgians
δύετο, Πηλιάδας δὲ παρεξήμειβον ἐρίπνας
sank Pelian and they-passed crags
αἰὲν ἐπιπροθέοντες· ἔδυνε δὲ Σηπιὰς ἄκρη,
ever running-forward sank and Sepian headland
φαίνετο δ' εἰναλίη Σκίαθος, φαίνοντο δ' ἄπωθεν
appeared and sea-girt Sciathus appeared and far-off
Πειρεσιαὶ Μάγνησά θ' ὑπεύδιος ἠπείροιο
Peiresiae Magnesian and calm of-mainland
ἀκτὴ καὶ τύμβος Δολοπήιος· ἔνθ' ἄρα τοίγε
shore and tomb of-Dolops there then they
ἑσπέριοι ἀνέμοιο παλιμπνοίῃσιν ἔκελσαν,
in-the-evening of-wind by-the-contrary-blasts put-in

καί μιν κυδαίνοντες ὑπὸ κνέφας ἔντομα μήλων
and him honoring at dusk victims of-sheep
κεῖαν, ὀρινομένης ἁλὸς οἴδματι· διπλόα δ᾽ ἀκταῖς
burned of-rising sea with-the-swell two and on-shores
ἤματ᾽ ἐλινύεσκον· ἀτὰρ τριτάτῳ προέηκαν
days they-lingered but on-third sent-forth
νῆα, τανυσσάμενοι περιώσιον ὑψόθι λαῖφος.
ship stretching very-great on-high sail
τὴν δ᾽ ἀκτὴν Ἀφέτας Ἀργοῦς ἔτι κικλήσκουσιν.
that and shore Aphetae of-Argo still they-call
Ἔνθεν δὲ προτέρωσε παρεξέθεον Μελίβοιαν,
Thence and forward ran-past Meliboea
ἀκτήν τ᾽ αἰγιαλόν τε δυσήνεμον †εἰσορόωντες.†
shore both beach and stormy (corrupt)-seeing
ἠῶθεν δ᾽ Ὁμόλην αὐτοσχεδὸν εἰσορόωντες
at-dawn and Homole straightway seeing
πόντῳ κεκλιμένην παρεμέτρεον· οὐδ᾽ ἔτι δηρὸν
on-sea leaning they-passed nor longer long
μέλλον ὑπὲκ ποταμοῖο βαλεῖν Ἀμύροιο ῥέεθρα.
they-were-about beyond of-river to-cast-off of-Amyrus streams
κεῖθεν δ᾽ Εὐρυμενάς τε πολυκλύστους τε φάραγγας
thence and Eurymenae both wave-washed and ravines
Ὄσσης Οὐλύμποιό τ᾽ ἐσέδρακον· αὐτὰρ ἔπειτα
of-Ossa of-Olympus and saw but afterward
κλίτεα Παλλήναια, Καναστραίην ὑπὲρ ἄκρην,
slopes Pallenean Canastraean beyond headland
ἤνυσαν ἐννύχιοι πνοιῇ ἀνέμοιο θέοντες.
reached by-night with-blast of-wind running

ἦρι δὲ νισσομένοισιν Ἄθω ἀνέτελλε κολώνη
at-dawn and to-the-going-ones Athos rose hill
Θρηικίη, ἣ τόσσον ἀπόπροθι Λῆμνον ἐοῦσαν,
Thracian which so-far away Lemnos being
ὅσσον ἐς ἔνδιόν κεν ἐύστολος ὁλκὰς ἀνύσσαι,
as-far to midday — well-equipped merchantman would-reach
ἀκροτάτῃ κορυφῇ σκιάει, καὶ ἐσάχρι Μυρίνης.
with-topmost peak shades even as-far-as Myrine
τοῖσιν δ' αὐτῆμαρ μὲν ἄεν καὶ ἐπὶ κνέφας οὖρος
for-them and that-same-day indeed blew and till dusk wind
πάγχυ μάλ' ἀκραής, τετάνυστο δὲ λαίφεα νηός.
altogether very fresh were-stretched and sails of-ship
αὐτὰρ ἅμ' ἠελίοιο βολαῖς ἀνέμοιο λιπόντος
but with of-the-sun rays the-wind having-ceased
εἰρεσίῃ κραναὴν Σιντηίδα Λῆμνον ἵκοντο.
by-rowing rugged Sintian Lemnos they-reached

The poet tells how the Lemnian women, in Cypris' wrath, slew all the men of the island, and how Hypsipyle saved her father Thoas in a chest. Fearing the newcomers, the women arm themselves and hold assembly; Hypsipyle proposes to send the strangers gifts, but old Polyxo, warning of Thracian raids and a childless old age, urges that they entrust their houses and their town to the strangers. Iphinoe brings the invitation, and Jason puts on the purple cloak Athena gave him, embroidered with scenes of gods and heroes.

Ἔνθ' ἄμυδις πᾶς δῆμος ὑπερβασίῃσι γυναικῶν
There together all the-people by-the-transgressions of-the-women
νηλειῶς δέδμητο παροιχομένῳ λυκάβαντι.
pitilessly had-been-subdued in-the-past year
δὴ γὰρ κουριδίας μὲν ἀπηνήναντο γυναῖκας
indeed for wedded indeed had-rejected wives
ἀνέρες ἐχθήραντες, ἔχον δ' ἐπὶ ληιάδεσσιν
the-men having-hated had and for captive-women
τρηχὺν ἔρον, ἃς αὐτοὶ ἀγίνεον ἀντιπέρηθεν
fierce love whom themselves brought from-opposite
Θρηικίην δῃοῦντες· ἐπεὶ χόλος αἰνὸς ὄπαζεν
Thrace ravaging since wrath dread pursued
Κύπριδος, οὕνεκά μιν γεράων ἐπὶ δηρὸν ἄτισσαν.
of-Cypris because her of-honors for long they-slighted
ὦ μέλεαι, ζήλοιό τ' ἐπισμυγερῶς ἀκόρητοι.
O wretched of-jealousy and grievously insatiate

οὐκ οἷον σὺν τῇσιν ἑοὺς ἔρραισαν ἀκοίτας
not only with them their-own they-destroyed husbands
ἀμφ' εὐνῇ, πᾶν δ' ἄρσεν ὁμοῦ γένος, ὥς κεν ὀπίσσω
around the-bed all and male together race so-that — hereafter
μήτινα λευγαλέοιο φόνου τίσειαν ἀμοιβήν.
not-any of-baneful murder they-might-pay requital
οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς
alone and of all aged spared father
Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ δῆμον ἄνασσεν·
Hypsipyle of-Thoas who indeed over people ruled
λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι,
chest and in hollow him over sea sent to-be-borne
αἴ κε φύγῃ. καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
if — he-might-escape and him indeed to Oenoe dragged
πρόσθεν, ἀτὰρ Σίκινόν γε μεθύστερον αὐδηθεῖσαν
formerly but Sicinus indeed afterward called
νῆσον, ἐπακτῆρες, Σικίνου ἄπο, τόν ῥα Θόαντι
island fishermen Sicinus from whom then to-Thoas
νηιὰς Οἰνοίη νύμφη τέκεν εὐνηθεῖσα.
naiad Oenoe nymph bore having-lain
τῇσι δὲ βουκόλιαί τε βοῶν χάλκειά τε δύνειν
for-them and herdings both of-cattle bronze and to-put-on
τεύχεα, πυροφόρους τε διατμήξασθαι ἀρούρας
arms wheat-bearing and to-plow-through fields
ῥηίτερον πάσῃσιν Ἀθηναίης πέλεν ἔργων,
easier for-all of-Athena was than-the-works

οἷς αἰεὶ τὸ πάροιθεν ὁμίλεον. ἀλλὰ γὰρ ἔμπης
with-which ever the before they-had-occupied-themselves but for nevertheless
ἦ θαμὰ δὴ πάπταινον ἐπὶ πλατὺν ὄμμασι πόντον
truly often indeed they-looked on broad with-eyes sea
δείματι λευγαλέῳ, ὁπότε Θρήικες ἴασιν.
with-fear grievous when Thracians should-come
τῷ καὶ ὅτ' ἐγγύθι νήσου ἐρεσσομένην ἴδον Ἀργώ,
therefore also when near of-the-island being-rowed they-saw Argo
αὐτίκα πασσυδίῃ πυλέων ἔκτοσθε Μυρίνης
at-once in-all-haste of-the-gates outside of-Myrine
δήια τεύχεα δῦσαι ἐς αἰγιαλὸν προχέοντο,
hostile arms having-put-on to beach poured-forth
Θυιάσιν ὠμοβόροις ἴκελαι· φὰν γάρ που ἱκάνειν
to-Thyiads raw-eating like they-thought for surely to-be-coming
Θρήικας· ἡ δ' ἅμα τῇσι Θοαντιὰς Ὑψιπύλεια
Thracians she and with them daughter-of-Thoas Hypsipyle
δῦν' ἐνὶ τεύχεσι πατρός. ἀμηχανίῃ δ' ἐχέοντο
put-on in arms of-father in-helplessness and were-poured
ἄφθογγοι· τοῖόν σφιν ἐπὶ δέος ᾐωρεῖτο.
speechless such them over fear hovered
Τείως δ' αὖτ' ἐκ νηὸς ἀριστῆες προέηκαν
Meanwhile and in-turn from ship chieftains sent-forth
Αἰθαλίδην κήρυκα θοόν, τῷπέρ τε μέλεσθαι
Aethalides herald swift to-whom — to-be-a-care
ἀγγελίας καὶ σκῆπτρον ἐπέτρεπον Ἑρμείαο,
messages and staff they-entrusted of-Hermes

σφωιτέροιο τοκῆος, ὅ οἱ μνῆστιν πόρε πάντων
of-his-own of-father who to-him memory gave of-all-things
ἄφθιτον· οὐδ' ἔτι νῦν περ ἀποιχομένου Ἀχέροντος
imperishable nor longer now indeed of-departed of-Acheron
δίνας ἀπροφάτους ψυχὴν ἐπιδέδρομε λήθη·
eddies unspeakable soul has-overrun forgetfulness
ἀλλ' ἥγ' ἔμπεδον αἰὲν ἀμειβομένη μεμόρηται,
but it unchangingly ever shifting is-fated
ἄλλοθ' ὑποχθονίοις ἐναρίθμιος, ἄλλοτ' ἐς αὐγὰς
now with-the-dwellers-underground numbered now to rays
ἠελίου ζωοῖσι μετ' ἀνδράσιν. ἀλλὰ τί μύθους
of-sun living among men but why tales
Αἰθαλίδεω χρειώ με διηνεκέως ἀγορεύειν;
of-Aethalides necessity me continuously to-tell
ὅς ῥα τόθ' Ὑψιπύλην μειλίξατο δέχθαι ἰόντας
who then then Hypsipyle persuaded to-receive the-ones-coming
ἤματος ἀνομένοιο διὰ κνέφας· οὐδὲ μὲν ἠοῖ
of-day ending through dusk nor indeed at-dawn
πείσματα νηὸς ἔλυσαν ἐπὶ πνοιῇ βορέαο.
cables of-ship they-loosed on breath of-north-wind
Λημνιάδες δὲ γυναῖκες ἀνὰ πτόλιν ἶζον ἰοῦσαι
Lemnian and women through city sat going
εἰς ἀγορήν· αὐτὴ γὰρ ἐπέφραδεν Ὑψιπύλεια.
into assembly herself for told Hypsipyle
καί ῥ' ὅτε δὴ μάλα πᾶσαι ὁμιλαδὸν ἠγερέθοντο,
and then when indeed very all in-a-throng had-gathered
αὐτίκ' ἄρ' ἥγ' ἐνὶ τῇσιν ἐποτρύνουσ' ἀγόρευεν·
at-once then she among them urging spoke

" Ὦ φίλαι, εἰ δ' ἄγε δὴ μενοεικέα δῶρα πόρωμεν
O friends if and come indeed satisfying gifts let-us-give
ἀνδράσιν, οἷά τ' ἔοικεν ἄγειν ἐπὶ νηὸς ἔχοντας,
to-the-men such-as — it-is-fitting to-carry on ship having
ἤια, καὶ μέθυ λαρόν, ἵν' ἔμπεδον ἔκτοθι πύργων
provisions and wine sweet so-that steadfastly outside of-towers
μίμνοιεν, μηδ' ἄμμε κατὰ χρειὼ μεθέποντες
they-may-remain nor us through need visiting
ἀτρεκέως γνώωσι, κακὴ δ' ἐπὶ πολλὸν ἵκηται
truly may-know evil and over far may-come
βάξις· ἐπεὶ μέγα ἔργον ἐρέξαμεν, οὐδέ τι πάμπαν
report since great deed we-did nor at-all wholly
θυμηδὲς καὶ τοῖσι τόγ' ἔσσεται, εἴ κε δαεῖεν.
heart-pleasing even to-them this will-be if — they-should-learn
ἡμετέρη μὲν νῦν τοίη παρενήνοθε μῆτις·
our indeed now such has-come-forth counsel
ὑμέων δ' εἴ τις ἄρειον ἔπος μητίσεται ἄλλη,
of-you but if any better word will-devise other
ἐγρέσθω· τοῦ γάρ τε καὶ εἵνεκα δεῦρο κάλεσσα."
let-her-rise of-this for — also for-the-sake-of hither I-called
Ὣς ἄρ' ἔφη, καὶ θῶκον ἐφίζανε πατρὸς ἑοῖο
So then she-spoke and seat sat-on of-father her-own
λάινον· αὐτὰρ ἔπειτα φίλη τροφὸς ὦρτο Πολυξώ,
of-stone but afterward dear nurse rose Polyxo
γήραϊ δὴ ῥικνοῖσιν ἐπισκάζουσα πόδεσσιν,
with-age indeed with-shriveled limping with-feet
βάκτρῳ ἐρειδομένη, περὶ δὲ μενέαιν' ἀγορεῦσαι.
on-staff leaning exceedingly and she-desired to-speak

τῇ καὶ παρθενικαὶ πίσυρες σχεδὸν ἑδριόωντο
by-her and maidens four near sat
ἀδμῆτες λευκῇσιν ἐπιχνοάουσῃ ἐθείραις.
unwed with-white with-down-tinged hair
στῆ δ' ἄρ' ἐνὶ μέσσῃ ἀγορῇ, ἀνὰ δ' ἔσχεθε δειρὴν
stood and then in middle assembly up and she-raised neck
ἦκα μόλις κυφοῖο μεταφρένου, ὧδέ τ' ἔειπεν·
gently hardly of-bent back thus and spoke
"Δῶρα μέν, ὡς αὐτῇ περ ἐφανδάνει Ὑψιπυλείῃ,
Gifts indeed as herself indeed pleases Hypsipyle
πέμπωμεν ξείνοισιν, ἐπεὶ καὶ ἄρειον ὀπάσσαι.
let-us-send to-the-strangers since even better to-give
ὔμμι γε μὴν τίς μῆτις ἐπαύρεσθαι βιότοιο,
for-you indeed truly what plan to-profit of-life
αἴ κεν ἐπιβρίσῃ Θρήιξ στρατός, ἠέ τις ἄλλος
if — should-fall-on Thracian army or some other
δυσμενέων, ἅ τε πολλὰ μετ' ἀνθρώποισι πέλονται;
of-foes which — many among men are
ὡς καὶ νῦν ὅδ' ὅμιλος ἀνωίστως ἐφικάνει.
as also now this throng unexpectedly comes
εἰ δὲ τὸ μὲν μακάρων τις ἀποτρέποι, ἄλλα δ' ὀπίσσω
if and this indeed of-the-blessed some should-avert others and hereafter
μυρία δηιοτῆτος ὑπέρτερα πήματα μίμνει,
countless than-war greater woes remain
εὖτ' ἂν δὴ γεραραὶ μὲν ἀποφθινύθωσι γυναῖκες,
when — indeed the-aged indeed waste-away women
κουρότεραι δ' ἄγονοι στυγερὸν ποτὶ γῆρας ἵκησθε.
the-younger and childless hateful to old-age you-come

πῶς τῆμος βώσεσθε δυσάμμοροι; ἦε βαθείαις
how then will-you-live ill-fated or in-deep
αὐτόματοι βόες ὔμμιν ἐνιζευχθέντες ἀρούραις
of-themselves oxen for-you yoked in-fields
γειοτόμον νειοῖο διειρύσσουσιν ἄροτρον,
earth-cleaving through-fallow will-drag plow
καὶ πρόκα τελλομένου ἔτεος στάχυν ἀμήσονται;
and at-once with-the-revolving year ear will-reap
ἦ μὲν ἐγών, εἰ καί με τὰ νῦν ἔτι πεφρίκασιν
truly indeed I if even me the-things now still shudder-at
Κῆρες, ἐπερχόμενόν που ὀίομαι εἰς ἔτος ἤδη
the-Fates approaching surely I-think in year already
γαῖαν ἐφέσσεσθαι, κτερέων ἀπὸ μοῖραν ἑλοῦσαν
earth to-be-going-to-clothe burial-rites from portion having-taken
αὔτως, ἣ θέμις ἐστί, πάρος κακότητα πελάσσαι.
just-so as right is before evil to-draw-near
ὁπλοτέρῃσι δὲ πάγχυ τάδε φράζεσθαι ἄνωγα.
to-the-younger and wholly these-things to-consider I-bid
νῦν γὰρ δὴ παρὰ ποσσὶν ἐπήβολός ἐστ᾽ ἀλεωρή,
now for indeed beside feet at-hand is escape
εἴ κεν ἐπιτρέψητε δόμους καὶ ληΐδα πᾶσαν
if — you-should-entrust houses and booty all
ὑμετέρην ξείνοισι καὶ ἀγλαὸν ἄστυ μέλεσθαι.”
your to-the-strangers and splendid town to-care-for

Ὣς ἔφατ᾽· ἐν δ᾽ ἀγορὴ πλῆτο θρόου. εὖαδε γάρ σφιν
So she-spoke in and assembly was-filled with-murmur pleased for them
μῦθος. ἀτὰρ μετὰ τήνγε παρασχεδὸν αὖτις ἀνῶρτο
the-word but after her at-once again rose
Ὑψιπύλη, καὶ τοῖον ὑποβλήδην ἔπος ηὔδα·
Hypsipyle and such in-reply word spoke

"Εἰ μὲν δὴ πάσῃσιν ἐφανδάνει ἥδε μενοινή,
If indeed truly to-all pleases this purpose
ἤδη κεν μετὰ νῆα καὶ ἄγγελον ὀτρύναιμι."
already — to ship also a-messenger I-would-send
Ἦ ῥα, καὶ Ἰφινόην μετεφώνεεν ἆσσον ἐοῦσαν·
she-spoke then and Iphinoe addressed near being
"Ὄρσο μοι, Ἰφινόη, τοῦδ' ἀνέρος ἀντιόωσα,
Rise for-me Iphinoe this man meeting
ἡμέτερόνδε μολεῖν, ὅστις στόλου ἡγεμονεύει,
to-our-house to-come whoever the-expedition leads
ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπω·
so-that some to-him of-the-people word heart-pleasing I-may-tell
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ' ἐθέλωσιν,
and and themselves of-land both and of-town if — they-wish
κέκλεο θαρσαλέως ἐπιβαινέμεν εὐμενέοντας."
bid boldly to-set-foot well-disposed
Ἦ, καὶ ἔλυσ' ἀγορήν, μετὰ δ' εἰς ἑὸν ὦρτο νέεσθαι.
She-spoke and dissolved assembly after and to her-own rose to-go
ὣς δὲ καὶ Ἰφινόη Μινύας ἵκεθ'· οἱ δ' ἐρέεινον,
so and also Iphinoe Minyae came they and asked
χρεῖος ὅ τι φρονέουσα μετήλυθεν. ὦκα δὲ τούσγε
need what ever minding she-had-come quickly and them
πασσυδίῃ μύθοισι προσέννεπεν ἐξερέοντας·
in-all-haste with-words addressed asking
"Κούρη τοί μ' ἐφέηκε Θοαντιὰς ἐνθάδ' ἰοῦσαν,
Maiden you-know me sent daughter-of-Thoas here coming
Ὑψιπύλη, καλέειν νηὸς πρόμον, ὅστις ὄρωρεν,
Hypsipyle to-call of-ship leader whoever has-arisen
ὄφρα τί οἱ δήμοιο ἔπος θυμῆρες ἐνίσπῃ·
so-that some to-him of-the-people word heart-pleasing she-may-tell

καὶ δ᾽ αὐτοὺς γαίης τε καὶ ἄστεος, αἴ κ᾽ ἐθέλητε,
and and yourselves of-land both and of-town if — you-wish
κέκλεται αὐτίκα νῦν ἐπιβαινέμεν εὐμενέοντας.”
she-bids at-once now to-set-foot well-disposed
῾Ως ἄρ᾽ ἔφη· πάντεσσι δ᾽ ἐναίσιμος ἤνδανε μῦθος.
So then she-spoke to-all and auspicious pleased the-word
Ὑψιπύλην δ᾽ εἴσαντο καταφθιμένοιο Θόαντος
Hypsipyle and they-supposed of-dead Thoas
τηλυγέτην γεγαυῖαν ἀνασσέμεν· ὦκα δὲ τόνγε
dearly-loved being to-rule quickly and him
πέμπον ἴμεν, καὶ δ᾽ αὐτοὶ ἐπεντύνοντο νέεσθαι.
they-sent to-go and and themselves made-ready to-go
Αὐτὰρ ὅγ᾽ ἀμφ᾽ ὤμοισι θεᾶς Τριτωνίδος ἔργον,
But he about shoulders of-goddess Tritonian work
δίπλακα πορφυρέην περονήσατο, τήν οἱ ὄπασσεν
double-mantle purple pinned which to-him gave
Παλλάς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
Pallas when first keel-props she-laid of-ship
Ἀργοῦς, καὶ κανόνεσσι δάε ζυγὰ μετρήσασθαι.
of-Argo and with-rules taught beams to-measure
τῆς μὲν ῥηίτερόν κεν ἐς ἠέλιον ἀνιόντα
on-it indeed easier — to sun rising
ὄσσε βάλοις, ἢ κεῖνο μεταβλέψειας ἔρευθος.
eyes you-would-cast than that you-could-behold redness
δὴ γάρ τοι μέσση μὲν ἐρευθήεσσα τέτυκτο,
indeed for you-know middle indeed red was-made
ἄκρα δὲ πορφυρέη πάντῃ πέλεν· ἐν δ᾽ ἄρ᾽ ἑκάστῳ
ends and purple everywhere was in and then each
τέρματι δαίδαλα πολλὰ διακριδὸν εὖ ἐπέπαστο.
border cunning-works many separately well were-woven

Ἐν μὲν ἔσαν Κύκλωπες ἐπ᾽ ἀφθίτῳ ἥμενοι ἔργῳ,
In indeed were Cyclopes at imperishable seated work
Ζηνὶ κεραυνὸν ἄνακτι πονεύμενοι· ὃς τόσον ἤδη
for-Zeus thunderbolt for-the-lord laboring which so-much now
παμφαίνων ἐτέτυκτο, μιῆς δ᾽ ἔτι δεύετο μοῦνον
all-gleaming was-made of-one and still lacked only
ἀκτῖνος, τὴν οἵγε σιδηρείῃς ἐλάασκον
ray it they with-iron beat
σφύρῃσιν, μαλεροῖο πυρὸς ζείουσαν ἀυτμήν.
with-hammers of-raging fire boiling blast
Ἐν δ᾽ ἔσαν Ἀντιόπης Ἀσωπίδος υἷέε δοιώ,
In and were of-Antiope daughter-of-Asopus sons two
Ἀμφίων καὶ Ζῆθος· ἀπύργωτος δ᾽ ἔτι Θήβη
Amphion and Zethus towerless and still Thebe
κεῖτο πέλας, τῆς οἵγε νέον βάλλοντο δομαίους
lay near of-which they newly laid foundations
ἱέμενοι. Ζῆθος μὲν ἐπωμαδὸν ἠέρταζεν
eager Zethus indeed on-shoulders raised
οὔρεος ἠλιβάτοιο κάρη, μογέοντι ἐοικώς·
of-mountain steep peak toiling like
Ἀμφίων δ᾽ ἐπί οἱ χρυσέῃ φόρμιγγι λιγαίνων
Amphion and behind him with-golden lyre playing-clear
ἤιε, δὶς τόσση δὲ μετ᾽ ἴχνια νίσσετο πέτρη.
went twice so-great and after footsteps went rock
Ἑξείης δ᾽ ἤσκητο βαθυπλόκαμος Κυθέρεια
Next and was-wrought deep-tressed Cytherea
Ἄρεος ὀχμάζουσα θοὸν σάκος· ἐκ δέ οἱ ὤμου
of-Ares holding swift shield from and her shoulder
πῆχυν ἔπι σκαιὸν ξυνοχὴ κεχάλαστο χιτῶνος
forearm on left the-fastening was-loosed of-tunic

745 νέρθεν ὑπὲκ μαζοῖο· τὸ δ᾽ ἀντίον ἀτρεκὲς αὕτως
below beneath breast it and opposite exactly just-so
χαλκείῃ δείκηλον ἐν ἀσπίδι φαίνετ᾽ ἰδέσθαι.
bronze image in shield appeared to-see
Ἐν δὲ βοῶν ἔσκεν λάσιος νομός· ἀμφὶ δὲ βουσὶν
In and of-oxen was shaggy pasture about and oxen
Τηλεβόαι μάρναντο καὶ υἱέες Ἠλεκτρύωνος·
Teleboans fought and sons of-Electryon
οἱ μὲν ἀμυνόμενοι, ἀτὰρ οἵγ᾽ ἐθέλοντες ἀμέρσαι,
they indeed defending but they wishing to-rob
750 λησταὶ Τάφιοι· τῶν δ᾽ αἵματι δεύετο λειμὼν
robbers Taphian of-them and with-blood was-wet meadow
ἑρσήεις, πολέες δ᾽ ὀλίγους βιόωντο νομῆας.
dewy many and few overpowered herdsmen
Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντες.
In and two chariots were-wrought contending
καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε, τινάσσων
and the-one indeed in-front Pelops guided shaking
ἡνία, σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια·
reins with and him was fellow-rider Hippodamia
755 τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους,
the-other and in-pursuit after Myrtilus drove horses
σὺν τῷ δ᾽ Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς
with him and Oenomaus forward-stretched spear in-hand having-grasped
ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
of-axle in naves sideways breaking
πῖπτεν, ἐπεσσύμενος Πελοπήια νῶτα δαΐξαι.
was-falling rushing of-Pelops back to-pierce

Ἐν καὶ Ἀπόλλων Φοῖβος ὀιστεύων ἐτέτυκτο,
In also Apollo Phoebus shooting was-wrought
βούπαις οὔπω πολλός, ἑὴν ἐρύοντα καλύπτρης
a-big-boy not-yet great his-own dragging by-the-veil
μητέρα θαρσαλέως Τιτυὸν μέγαν, ὅν ῥ' ἔτεκέν γε
mother boldly Tityus great whom then bore indeed
δῖ' Ἐλάρη, θρέψεν δὲ καὶ ἂψ ἐλοχεύσατο Γαῖα.
divine Elare reared and also again brought-forth Earth
Ἐν καὶ Φρίξος ἔην Μινυήιος ὡς ἐτεόν περ
In also Phrixus was the-Minyan as truly indeed
εἰσαΐων κριοῦ, ὁ δ' ἄρ' ἐξενέποντι ἐοικώς.
listening of-the-ram he and then speaking-out like
κείνους κ' εἰσορόων ἀκέοις, ψεύδοιό τε θυμόν,
them — gazing-on you-would-be-silent you-would-be-deceived and heart
ἐλπόμενος πυκινήν τιν' ἀπὸ σφείων ἐσακοῦσαι
hoping wise some from them to-hear
βάξιν, ὃ καὶ δηρόν περ ἐπ' ἐλπίδι θηήσαιο.
utterance which even long though in hope you-would-gaze
Τοῖ' ἄρα δῶρα θεᾶς Τριτωνίδος ἦεν Ἀθήνης.
Such then the-gifts of-goddess Tritonian were of-Athena
δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' Ἀταλάντη
in-right-hand and he-took spear far-darting which then Atalanta
Μαινάλῳ ἔν ποτέ οἱ ξεινήιον ἐγγυάλιξεν,
Maenalus on once to-him as-guest-gift gave
πρόφρων ἀντομένη· περὶ γὰρ μενέαινεν ἕπεσθαι
eagerly meeting greatly for she-desired to-follow
τὴν ὁδόν· ἀλλὰ γὰρ αὐτὸς ἑκὼν ἀπερήτυε κούρην,
the road but for himself willingly held-back the-maiden
δείσεν δ' ἀργαλέας ἔριδας φιλότητος ἕκητι.
he-feared and grievous strifes of-love because-of

Jason goes to the city like a star, and Hypsipyle tells him a false tale of the men's departure and offers him her father's throne. He declines the throne but accepts her welcome, and the heroes go in among the women, all but Heracles and a few with him. When the voyage is put off day after day, Heracles calls the heroes together and rebukes them for lingering, and they make ready to sail. Hypsipyle bids Jason farewell and asks him to remember her, and Jason bids her, if she bears a son, send him to his parents in Iolcus.

Βῆ δ' ἴμεναι προτὶ ἄστυ, φαεινῷ ἀστέρι ἶσος,
He-went and to-go toward town to-shining to-star like
ὅν ῥά τε νηγατέῃσιν ἐεργόμεναι καλύβῃσιν
which then — in-new-built shut-in in-bowers
νύμφαι θηήσαντο δόμων ὕπερ ἀντέλλοντα,
brides gaze-at houses above rising
καί σφισι κυανέοιο δι' ἠέρος ὄμματα θέλγει
and their of-dark through air eyes it-charms
καλὸν ἐρευθόμενος, γάνυται δέ τε ἠιθέοιο
beautifully reddening rejoices and — of-the-youth
παρθένος ἱμείρουσα μετ' ἀλλοδαποῖσιν ἐόντος
the-maiden longing among foreign being
ἀνδράσιν, ᾧ καί μιν μνηστὴν κομέουσι τοκῆες·
men for-whom also her bride keep parents
τῷ ἴκελος πρὸ πόληος ἀνὰ στίβον ἤιεν ἥρως.
to-it like before city along path went the-hero
καί ῥ' ὅτε δὴ πυλέων τε καὶ ἄστεος ἐντὸς ἔβησαν,
and then when indeed of-gates both and of-town within they-came
δημότεραι μὲν ὄπισθεν ἐπεκλονέοντο γυναῖκες,
the-common indeed behind thronged women

γηθόσυναι ξείνῳ· ὁ δ' ἐπὶ χθονὸς ὄμματ' ἐρείσας
rejoicing in-the-stranger he and on ground eyes fixing
νίσσετ' ἀπηλεγέως, ὄφρ' ἀγλαὰ δώματθ' ἵκανεν
went unheeding until splendid house he-reached
Ὑψιπύλης· ἄνεσαν δὲ πύλας προφανέντι θεράπναι
of-Hypsipyle opened and gates for-the-one-appearing maidservants
δικλίδας, εὐτύκτοισιν ἀρηρεμένας σανίδεσσιν.
folding-doors with-well-made fitted with-panels
ἔνθα μιν Ἰφινόη κλισμῷ ἔνι παμφανόωντι
there him Iphinoe chair in shining
ἐσσυμένως καλῆς διὰ παστάδος εἷσεν ἄγουσα
hastily fair through porch seated leading
ἀντία δεσποίνης· ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
opposite of-the-mistress she and aside eyes casting
παρθενικὰς ἐρύθηνε παρηίδας· ἔμπα δὲ τόνγε
maidenly reddened cheeks nevertheless and him
αἰδομένη μύθοισι προσέννεπεν αἱμυλίοισιν·
feeling-shame with-words addressed wily
"Ξεῖνε, τίη μίμνοντες ἐπὶ χρόνον ἔκτοθι πύργων
Stranger why remaining for time outside of-towers
ἧσθ' αὔτως; ἐπεὶ οὐ μὲν ὑπ' ἀνδράσι ναίεται ἄστυ,
you-sit just-so since not indeed by men is-inhabited town
ἀλλὰ Θρηικίης ἐπινάστιοι ἠπείροιο
but of-Thracian as-settlers of-mainland
πυροφόρους ἀρόωσι γύας. κακότητα δὲ πᾶσαν
wheat-bearing plow fields evil and all
ἐξερέω νημερτές, ἵν' εὖ γνοίητε καὶ αὐτοί.
I-will-tell truly so-that well you-may-know and yourselves
εὖτε Θόας ἀστοῖσι πατὴρ ἐμὸς ἐμβασίλευεν,
when Thoas over-citizens father my ruled

τηνίκα Θρηικίην, οἵ τ᾽ ἀντία ναιετάουσιν,
then Thracian who — opposite dwell
δήμου ἀπορνύμενοι λαοὶ πέρθεσκον ἐπαύλους
of-people setting-out the-folk sacked homesteads
ἐκ νηῶν, αὐτῇσι δ᾽ ἀπείρονα ληίδα κούραις
from ships with-their-very and boundless booty with-girls
δεῦρ᾽ ἄγον· οὐλομένης δὲ θεᾶς πορσύνετο μῆτις
here they-brought of-baneful and goddess was-accomplished the-plan
Κύπριδος, ἥ τέ σφιν θυμοφθόρον ἔμβαλεν ἄτην.
of-Cypris who — on-them soul-destroying cast blindness
δὴ γὰρ κουριδίας μὲν ἀπέστυγον, ἐκ δὲ μελάθρων,
indeed for wedded indeed they-loathed from and halls
ᾗ ματίῃ εἴξαντες, ἀπεσσεύοντο γυναῖκας·
to-their folly yielding drove-out wives
αὐτὰρ ληιάδεσσι δορικτήταις παρίαυον,
but with-captive-women spear-won they-slept
σχέτλιοι. ἦ μὲν δηρὸν ἐτέτλαμεν, εἴ κέ ποτ᾽ αὖτις
cruel truly indeed long we-endured if — ever again
ὀψὲ μεταστρέψωσι νόον· τὸ δὲ διπλόον αἰεὶ
late they-might-turn mind the and double ever
πῆμα κακὸν προύβαινεν. ἀτιμάζοντο δὲ τέκνα
woe evil advanced were-dishonored and children
γνήσι᾽ ἐνὶ μεγάροις, σκοτίη δ᾽ ἀνέτελλε γενέθλη.
legitimate in halls bastard and rose offspring
αὔτως δ᾽ ἀδμῆτές τε κόραι, χῆραί τ᾽ ἐπὶ τῇσιν
just-so and unwed both maidens widows and with them
μητέρες ἂμ πτολίεθρον ἀτημελέες ἀλάληντο.
mothers through city neglected wandered
οὐδὲ πατὴρ ὀλίγον περ ἑῆς ἀλέγιζε θυγατρός,
nor father little even his-own cared-for daughter

εἰ καὶ ἐν ὀφθαλμοῖσι δαϊζομένην ὁρόῳτο
if even before eyes being-slain he-should-see-her
μητρυιῆς ὑπὸ χερσὶν ἀτασθάλου· οὐδ' ἀπὸ μητρὸς
of-stepmother by hands wicked nor from mother
λώβην, ὡς τὸ πάροιθεν, ἀεικέα παῖδες ἄμυνον·
outrage as the before shameful sons warded-off
οὐδὲ κασιγνήτοισι κασιγνήτη μέλε θυμῷ.
nor for-brothers sister was-a-care in-heart
ἀλλ' οἷαι κοῦραι ληίτιδες ἔν τε δόμοισιν
but alone maidens captive in both houses
ἔν τε χοροῖς ἀγορῇ τε καὶ εἰλαπίνῃσι μέλοντο.
in both dances assembly and and feasts were-a-care
εἰσόκε τις θεὸς ἄμμιν ὑπέρβιον ἔμβαλε θάρσος,
until some god for-us overweening cast boldness
ἂψ ἀναερχομένους Θρῃκῶν ἄπο μηκέτι πύργοις
back returning Thracians from no-longer in-towers
δέχθαι, ἵν' ἢ φρονέοιεν ἅπερ θέμις, ἠέ πῃ ἄλλῃ
to-receive so-that either they-might-think what right or somewhere elsewhere
αὐταῖς ληιάδεσσιν ἀφορμηθέντες ἴκοιντο.
with-their-very captive-women having-set-out they-might-go
οἱ δ' ἄρα θεσσάμενοι παίδων γένος, ὅσσον ἔλειπτο
they and then having-asked-for of-sons race as-much-as was-left
ἄρσεν ἀνὰ πτολίεθρον, ἔβαν πάλιν, ἔνθ' ἔτι νῦν περ
male through city went back where still now indeed
Θρηικίης ἄροσιν χιονώδεα ναιετάουσιν.
of-Thrace plowland snowy they-inhabit
τῶ ὑμεῖς στρωφᾶσθ' ἐπιδήμιοι· εἰ δέ κεν αὖθι
therefore you roam as-sojourners if and — here
ναιετάειν ἐθέλοις, καί τοι ἄδοι, ἦ τ' ἂν ἔπειτα
to-dwell you-should-wish and to-you it-should-please truly — — then

πατρὸς ἐμεῖο Θόαντος ἔχοις γέρας· οὐδέ τί σ᾽ οἴω
of-father my of-Thoas you-would-have the-prize nor at-all you I-think
γαῖαν ὀνόσσεσθαι· περὶ γὰρ βαθυλήιος ἄλλων
the-land to-be-going-to-scorn exceedingly for deep-soiled than-other
νήσων, Αἰγαίῃ ὅσαι εἰν ἁλὶ ναιετάουσιν.
islands Aegean as-many-as in sea lie
ἀλλ᾽ ἄγε νῦν ἐπὶ νῆα κιὼν ἑτάροισιν ἐνίσπες
but come now to ship going to-comrades tell
μύθους ἡμετέρους, μηδ᾽ ἔκτοθι μίμνε πόληος.᾽᾽
words our nor outside remain of-city
Ἴσκεν, ἀμαλδύνουσα φόνου τέλος, οἷον ἐτύχθη
She-spoke glossing-over of-murder the-end as was-done
ἀνδράσιν· αὐτὰρ ὁ τήνγε παραβλήδην προσέειπεν·
to-the-men but he her in-reply addressed
᾽᾽ Ὑψιπύλη, μάλα κεν θυμηδέος ἀντιάσαιμεν
Hypsipyle very — of-heart-pleasing we-would-meet
χρησμοσύνης, ἣν ἄμμι σέθεν χατέουσιν ὀπάζεις.
of-help which to-us of-you needing you-give
εἶμι δ᾽ ὑπότροπος αὖτις ἀνὰ πτόλιν, εὖτ᾽ ἂν ἕκαστα
I-will-go and back again through city when — each-thing
ἐξείπω κατὰ κόσμον. ἀνακτορίη δὲ μελέσθω
I-tell in order the-kingship and let-be-a-care
σοίγ᾽ αὐτῇ καὶ νῆσος· ἔγωγε μὲν οὐκ ἀθερίζων
to-you yourself and the-island I indeed not slighting
χάζομαι, ἀλλά με λυγροὶ ἐπισπέρχουσιν ἄεθλοι.᾽᾽
draw-back but me grievous urge labors
Ἦ, καὶ δεξιτερῆς χειρὸς θίγεν· αἶψα δ᾽ ὀπίσσω
He-spoke and of-right hand touched quickly and back
βῆ ῥ᾽ ἴμεν, ἀμφὶ δὲ τόνγε νεήνιδες ἄλλοθεν ἄλλαι
went then to-go around and him young-women from-one-side another

μυρίαι εἰλίσσοντο κεχαρμέναι, ὄφρα πυλάων
countless swirled rejoicing until of-the-gates
ἐξέμολεν. μετέπειτα δ' ἐυτροχάλοισιν ἁμάξαις
he-went-out afterward and on-well-running wagons
ἀκτὴν εἰσαπέβαν, ξεινήια πολλὰ φέρουσαι,
to-shore they-went guest-gifts many bearing
μῦθον ὅτ' ἤδη πάντα διηνεκέως ἀγόρευσεν,
the-tale when already all in-full he-told
τόν ῥα καλεσσαμένη διεπέφραδεν Ὑψιπύλεια·
which then having-called told Hypsipyle
καὶ δ' αὐτοὺς ξεινοῦσθαι ἐπὶ σφέα δώματ' ἄγεσκον
and and them to-be-entertained to their houses they-led
ῥηιδίως. Κύπρις γὰρ ἐπὶ γλυκὺν ἵμερον ὧρσεν
easily Cypris for on sweet desire roused
Ἡφαίστοιο χάριν πολυμήτιος, ὄφρα κεν αὖτις
of-Hephaestus for-the-sake much-counseling so-that — again
ναίηται μετόπισθεν ἀκήρατος ἀνδράσι Λῆμνος.
may-be-inhabited hereafter unharmed by-men Lemnos
Ἔνθ' ὁ μὲν Ὑψιπύλης βασιλήιον ἐς δόμον ὦρτο
There he indeed of-Hypsipyle royal to house set-out
Αἰσονίδης· οἱ δ' ἄλλοι ὅπῃ καὶ ἔκυρσαν ἕκαστος,
son-of-Aeson they and others where also happened each
Ἡρακλῆος ἄνευθεν, ὁ γὰρ παρὰ νηὶ λέλειπτο
of-Heracles apart he for by ship had-been-left
αὐτὸς ἑκὼν παῦροί τε διακρινθέντες ἑταῖροι.
himself willingly few and picked comrades

αὐτίκα δ' ἄστυ χοροῖσι καὶ εἰλαπίνῃσι γεγήθει
at-once and town in-dances and feasts rejoiced
καπνῷ κνισήεντι περίπλεον· ἔξοχα δ' ἄλλων
with-smoke savory full above and others
ἀθανάτων Ἥρης υἷα κλυτὸν ἠδὲ καὶ αὐτὴν
of-the-immortals of-Hera son glorious and also herself
Κύπριν ἀοιδῇσιν θυέεσσί τε μειλίσσοντο.
Cypris with-songs with-sacrifices and appeased
ἀμβολίη δ' εἰς ἦμαρ ἀεὶ ἐξ ἤματος ἦεν
delay and to day ever from day was
ναυτιλίης· δηρὸν δ' ἂν ἐλίνυον αὖθι μένοντες,
of-voyage long and — they-would-have-tarried there remaining
εἰ μὴ ἀολλίσσας ἑτάρους ἀπάνευθε γυναικῶν
if not having-gathered comrades apart-from women
Ἡρακλέης τοίοισιν ἐνιπτάζων μετέειπεν·
Heracles with-such reproaching spoke-among
"Δαιμόνιοι, πάτρης ἐμφύλιον αἶμ' ἀποέργει
Strange-men of-fatherland kindred blood shuts-out
ἡμέας; ἦε γάμων ἐπιδευέες ἐνθάδ' ἔβημεν
us or of-marriages lacking here did-we-come
κεῖθεν, ὀνοσσάμενοι πολιήτιδας; αὖθι δ' ἔαδεν
thence having-scorned women-of-our-city here and it-pleased
ναίοντας λιπαρὴν ἄροσιν Λήμνοιο ταμέσθαι;
dwelling rich plowland of-Lemnos to-cleave
οὐ μὰν εὐκλειεῖς γε σὺν ὀθνείῃσι γυναιξὶν
not indeed famous indeed with foreign women
ἐσσόμεθ' ὧδ' ἐπὶ δηρὸν ἐελμένοι· οὐδέ τι κῶας
we-shall-be thus for long shut-up nor any fleece
αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.
of-itself will-give some having-taken god to-the-ones-praying

ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα· τὸν δ' ἐνὶ λέκτροις
let-us-go again each to their-own him and in bed
Ὑψιπύλης εἰᾶτε πανήμερον, εἰσόκε Λῆμνον
of-Hypsipyle let-be all-day-long until Lemnos
παισὶν ἐσανδρώσῃ, μεγάλη τέ ἑ βάξις ἵκηται."
with-sons he-may-people great and him report may-come
Ὣς νείκεσσεν ὅμιλον· ἐναντία δ' οὔ νύ τις ἔτλη
So he-rebuked the-throng opposite and not now anyone dared
ὄμματ' ἀνασχεθέειν, οὐδὲ προτιμυθήσασθαι·
eyes to-raise nor to-answer
ἀλλ' αὕτως ἀγορῆθεν ἐπαρτίζοντο νέεσθαι
but just-so from-the-assembly made-ready to-go
σπερχόμενοι. ταὶ δέ σφιν ἐπέδραμον, εὖτ' ἐδάησαν.
hastening they and to-them ran when they-learned
ὡς δ' ὅτε λείρια καλὰ περιβρομέουσι μέλισσαι
as and when lilies beautiful hum-around bees
πέτρης ἐκχύμεναι σιμβληίδος, ἀμφὶ δὲ λειμὼν
rock pouring-out hive around and meadow
ἑρσήεις γάνυται, ταὶ δὲ γλυκὺν ἄλλοτε ἄλλον
dewy rejoices they and sweet at-one-time another
καρπὸν ἀμέργουσιν πεποτημέναι· ὣς ἄρα ταίγε
fruit cull flitting so then they
ἐνδυκὲς ἀνέρας ἀμφὶ κινυρόμεναι προχέοντο,
eagerly the-men about lamenting poured-forth
χερσί τε καὶ μύθοισιν ἐδεικανόωντο ἕκαστον,
with-hands both and with-words they-greeted each
εὐχόμεναι μακάρεσσιν ἀπήμονα νόστον ὀπάσσαι.
praying to-the-blessed harmless return to-grant

ὣς δὲ καὶ Ὑψιπύλη ἠρήσατο χεῖρας ἑλοῦσα
so and also Hypsipyle prayed hands taking
Αἰσονίδεω, τὰ δέ οἱ ῥέε δάκρυα χήτει ἰόντος·
of-the-son-of-Aeson the and her flowed tears for-loss of-the-going-one
"Νίσσεο, καὶ σὲ θεοὶ σὺν ἀπηρέσιν αὖτις ἑταίροις
Go and you the-gods with unharmed again comrades
χρύσειον βασιλῆι δέρος κομίσειαν ἄγοντα
golden for-the-king fleece may-bring carrying
αὔτως, ὡς ἐθέλεις καί τοι φίλον· ἥδε δὲ νῆσος
just-so as you-wish and for-you dear this and island
σκῆπτρά τε πατρὸς ἐμεῖο παρέσσεται, ἢν καὶ ὀπίσσω
scepters and of-father my will-be-present if also hereafter
δή ποτε νοστήσας ἐθέλῃς ἄψορρον ἱκέσθαι.
indeed ever having-returned you-should-wish back to-come
ῥηιδίως δ' ἂν ἑοῖ καὶ ἀπείρονα λαὸν ἀγείραις
easily and — for-yourself also boundless people you-might-gather
ἄλλων ἐκ πολίων· ἀλλ' οὐ σύγε τήνδε μενοινὴν
other from cities but not you this desire
σχήσεις, οὔτ' αὐτὴ προτιόσσομαι ὧδε τελεῖσθαι.
will-hold nor myself foresee thus to-be-accomplished
μνώεο μὴν ἀπεών περ ὁμῶς καὶ νόστιμος ἤδη
remember truly being-away though alike and returned now
Ὑψιπύλης· λίπε δ' ἡμιν ἔπος, τό κεν ἐξανύσαιμι
Hypsipyle leave and for-us word which — I-may-fulfill
πρόφρων, ἢν ἄρα δή με θεοὶ δώωσι τεκέσθαι."
gladly if then indeed me the-gods grant to-bear

Τὴν δ' αὖτ' Αἴσονος υἱὸς ἀγαιόμενος προσέειπεν·
Her and in-turn of-Aeson son admiring addressed
" Ὑψιπύλη, τὰ μὲν οὕτω ἐναίσιμα πάντα γένοιτο
Hypsipyle these-things indeed so fitting all may-be
ἐκ μακάρων· τύνη δ' ἐμέθεν πέρι θυμὸν ἀρείω
from the-blessed you and of-me about spirit better
ἴσχαν', ἐπεὶ πάτρην μοι ἄλις Πελίαο ἕκητι
hold since fatherland for-me enough of-Pelias for-the-sake
ναιετάειν· μοῦνόν με θεοὶ λύσειαν ἀέθλων.
to-dwell-in only me the-gods may-release from-labors
εἰ δ' οὔ μοι πέπρωται ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
if and not for-me it-is-fated to Hellas land to-come
τηλοῦ ἀναπλώοντι, σὺ δ' ἄρσενα παῖδα τέκηαι,
far sailing-away you and male child should-bear
πέμπε μιν ἡβήσαντα Πελασγίδος ἔνδον Ἰωλκοῦ
send him grown-up of-Pelasgian within Iolcus
πατρί τ' ἐμῷ καὶ μητρὶ δύης ἄκος, ἦν ἄρα τούσγε
to-father both my and to-mother of-sorrow cure if then them
τέτμῃ ἔτι ζώοντας, ἵν' ἄνδιχα τοῖο ἄνακτος
he-should-find still living so-that apart-from that lord
σφοῖσιν πορσύνωνται ἐφέστιοι ἐν μεγάροισιν."
their-own they-may-be-cared-for at-the-hearth in halls

By Orpheus' counsel the heroes are initiated at Samothrace, then pass through the Hellespont into the Propontis to the isthmus of Cyzicus. The young king Cyzicus welcomes them, and while they climb Dindymum the Earthborn giants attack the harbor, and Heracles and the heroes kill them. Sailing by night, the heroes are driven back by winds, and the Doliones attack them as enemies; Jason kills Cyzicus. At dawn both sides see their error and mourn, and Cyzicus' bride Cleite hangs herself.

Ἦ, καὶ ἔβαιν' ἐπὶ νῆα παροίτατος· ὣς δὲ καὶ ἄλλοι
He-spoke and went on ship foremost so and also others
βαῖνον ἀριστῆες· λάζοντο δὲ χερσὶν ἐρετμὰ
went chieftains grasped and with-hands oars
ἐνσχερὼ ἑζόμενοι· πρυμνήσια δέ σφισιν Ἄργος
in-order sitting stern-cables and for-them Argus
λῦσεν ὑπὲκ πέτρης ἁλιμυρέος. ἔνθ' ἄρα τοίγε
loosed from-beneath rock sea-washed there then they
κόπτον ὕδωρ δολιχῇσιν ἐπικρατέως ἐλάτῃσιν.
smote water with-long mightily with-pines
ἑσπέριοι δ' Ὀρφῆος ἐφημοσύνῃσιν ἔκελσαν
in-the-evening and of-Orpheus by-the-behests they-put-in
νῆσον ἐς Ἠλέκτρης Ἀτλαντίδος, ὄφρα δαέντες
island at of-Electra daughter-of-Atlas so-that having-learned
ἀρρήτους ἀγανῇσι τελεσφορίῃσι θέμιστας
secret by-gentle by-initiations ordinances
σωότεροι κρυόεσσαν ὑπεὶρ ἅλα ναυτίλλοιντο.
safer chilly over sea they-might-sail

τῶν μὲν ἔτ᾽ οὐ προτέρω μυθήσομαι· ἀλλὰ καὶ αὐτὴ
of-them indeed longer not further I-will-speak but even itself
νῆσος ὁμῶς κεχάροιτο καὶ οἳ λάχον ὄργια κεῖνα
island alike may-it-rejoice and who obtained rites those
δαίμονες ἐνναέται, τὰ μὲν οὐ θέμις ἄμμιν ἀείδειν.
deities dwelling-in which indeed not right for-us to-sing
Κεῖθεν δ᾽ εἰρεσίῃ Μέλανος διὰ βένθεα πόντου
Thence and by-rowing of-Black through depths of-sea
ἱέμενοι τῇ μὲν Θρῃκῶν χθόνα, τῇ δὲ περαίην
pressing-on here indeed of-Thracians land there and the-opposite
Ἴμβρον ἔχον καθύπερθε· νέον γε μὲν ἠελίοιο
Imbros they-had above newly indeed indeed of-the-sun
δυομένου Χερόνησον ἐπὶ προύχουσαν ἵκοντο.
setting Chersonese at jutting they-came
ἔνθα σφιν λαιψηρὸς ἄη νότος, ἱστία δ᾽ οὖρῳ
there for-them swift blew south-wind sails and to-breeze
στησάμενοι κούρης Ἀθαμαντίδος αἰπὰ ῥέεθρα
setting of-maiden daughter-of-Athamas steep streams
εἰσέβαλον· πέλαγος δὲ τὸ μὲν καθύπερθε λέλειπτο
entered sea and the indeed above was-left
ἦρι, τὸ δ᾽ ἐννύχιοι Ῥοιτειάδος ἔνδοθεν ἀκτῆς
at-dawn the and by-night Rhoeteian within shore
μέτρεον, Ἰδαίην ἐπὶ δεξιὰ γαῖαν ἔχοντες.
they-measured Idaean on right land having
Δαρδανίην δὲ λιπόντες ἐπιπροσέβαλλον Ἀβύδῳ,
Dardania and having-left they-touched-at Abydus
Περκώτην δ᾽ ἐπὶ τῇ καὶ Ἀβαρνίδος ἠμαθόεσσαν
Percote and after it and of-Abarnis sandy
ἠιόνα ζαθέην τε παρήμειβον Πιτύειαν.
shore holy and passed Pityeia

καὶ δὴ τοίγ᾽ ἐπὶ νυκτὶ διάνδιχα νηὸς ἰούσης
and indeed they in night in-two-ways of-ship going
δίνῃ πορφύροντα διήνυσαν Ἑλλήσποντον.
with-eddy dark-heaving traversed Hellespont
Ἔστι δέ τις αἰπεῖα Προποντίδος ἔνδοθι νῆσος
There-is and a steep of-Propontis within island
τυτθὸν ἀπὸ Φρυγίης πολυληίου ἠπείροιο
a-little from Phrygia rich-in-corn of-mainland
εἰς ἅλα κεκλιμένη, ὅσσον τ᾽ ἐπιμύρεται ἰσθμὸς
into sea sloping as-much-as — is-flooded isthmus
χέρσῳ ἐπιπρηνὴς καταειμένος· ἐν δέ οἱ ἀκταὶ
to-mainland downward low-lying in and to-it shores
ἀμφίδυμοι, κεῖνται δ᾽ ὑπὲρ ὕδατος Αἰσήποιο.
double lie and beyond water of-Aesepus
Ἄρκτων μιν καλέουσιν ὄρος περιναιετάοντες·
of-Bears it they-call mountain the-dwellers-around
καὶ τὸ μὲν ὑβρισταί τε καὶ ἄγριοι ἐνναίουσιν
and it indeed violent both and savage inhabit
Γηγενέες, μέγα θαῦμα περικτιόνεσσιν ἰδέσθαι.
Earthborn great marvel to-neighbors to-see
ἓξ γὰρ ἑκάστῳ χεῖρες ὑπέρβιοι ἠερέθονται,
six for to-each hands mighty are-raised
αἱ μὲν ἀπὸ στιβαρῶν ὤμων δύο, ταὶ δ᾽ ὑπένερθεν
the indeed from sturdy shoulders two the and beneath
τέσσαρες αἰνοτάτῃσιν ἐπὶ πλευρῇς ἀραρυῖαι.
four most-dreadful to sides fitted
ἰσθμὸν δ᾽ αὖ πεδίον τε Δολίονες ἀμφενέμοντο
isthmus and in-turn plain and Doliones inhabited
ἀνέρες· ἐν δ᾽ ἥρως Αἰνήιος υἱὸς ἄνασσεν
men among and hero of-Aeneus son ruled

Κύζικος, ὃν κούρη δίου τέκεν Εὐσώροιο
Cyzicus whom daughter of-divine bore of-Eusorus
Αἰνήτη. τοὺς δ' οὔτι καὶ ἔκπαγλοί περ ἐόντες
Aenete them and not-at-all even terrible though being
Γηγενέες σίνοντο, Ποσειδάωνος ἀρωγῇ·
Earthborn harmed of-Poseidon by-the-help
τοῦ γὰρ ἔσαν τὰ πρῶτα Δολίονες ἐκγεγαῶτες.
from-him for were the first Doliones sprung
ἔνθ' Ἀργὼ προύτυψεν ἐπειγομένη ἀνέμοισιν
there Argo pressed-forward driven by-winds
Θρηικίοις, Καλὸς δὲ λιμὴν ὑπέδεκτο θέουσαν.
Thracian Fair and harbor received running
κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ἐκλύσαντες
there also of-anchor small stone having-loosed
Τίφυος ἐννεσίῃσιν ὑπὸ κρήνῃ ἐλίποντο,
of-Tiphys by-the-behests under spring they-left
κρήνῃ ὑπ' Ἀρτακίῃ· ἕτερον δ' ἕλον, ὅστις ἀρήρει,
spring by Artacian another and they-took which fitted
βριθύν· ἀτὰρ κεἰνόν γε θεοπροπίαις Ἑκάτοιο
heavy but it indeed by-the-oracles of-the-Far-shooter
Νηλεΐδαι μετόπισθεν Ἰάονες ἱδρύσαντο
sons-of-Neleus afterward Ionians set-up
ἱερόν, ἣ θέμις ἦεν, Ἰησονίης ἐν Ἀθήνης.
as-sacred as right was of-Jasonian in of-Athena

Τοὺς δ' ἅμυδις φιλότητι Δολίονες ἠδὲ καὶ αὐτὸς
Them and together in-friendship Doliones and also himself
Κύζικος ἀντήσαντες ὅτε στόλον ἠδὲ γενέθλην
Cyzicus meeting when expedition and lineage
ἔκλυον, οἵτινες εἶεν, ἐυξείνως ἀρέσαντο,
they-heard who they-might-be hospitably welcomed

καί σφεας εἰρεσίῃ πέπιθον προτέρωσε κιόντας
and them by-rowing persuaded further going
ἄστεος ἐν λιμένι πρυμνήσια νηὸς ἀνάψαι.
of-town in harbor cables of-ship to-fasten
ἔνθ᾽ οἵγ᾽ Ἐκβασίῳ βωμὸν θέσαν Ἀπόλλωνι
there they to-Ecbasian altar built Apollo
εἰσάμενοι παρὰ θῖνα, θυηπολίης τ᾽ ἐμέλοντο.
having-set-up by shore of-sacrifice and took-care
δῶκεν δ᾽ αὐτὸς ἄναξ λαρὸν μέθυ δευομένοισιν
gave and himself the-king sweet wine to-the-needing
μῆλά θ᾽ ὁμοῦ· δὴ γάρ οἱ ἔην φάτις, εὖτ᾽ ἂν ἵκωνται
sheep and together indeed for to-him was a-report when — should-come
ἀνδρῶν ἡρώων θεῖος στόλος, αὐτίκα τόνγε
of-men heroes divine band at-once it
μείλιχον ἀντιάαν, μηδὲ πτολέμοιο μέλεσθαι.
gently to-meet nor of-war to-take-thought
ἶσόν που κἀκείνῳ ἐπισταχύεσκον ἴουλοι,
equal surely to-him-too were-sprouting first-beards
οὐδέ νύ πω παίδεσσιν ἀγαλλόμενος μεμόρητο·
nor now yet in-children rejoicing was-fated
ἀλλ᾽ ἔτι οἱ κατὰ δώματ᾽ ἀκήρατος ἦεν ἄκοιτις
but still for-him in house unhurt was wife
ὠδίνων, Μέροπος Περκωσίου ἐκγεγαυῖα,
of-travail of-Merops Percosian daughter
Κλείτη ἐυπλόκαμος, τὴν μὲν νέον ἐξέτι πατρὸς
Cleite fair-tressed whom indeed newly from of-father
θεσπεσίοις ἔδνοισιν ἀνήγαγεν ἀντιπέρηθεν.
with-divine with-gifts he-had-brought from-the-opposite-shore

ἀλλὰ καὶ ὣς θάλαμόν τε λιπὼν καὶ δέμνια νύμφης
but even so chamber both having-left and bed of-bride
τοῖς μέτα δαῖτ' ἀλέγυνε, βάλεν δ' ἀπὸ δείματα θυμοῦ.
them with feast prepared cast and away fears from-heart
ἀλλήλους δ' ἐρέεινον ἀμοιβαδίς. ἤτοι ὁ μέν σφεων
one-another and questioned in-turn truly he indeed of-them
πεύθετο ναυτιλίης ἄνυσιν, Πελίαό τ' ἐφετμάς·
learned of-voyage the-end of-Pelias and the-commands
οἱ δὲ περικτιόνων πόλιας καὶ κόλπον ἅπαντα
they and of-neighbors cities and gulf all
εὐρείης πεύθοντο Προποντίδος· οὐ μὲν ἐπιπρὸ
of-broad inquired of-Propontis not indeed further
ἠείδει καταλέξαι ἐελδομένοισι δαῆναι.
he-knew to-tell to-them-eager to-learn
ἠοῖ δ' εἰσανέβαν μέγα Δίνδυμον, ὄφρα καὶ αὐτοὶ
at-dawn and they-climbed great Dindymum so-that also themselves
θηήσαιντο πόρους κείνης ἁλός· ἐκ δ' ἄρα τοίγε
they-might-behold paths of-that sea out and then they
νῆα Χυτὸν λιμένα προτέρου ἐξήλασαν ὅρμου·
ship to-Chytus harbor further rowed-out from-the-mooring
ἥδε δ' Ἰησονίη πέφαται ὁδός, ἣνπερ ἔβησαν.
this and Jasonian is-called road which they-went
Γηγενέες δ' ἑτέρωθεν ἀπ' οὔρεος ἀίξαντες
Earthborn and from-the-other-side from mountain having-rushed
φράξαν ἀπειρεσίοιο Χυτοῦ στόμα νειόθι πέτρῃς
blocked of-boundless of-Chytus mouth below with-rocks
πόντιον, οἷά τε θῆρα λοχώμενοι ἔνδον ἐόντα.
seaward as — beast lying-in-wait-for within being

ἀλλὰ γὰρ αὖθι λέλειπτο σὺν ἀνδράσιν ὁπλοτέροισιν
but for there had-been-left with men younger
Ἡρακλέης, ὃς δή σφι παλίντονον αἶψα τανύσσας
Heracles who indeed them back-bent quickly having-strung
τόξον ἐπασσυτέρους πέλασε χθονί· τοὶ δὲ καὶ αὐτοὶ
bow one-after-another brought to-ground they and also themselves
πέτρας ἀμφιρρῶγας ἀερτάζοντες ἔβαλλον.
rocks jagged raising threw
δὴ γάρ που κἀκεῖνα θεὰ τρέφεν αἰνὰ πέλωρα
indeed for surely even-those goddess reared dread monsters
Ἥρη, Ζηνὸς ἄκοιτις, ἀέθλιον Ἡρακλῆι.
Hera of-Zeus wife as-a-trial for-Heracles
σὺν δὲ καὶ ὧλλοι δῆθεν ὑπότροποι ἀντιόωντες,
with and also the-others indeed returning meeting-them
πρίν περ ἀνελθέμεναι σκοπιήν, ἥπτοντο φόνοιο
before even to-have-gone-up peak engaged-in slaughter
γηγενέων ἥρωες ἀρήιοι, ἠμὲν ὀιστοῖς
of-Earthborn heroes warlike both with-arrows
ἠδὲ καὶ ἐγχείῃσι δεδεγμένοι, εἰσόκε πάντας
and also with-spears receiving-them until all
ἀντιβίην ἀσπερχὲς ὀρινομένους ἐδάιξαν.
in-front impetuously rushing they-slew
ὡς δ' ὅτε δούρατα μακρὰ νέον πελέκεσσι τυπέντα
as and when beams long newly with-axes struck
ὑλοτόμοι στοιχηδὸν ἐπὶ ῥηγμῖνι βάλωσιν,
woodcutters in-a-row on surf throw
ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους·
so-that soaked strong they-may-hold bolts

ὣς οἱ ἐνὶ ξυνοχῇ λιμένος πολιοῖο τέταντο
so they in narrows of-harbor gray lay-stretched
ἑξείης, ἄλλοι μὲν ἐς ἁλμυρὸν ἀθρόοι ὕδωρ
in-order some indeed into salt in-heaps water
δύπτοντες κεφαλὰς καὶ στήθεα, γυῖα δ' ὕπερθεν
dipping heads and breasts limbs and above
χέρσῳ τεινάμενοι· τοὶ δ' ἔμπαλιν, αἰγιαλοῖο
on-land stretched they and back of-beach
κράατα μὲν ψαμάθοισι, πόδας δ' εἰς βένθος ἔρειδον,
heads indeed in-sands feet and in depth fixed
ἄμφω ἅμ' οἰωνοῖσι καὶ ἰχθύσι κύρμα γενέσθαι.
both together for-birds and for-fishes prey to-become
Ἥρωες δ', ὅτε δή σφιν ἀταρβὴς ἔπλετ' ἄεθλος,
Heroes and when indeed to-them fearless was contest
δὴ τότε πείσματα νηὸς ἐπὶ πνοιῇς ἀνέμοιο
indeed then cables of-ship at breaths of-wind
λυσάμενοι προτέρωσε διὲξ ἁλὸς οἶδμα νέοντο.
having-loosed forward through of-sea swell went
ἡ δ' ἔθεεν λαίφεσσι πανήμερος· οὐ μὲν ἰούσης
she and ran with-sails all-day not indeed going
νυκτὸς ἔτι ῥιπὴ μένεν ἔμπεδον, ἀλλὰ θύελλαι
of-night longer the-blast remained steadfast but storms
ἀντίαι ἁρπάγδην ὀπίσω φέρον, ὄφρ' ἐπέλασσαν
opposing snatching back bore until they-approached
αὖτις ἐυξείνοισι Δολίοσιν. ἐκ δ' ἄρ' ἔβησαν
again to-hospitable Doliones out and then they-went
αὐτονυχί· Ἱερὴ δὲ φατίζεται ἥδ' ἔτι πέτρη,
that-same-night Sacred and is-called this still rock
ἣ πέρι πείσματα νηὸς ἐπεσσύμενοι ἐβάλοντο.
which about cables of-ship hastening they-cast

οὐδέ τις αὐτὴν νῆσον ἐπιφραδέως ἐνόησεν
nor any itself island clearly noticed
ἔμμεναι· οὐδ' ὑπὸ νυκτὶ Δολίονες ἂψ ἀνιόντας
to-be nor at night Doliones back coming
ἥρωας νημερτὲς ἐπήισαν· ἀλλά που ἀνδρῶν
heroes truly perceived but surely of-men
Μακριέων εἴσαντο Πελασγικὸν ἄρεα κέλσαι.
of-Macrians they-thought Pelasgian war-host to-have-landed
τῶ καὶ τεύχεα δύντες ἐπὶ σφίσι χεῖρας ἄειραν.
therefore also arms having-put-on on them hands raised
σὺν δ' ἔλασαν μελίας τε καὶ ἀσπίδας ἀλλήλοισιν
together and they-drove ash-spears both and shields at-one-another
ὀξείῃ ἴκελοι ῥιπῇ πυρός, ἥ τ' ἐνὶ θάμνοις
to-swift like to-rush of-fire which — in thickets
αὐαλέοισι πεσοῦσα κορύσσεται· ἐν δὲ κυδοιμὸς
dry having-fallen rears in and din
δεινός τε ζαμενής τε Δολιονίῳ πέσε δήμῳ.
terrible both violent and on-Dolionian fell people
οὐδ' ὅγε δηιοτῆτος ὑπὲρ μόρον αὖτις ἔμελλεν
nor he of-the-battle beyond fate again was-to
οἶκαδε νυμφιδίους θαλάμους καὶ λέκτρον ἱκέσθαι.
homeward bridal chambers and bed reach
ἀλλά μιν Αἰσονίδης τετραμμένον ἰθὺς ἑοῖο
but him son-of-Aeson turned straight at-him
πλῆξεν ἐπαΐξας στῆθος μέσον, ἀμφὶ δὲ δουρὶ
struck having-sprung-on breast middle about and spear

ὀστέον ἐρραίσθη· ὁ δ' ἐνὶ ψαμάθοισιν ἑλυσθεὶς
bone was-shattered he and in sands rolling
μοῖραν ἀνέπλησεν. τὴν γὰρ θέμις οὔποτ' ἀλύξαι
fate fulfilled that for right never to-escape
θνητοῖσιν· πάντῃ δὲ περὶ μέγα πέπταται ἔρκος.
for-mortals everywhere and around great is-spread net
ὣς τὸν ὀιόμενόν που ἀδευκέος ἔκτοθεν ἄτης
so him thinking surely of-bitter outside ruin
εἶναι ἀριστήων αὐτῇ ὑπὸ νυκτὶ πέδησεν
to-be of-chiefs that-very in night fettered
μαρνάμενον κείνοισι· πολεῖς δ' ἐπαρηγόνες ἄλλοι
fighting with-them many and helpers others
ἔκταθεν· Ἡρακλέης μὲν ἐνήρατο Τηλεκλῆα
were-slain Heracles indeed slew Telecles
ἠδὲ Μεγαβρόντην· Σφόδριν δ' ἐνάριξεν Ἄκαστος·
and Megabrontes Sphodris and slew Acastus
Πηλεὺς δὲ Ζέλυν εἷλεν ἀρηίθοόν τε Γέφυρον.
Peleus and Zelys took warlike and Gephyrus
αὐτὰρ ἐυμμελίης Τελαμὼν Βασιλῆα κατέκτα.
but good-at-the-ash-spear Telamon Basileus killed
Ἴδας δ' αὖ Προμέα, Κλυτίος δ' Ὑάκινθον ἔπεφνεν,
Idas and in-turn Promeus Clytius and Hyacinthus slew
Τυνδαρίδαι δ' ἄμφω Μεγαλοσσάκεα Φλογίον τε.
sons-of-Tyndareus and both Megalossaces Phlogius and
Οἰνεΐδης δ' ἐπὶ τοῖσιν ἕλεν θρασὺν Ἰτυμονῆα
son-of-Oeneus and after them took bold Itymoneus
ἠδὲ καὶ Ἀρτακέα, πρόμον ἀνδρῶν· οὓς ἔτι πάντας
and also Artaceus leader of-men whom still all
ἐνναέται τιμαῖς ἡρωίσι κυδαίνουσιν.
the-dwellers with-honors heroic glorify

οἱ δ᾽ ἄλλοι εἴξαντες ὑπέτρεσαν, ἠύτε κίρκους
they and others yielding fled as hawks
ὠκυπέτας ἀγεληδὸν ὑποτρέσσωσι πέλειαι.
swift-flying in-flocks flee-before doves
ἐς δὲ πύλας ὁμάδῳ πέσον ἀθρόοι· αἶψα δ᾽ αὐτῆς
into and gates in-a-throng fell in-a-mass quickly and with-cry
πλῆτο πόλις στονόεντος ὑποτροπίῃ πολέμοιο.
was-filled city of-grievous at-the-turning-back of-war
ἠῶθεν δ᾽ ὀλοὴν καὶ ἀμήχανον εἰσενόησαν
at-dawn and deadly and helpless perceived
ἀμπλακίην ἄμφω· στυγερὸν δ᾽ ἄχος εἷλεν ἰδόντας
error both hateful and grief seized seeing
ἥρωας Μινύας Αἰνήιον υἷα πάροιθεν
heroes Minyae of-Aeneus son before
Κύζικον ἐν κονίῃσι καὶ αἵματι πεπτηῶτα.
Cyzicus in dust and blood fallen
ἤματα δὲ τρία πάντα γόων, τίλλοντό τε χαίτας
days and three all they-lamented they-tore and hair
αὐτοὶ ὁμῶς λαοί τε Δολίονες. αὐτὰρ ἔπειτα
themselves alike people and Doliones but afterward
τρὶς περὶ χαλκείοις σὺν τεύχεσι δινηθέντες
thrice around bronze in armor having-wheeled
τύμβῳ ἐνεκτερέιξαν, ἐπειρήσαντό τ᾽ ἀέθλων,
in-tomb they-buried made-trial and of-games
ἣ θέμις, ἂμ πεδίον λειμώνιον, ἔνθ᾽ ἔτι νῦν περ
as right through plain meadowy where still now indeed
ἀγκέχυται τόδε σῆμα καὶ ὀψιγόνοισιν ἰδέσθαι.
is-heaped-up this mound even for-later-born to-see

οὐδὲ μὲν οὐδ' ἄλοχος Κλείτη φθιμένοιο λέλειπτο
nor indeed even wife Cleite of-the-dead was-left
οὗ πόσιος μετόπισθε· κακῷ δ' ἐπὶ κύντερον ἄλλο
of-her husband after evil and upon more-dreadful other
ἤνυσεν, ἁψαμένη βρόχον αὐχένι. τὴν δὲ καὶ αὐταὶ
she-accomplished having-fastened noose to-neck her and also themselves
νύμφαι ἀποφθιμένην ἀλσηίδες ὠδύραντο·
nymphs perished of-the-grove lamented
καί οἱ ἀπὸ βλεφάρων ὅσα δάκρυα χεῦαν ἔραζε,
and for-her from eyes as-many tears they-shed to-the-ground
πάντα τάγε κρήνην τεῦξαν θεαί, ἣν καλέουσιν
all these a-spring made goddesses which they-call
Κλείτην, δυστήνοιο περικλεὲς οὔνομα νύμφης.
Cleite of-the-wretched renowned name of-maiden
αἰνότατον δὴ κεῖνο Δολιονίῃσι γυναιξὶν
most-dreadful indeed that to-Dolionian women
ἀνδράσι τ' ἐκ Διὸς ἦμαρ ἐπήλυθεν· οὐδὲ γὰρ αὐτῶν
men and from Zeus day came nor for of-them
ἔτλη τις πάσσασθαι ἐδητύος, οὐδ' ἐπὶ δηρὸν
dared any to-taste of-food nor for long
ἐξ ἀχέων ἔργοιο μυληφάτου ἐμνώοντο·
from griefs of-work of-the-mill took-thought
ἀλλ' αὕτως ἄφλεκτα διαζώεσκον ἔδοντες.
but just-so unburnt lived eating
ἔνθ' ἔτι νῦν, εὖτ' ἄν σφιν ἐτήσια χύτλα χέωνται
there still now when — for-them yearly libations pour
Κύζικον ἐνναίοντες Ἰάονες, ἔμπεδον αἰεὶ
Cyzicus inhabiting Ionians steadfastly ever
πανδήμοιο μύλης πελάνους ἐπαλετρεύουσιν.
from-the-common mill cakes grind

Storms keep the heroes at Cyzicus for twelve days, until Mopsus reads a halcyon's sign and they propitiate Rhea on Dindymum with a vine-wood image and an armed dance. They sail on in a calm, rowing as if in a contest, and Heracles alone keeps rowing when the others tire, until his oar breaks.

Ἐκ δὲ τόθεν τρηχεῖαι ἀνηέρθησαν ἄελλαι
From and then fierce rose storms
ἤματ' ὁμοῦ νύκτας τε δυώδεκα, τοὺς δὲ καταῦθι
days together nights and twelve them and there
ναυτίλλεσθαι ἔρυκον. ἐπιπλομένῃ δ' ἐνὶ νυκτὶ
to-sail held-back on-the-coming and in night
ὦλλοι μέν ῥα πάρος δεδμημένοι εὐνάζοντο
the-others indeed then before overcome slept
ὕπνῳ ἀριστῆες πύματον λάχος· αὐτὰρ Ἄκαστος
by-sleep the-chieftains the-last lot but Acastus
Μόψος τ' Ἀμπυκίδης ἀδινὰ κνώσσοντας ἔρυντο.
Mopsus and son-of-Ampycus soundly sleeping guarded
ἡ δ' ἄρ' ὑπὲρ ξανθοῖο καρήατος Αἰσονίδαο
it and then over golden head of-the-son-of-Aeson
πωτᾶτ' ἀλκυονὶς λιγυρῇ ὀπὶ θεσπίζουσα
fluttered a-halcyon with-shrill voice prophesying
λῆξιν ὀρινομένων ἀνέμων· συνέηκε δὲ Μόψος
the-ceasing of-rising winds understood and Mopsus
ἀκταίης ὄρνιθος ἐναίσιμον ὄσσαν ἀκούσας.
of-the-shore bird the-auspicious voice having-heard
καὶ τὴν μὲν θεὸς αὖτις ἀπέτραπεν, ἷζε δ' ὕπερθεν
and her indeed a-god again turned-away sat and above
νηίου ἀφλάστοιο μετήορος ἀίξασα.
of-the-ship's stern-ornament aloft having-darted

τὸν δ᾽ ὅγε κεκλιμένον μαλακοῖς ἐνὶ κώεσιν οἰῶν
him and he lying soft in fleeces of-sheep
κινήσας ἀνέγειρε παρασχεδόν, ὧδέ τ᾽ ἔειπεν·
having-touched awoke straightway thus and spoke
"Αἰσονίδη, χρειώ σε τόδ᾽ ἱερὸν εἰσανιόντα
Son-of-Aeson need you this shrine going-up
Δινδύμου ὀκριόεντος ἐύθρονον ἱλάξασθαι
of-Dindymum rugged the-fair-throned to-propitiate
μητέρα συμπάντων μακάρων· λήξουσι δ᾽ ἄελλαι
mother of-all of-the-blessed will-cease and storms
ζαχρηεῖς· τοίην γὰρ ἐγὼ νέον ὄσσαν ἄκουσα
violent such for I newly voice heard
ἀλκυόνος ἁλίης, ἥ τε κνώσσοντος ὕπερθεν
of-halcyon of-the-sea which — of-sleeping above
σεῖο πέριξ τὰ ἕκαστα πιφαυσκομένη πεπότηται.
you around the each-thing telling has-flown
ἐκ γὰρ τῆς ἄνεμοί τε θάλασσά τε νειόθι τε χθὼν
from for her winds both sea and below and earth
πᾶσα πεπείρηται νιφόεν θ᾽ ἕδος Οὐλύμποιο·
all depend snowy and seat of-Olympus
καί οἱ, ὅτ᾽ ἐξ ὀρέων μέγαν οὐρανὸν εἰσαναβαίνῃ,
and to-her when from mountains great heaven she-ascends
Ζεὺς αὐτὸς Κρονίδης ὑποχάζεται. ὣς δὲ καὶ ἄλλοι
Zeus himself son-of-Cronus gives-way so and also the-others
ἀθάνατοι μάκαρες δεινὴν θεὸν ἀμφιέπουσιν."
immortal blessed the-dread goddess attend

Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι.
So he-spoke to-him and welcome word was hearing
ὤρνυτο δ' ἐξ εὐνῆς κεχαρημένος· ὦρσε δ' ἑταίρους
rose and from bed rejoicing roused and comrades
πάντας ἐπισπέρχων, καί τέ σφισιν ἐγρομένοισιν
all urging and — to-them awakened
Ἀμπυκίδεω Μόψοιο θεοπροπίας ἀγόρευεν.
of-the-son-of-Ampycus of-Mopsus the-prophecies told
αἶψα δὲ κουρότεροι μὲν ἀπὸ σταθμῶν ἐλάσαντες
quickly and the-younger indeed from stalls having-driven
ἔνθεν ἐς αἰπεινὴν ἄναγον βόας οὔρεος ἄκρην.
thence to steep led oxen of-mountain peak
οἱ δ' ἄρα λυσάμενοι Ἱερῆς ἐκ πείσματα πέτρης
they and then having-loosed Sacred from cables rock
ἤρεσαν ἐς λιμένα Θρηίκιον· ἂν δὲ καὶ αὐτοὶ
rowed to harbor Thracian up and also themselves
βαῖνον, παυροτέρους ἑτάρων ἐν νηὶ λιπόντες.
went fewer of-comrades in ship having-left
τοῖσι δὲ Μακριάδες σκοπιαὶ καὶ πᾶσα περαίη
for-them and Macrian peaks and all opposite-coast
Θρηικίης ἐνὶ χερσὶν ἑαῖς προυφαίνετ' ἰδέσθαι·
of-Thrace in hands their appeared to-see
φαίνετο δ' ἠερόεν στόμα Βοσπόρου ἠδὲ κολῶναι
appeared and misty mouth of-Bosporus and hills
Μυσίαι· ἐκ δ' ἑτέρης ποταμοῦ ῥόος Αἰσήποιο
Mysian from and the-other of-river stream of-Aesepus
ἄστυ τε καὶ πεδίον Νηπήιον Ἀδρηστείης.
town both and plain Nepeian of-Adrastea
ἔσκε δέ τι στιβαρὸν στύπος ἀμπέλου ἔντροφον ὕλῃ,
was and a sturdy stock of-vine grown in-wood

πρόχυυ γεράνδρυον· τὸ μὲν ἔκταμον, ὄφρα πέλοιτο
utterly old-tree it indeed they-cut so-that it-might-be
δαίμονος οὐρείης ἱερὸν βρέτας· ἔξεσε δ' Ἄργος
of-deity of-the-mountain holy image carved and Argus
εὐκόσμως, καὶ δή μιν ἐπ' ὀκριόεντι κολωνῷ
skillfully and indeed it on rugged hill
ἵδρυσαν φηγοῖσιν ἐπηρεφὲς ἀκροτάτῃσιν,
they-set-up by-oaks roofed-over topmost
αἵ ῥά τε πασάων πανυπέρταται ἐρρίζωνται.
which then — of-all highest are-rooted
βωμὸν δ' αὖ χέραδος παρενήνεον· ἀμφὶ δὲ φύλλοις
altar and in-turn of-gravel heaped-up around and with-leaves
στεψάμενοι δρυΐνοισι θυηπολίης ἐμέλοντο
crowned of-oak of-sacrifice took-care
Μητέρα Δινδυμίην πολυπότνιαν ἀγκαλέοντες,
Mother Dindymian very-revered calling-on
ἐνναέτιν Φρυγίης, Τιτίην θ' ἅμα Κύλληνόν τε,
dweller of-Phrygia Titias and together Cyllenus and
οἳ μοῦνοι πολέων μοιρηγέται ἠδὲ πάρεδροι
who alone of-many dispensers-of-fate and assessors
Μητέρος Ἰδαίης κεκλήαται, ὅσσοι ἔασιν
of-the-Mother Idaean are-called as-many-as are
Δάκτυλοι Ἰδαῖοι Κρηταιέες, οὕς ποτε νύμφη
Dactyls Idaean Cretan whom once nymph
Ἀγχιάλη Δικταῖον ἀνὰ σπέος ἀμφοτέρῃσιν
Anchiale Dictaean in cave with-both-hands
δραξαμένη γαίης Οἰαξίδος ἐβλάστησεν.
having-grasped of-earth Oaxian brought-forth

πολλὰ δὲ τήνγε λιτῇσιν ἀποστρέψαι ἐριώλας
much and her with-prayers to-turn-away the-storms
Αἰσονίδης γουνάζετ' ἐπιλλείβων ἱεροῖσιν
son-of-Aeson besought pouring-libations-on sacrifices
αἰθομένοις· ἄμυδις δὲ νέοι Ὀρφῆος ἀνωγῇ
burning together and youths of-Orpheus at-the-bidding
σκαίροντες βηταρμὸν ἐνόπλιον ὠρχήσαντο,
leaping dance in-armor danced
καὶ σάκεα ξιφέεσσιν ἐπέκτυπον, ὥς κεν ἰωὴ
and shields with-swords beat so-that — sound
δύσφημος πλάζοιτο δι' ἠέρος, ἣν ἔτι λαοὶ
ill-omened might-wander through air which still people
κηδείῃ βασιλῆος ἀνέστενον. ἔνθεν ἐσαιεὶ
in-mourning of-king lamented thence forever
ῥόμβῳ καὶ τυπάνῳ Ῥείην Φρύγες ἱλάσκονται.
with-bull-roarer and drum Rhea Phrygians propitiate
ἡ δέ που εὐαγέεσσιν ἐπὶ φρένα θῆκε θυηλαῖς
she and surely holy on mind set sacrifices
ἀνταίη δαίμων· τὰ δ' ἐοικότα σήματ' ἔγεντο.
favorable the-goddess these and fitting signs came-to-be
δένδρεα μὲν καρπὸν χέον ἄσπετον, ἀμφὶ δὲ ποσσὶν
trees indeed fruit shed abundant around and feet
αὐτομάτη φύε γαῖα τερείνης ἄνθεα ποίης.
of-itself grew earth of-tender flowers of-grass
θῆρες δ' εἰλυούς τε κατὰ ξυλόχους τε λιπόντες
beasts and lairs both through thickets and having-left
οὐρῇσιν σαίνοντες ἐπήλυθον. ἡ δὲ καὶ ἄλλο
with-tails fawning approached she and also another
θῆκε τέρας· ἐπεὶ οὔτι παροίτερον ὕδατι νᾶεν
made wonder since not-at-all before with-water flowed

Δίνδυμον· ἀλλά σφιν τότ᾽ ἀνέβραχε διψάδος αὖτως
Dindymum but for-them then gushed-forth thirsty just-so
ἐκ κορυφῆς ἄλληκτον· Ἰησονίην δ᾽ ἐνέπουσιν
from peak unceasing Jasonian and they-call
κεῖνο ποτὸν κρήνην περιναιέται ἄνδρες ὀπίσσω.
that drink spring the-dwellers-around men hereafter
καὶ τότε μὲν δαῖτ᾽ ἀμφὶ θεᾶς θέσαν οὔρεσιν Ἄρκτων,
and then indeed feast about goddess made on-mountain of-Bears
μέλποντες Ῥείην πολυπότνιαν· αὐτὰρ ἐς ἠὼ
singing Rhea very-revered but toward dawn
ληξάντων ἀνέμων νῆσον λίπον εἰρεσίῃσιν.
having-ceased the-winds island left by-rowing
Ἔνθ᾽ ἔρις ἄνδρα ἕκαστον ἀριστήων ὀρόθυνεν,
There strife man each of-the-chieftains stirred
ὅστις ἀπολλήξειε πανύστατος. ἀμφὶ γὰρ αἰθὴρ
who would-leave-off last around for air
νήνεμος ἐστόρεσεν δίνας, κατὰ δ᾽ εὗνασε πόντον.
windless laid eddies down and lulled sea
οἱ δὲ γαληναίῃ πίσυνοι ἐλάασκον ἐπιπρὸ
they and in-the-calm trusting drove forward
νῆα βίῃ· τὴν δ᾽ οὔ κε διὲξ ἁλὸς ἀίσσουσαν
ship by-force her and not — through sea speeding
οὐδὲ Ποσειδάωνος ἀελλόποδες κίχον ἵπποι.
not-even of-Poseidon storm-footed would-have-caught horses
ἔμπης δ᾽ ἐγρομένοιο σάλου ζαχρηέσιν αὔραις,
nevertheless and rising of-swell with-violent breezes
αἳ νέον ἐκ ποταμῶν ὑπὸ δείελον ἠερέθονται,
which newly from rivers toward evening rise

τειρόμενοι καὶ δὴ μετελώφεον· αὐτὰρ ὁ τούσγε
worn-out also indeed they-flagged but he them
πασσυδίῃ μογέοντας ἐφέλκετο κάρτεϊ χειρῶν
in-all-haste toiling drew by-strength of-hands
Ἡρακλέης, ἐτίνασσε δ' ἀρηρότα δούρατα νηός.
Heracles shook and fitted timbers of-ship
ἀλλ' ὅτε δὴ Μυσῶν λελιημένοι ἠπείροιο
but when indeed of-Mysians eager for-the-mainland
Ῥυνδακίδας προχοὰς μέγα τ' ἠρίον Αἰγαίωνος
Rhyndacian mouths great and tomb of-Aegaeon
τυτθὸν ὑπὲκ Φρυγίης παρεμέτρεον εἰσορόωντες,
a-little from Phrygia passed seeing
δὴ τότ' ἀνοχλίζων τετρηχότος οἴδματος ὁλκοὺς
indeed then heaving-up of-rough swell furrows
μεσσόθεν ᾶξεν ἐρετμόν. ἀτὰρ τρύφος ἄλλο μὲν αὐτὸς
in-the-middle he-broke oar but piece one indeed himself
ἄμφω χερσὶν ἔχων πέσε δόχμιος, ἄλλο δὲ πόντος
both in-hands holding fell sideways other and sea
κλύζε παλιρροθίοισι φέρων. ἀνὰ δ' ἕζετο σιγῇ
washed with-backwash bearing up and he-sat in-silence
παπταίνων· χεῖρες γὰρ ἀήθεον ἠρεμέουσαι.
looking-around hands for were-unaccustomed resting

At the land of the Cianians Heracles goes to the woods to make a new oar, and his companion Hylas goes for water. A water nymph, struck by his beauty, draws him down into her spring. Polyphemus hears his cry and tells Heracles, who rushes through the woods shouting like a bull stung by a gadfly.

Ἧμος δ' ἀγρόθεν εἶσι φυτοσκάφος ἤ τις ἀροτρεὺς
When and from-the-field goes a-gardener or some plowman
ἀσπασίως εἰς αὖλιν ἑήν, δόρποιο χατίζων,
gladly to fold his-own of-supper longing
αὐτοῦ δ' ἐν προμολῇ τετρυμένα γούνατ' ἔκαμψεν
there and in doorway worn knees he-bends
αὐσταλέος κονίῃσι, περιτριβέας δέ τε χεῖρας
parched with-dust worn-around and — hands
εἰσορόων κακὰ πολλὰ ἑῇ ἠρήσατο γαστρί·
looking-at evils many to-his-own he-curses belly
τῆμος ἄρ' οἵγ' ἀφίκοντο Κιανίδος ἤθεα γαίης
then then they arrived of-Cianian the-abodes of-land
ἀμφ' Ἀργανθώνειον ὄρος προχοάς τε Κίοιο.
around Arganthonian mountain mouths and of-Cius
τοὺς μὲν ἐυξείνως Μυσοὶ φιλότητι κιόντας
them indeed hospitably Mysians in-friendship coming
δειδέχατ', ἐνναέται κείνης χθονός, ἤιά τέ σφιν
welcomed the-inhabitants of-that land provisions and to-them
μῆλά τε δευομένοις μέθυ τ' ἄσπετον ἐγγυάλιξαν.
sheep both to-the-needing wine and boundless gave
ἔνθα δ' ἔπειθ' οἱ μὲν ξύλα κάγκανα, τοὶ δὲ λεχαίην
there and then some indeed wood dry others and for-beds
φυλλάδα λειμώνων φέρον ἄσπετον ἀμήσαντες,
leaves from-meadows brought boundless having-cut

στόρνυσθαι· τοὶ δ' ἀμφὶ πυρήια δινεύεσκον·
to-spread others and about fire-sticks twirled
οἱ δ' οἶνον κρητῆρσι κέρων, πονέοντό τε δαῖτα,
others and wine in-bowls mixed prepared and feast
Ἐκβασίῳ ῥέξαντες ὑπὸ κνέφας Ἀπόλλωνι.
to-Ecbasian having-sacrificed at dusk Apollo
Αὐτὰρ ὁ δαίνυσθαι ἑτάροις οἷς εὖ ἐπιτείλας
But he to-feast to-comrades his well having-enjoined
βῆ ῥ' ἴμεν εἰς ὕλην υἱὸς Διός, ὥς κεν ἐρετμὸν
went then to-go into wood son of-Zeus so-that — an-oar
οἱ αὐτῷ φθαίη καταχείριον ἐντύνασθαι.
for-him himself he-might-first handy to-make
εὗρεν ἔπειτ' ἐλάτην ἀλαλήμενος, οὔτε τι πολλοῖς
found then a-pine wandering neither at-all with-many
ἀχθομένην ὄζοις, οὐδὲ μέγα τηλεθόωσαν,
laden branches nor greatly flourishing
ἀλλ' οἷον ταναῆς ἔρνος πέλει αἰγείροιο·
but as of-tall sapling is of-poplar
τόσση ὁμῶς μῆκός τε καὶ ἐς πάχος ἦεν ἰδέσθαι.
so-great alike in-length both and in thickness was to-see
ῥίμφα δ' ὀιστοδόκην μὲν ἐπὶ χθονὶ θῆκε φαρέτρην
quickly and arrow-holding indeed on ground he-set quiver
αὐτοῖσιν τόξοισιν, ἔδυ δ' ἀπὸ δέρμα λέοντος.
with-the-very bow put-off and from hide of-lion
τὴν δ' ὅγε χαλκοβαρεῖ ῥοπάλῳ δαπέδοιο τινάξας
it and he with-bronze-heavy club from-the-ground having-shaken
νειόθεν ἀμφοτέρῃσι περὶ στύπος ἔλλαβε χερσίν,
from-below with-both around trunk took with-hands

ἠνορέῃ πίσυνος· ἐν δὲ πλατὺν ὦμον ἔρεισεν
in-strength trusting in and broad shoulder he-set
εὖ διαβάς· πεδόθεν δὲ βαθύρριζόν περ ἐοῦσαν
well standing-astride from-the-ground and deep-rooted though being
προσφὺς ἐξήειρε σὺν αὐτοῖς ἔχμασι γαίης.
clinging he-raised-up with very clods of-earth
ὡς δ' ὅταν ἀπροφάτως ἱστὸν νεός, εὖτε μάλιστα
as and when unexpectedly mast of-ship when most
χειμερίη ὀλοοῖο δύσις πέλει Ὠρίωνος,
wintry of-baneful setting is of-Orion
ὑψόθεν ἐμπλήξασα θοὴ ἀνέμοιο κατάιξ
from-above having-struck swift of-wind squall
αὐτοῖσι σφήνεσσιν ὑπὲκ προτόνων ἐρύσηται·
with-very wedges from forestays drags
ὣς ὅγε τὴν ἤειρεν. ὁμοῦ δ' ἀνὰ τόξα καὶ ἰοὺς
so he it raised together and up bow and arrows
δέρμα θ' ἑλὼν ῥόπαλόν τε παλίσσυτος ὦρτο νέεσθαι.
hide both having-taken club and back rose to-go

Τόφρα δ' Ὕλας χαλκέῃ σὺν κάλπιδι νόσφιν ὁμίλου
So-long and Hylas bronze with pitcher apart-from the-throng
δίζητο κρήνης ἱερὸν ῥόον, ὥς κέ οἱ ὕδωρ
sought of-spring holy stream so-that — for-him water
φθαίη ἀφυσσάμενος ποτιδόρπιον, ἄλλα τε πάντα
he-might-first having-drawn for-supper others and all-things
ὀτραλέως κατὰ κόσμον ἐπαρτίσσειεν ἰόντι.
readily in order make-ready for-him-coming
δὴ γάρ μιν τοίοισιν ἐν ἤθεσιν αὐτὸς ἔφερβεν,
indeed for him such in habits himself reared
νηπίαχον τὰ πρῶτα δόμων ἐκ πατρὸς ἀπούρας,
a-young-child the first house from of-father having-taken

δίου Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνεν
of-divine Theiodamas whom among Dryopians he-slew
νηλειῶς, βοὸς ἀμφὶ γεωμόρου ἀντιόωντα.
pitilessly ox about plowing opposing
ἤτοι ὁ μὲν νειοῖο γύας τέμνεσκεν ἀρότρῳ
truly he indeed of-fallow fields was-cutting with-plow
Θειοδάμας ἀνίῃ βεβολημένος· αὐτὰρ ὁ τόνγε
Theiodamas by-grief smitten but he him
βοῦν ἀρότην ἤνωγε παρασχέμεν οὐκ ἐθέλοντα.
ox plowing bade to-give-up not willing
ἵετο γὰρ πρόφασιν πολέμου Δρυόπεσσι βαλέσθαι
he-desired for pretext of-war on-Dryopians to-cast
λευγαλέην, ἐπεὶ οὔτι δίκης ἀλέγοντες ἔναιον.
grievous since not-at-all of-justice caring they-dwelt
ἀλλὰ τὰ μὲν τηλοῦ κεν ἀποπλάγξειεν ἀοιδῆς.
but these indeed far — would-lead-astray from-song
αἶψα δ' ὅγε κρήνην μετεκίαθεν, ἣν καλέουσιν
quickly and he the-spring went-to which they-call
Πηγὰς ἀγχίγυοι περιναιέται. οἱ δέ που ἄρτι
Springs the-near dwellers-around the and surely just-now
νυμφάων ἵσταντο χοροί· μέλε γάρ σφισι πάσαις,
of-nymphs were-being-set-up dances it-was-a-care for to-them all
ὅσσαι κεῖσ' ἐρατὸν νύμφαι ῥίον ἀμφενέμοντο,
as-many-as there lovely nymphs peak inhabited
Ἄρτεμιν ἐννυχίῃσιν ἀεὶ μέλπεσθαι ἀοιδαῖς.
Artemis with-nightly ever to-hymn with-songs
αἱ μέν, ὅσαι σκοπιὰς ὀρέων λάχον ἢ καὶ ἐναύλους,
they indeed as-many-as peaks of-mountains had or also glens
αἵγε μὲν ὑλήωροι ἀπόπροθεν ἐστιχόωντο,
they indeed wood-wardens from-afar were-marching

ἡ δὲ νέον κρήνης ἀνεδύετο καλλινάοιο
she and newly from-spring was-rising fair-flowing
νύμφη ἐφυδατίη· τὸν δὲ σχεδὸν εἰσενόησεν
nymph of-the-water him and near perceived
κάλλεϊ καὶ γλυκερῇσιν ἐρευθόμενον χαρίτεσσιν.
with-beauty and with-sweet blushing with-graces
πρὸς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα
toward for him the-full-moon from sky shining
βάλλε σεληναίη. τὴν δὲ φρένας ἐπτοίησεν
struck the-moon her and in-heart fluttered
Κύπρις, ἀμηχανίῃ δὲ μόλις συναγείρατο θυμόν.
Cypris in-helplessness and hardly she-gathered spirit
αὐτὰρ ὅγ' ὡς τὰ πρῶτα ῥόῳ ἔνι κάλπιν ἔρεισεν
but he when the first stream in pitcher dipped
λέχρις ἐπιχριμφθείς, περὶ δ' ἄσπετον ἔβραχεν ὕδωρ
sideways leaning around and loudly resounded water
χαλκὸν ἐς ἠχήεντα φορεύμενον, αὐτίκα δ' ἧγε
bronze into echoing pouring at-once and she
λαιὸν μὲν καθύπερθεν ἐπ' αὐχένος ἄνθετο πῆχυν
left indeed above on neck laid forearm
κύσσαι ἐπιθύουσα τέρεν στόμα· δεξιτερῇ δὲ
to-kiss eager tender mouth with-right and
ἀγκῶν' ἔσπασε χειρί, μέσῃ δ' ἐνικάββαλε δίνῃ.
elbow drew with-hand mid and cast-in eddy
Τοῦ δ' ἥρως ἰάχοντος ἐπέκλυεν οἷος ἑταίρων
Of-him and the-hero crying heard alone of-comrades
Εἰλατίδης Πολύφημος, ἰὼν προτέρωσε κελεύθου,
son-of-Elatus Polyphemus going forward of-the-road
δέκτο γὰρ Ἡρακλῆα πελώριον, ὁππόθ' ἵκοιτο.
he-awaited for Heracles mighty whenever he-should-come

βῆ δὲ μεταΐξας Πηγέων σχεδόν, ἠύτε τις θὴρ
went and having-rushed Springs near as some beast
ἄγριος, ὅν ῥά τε γῆρυς ἀπόπροθεν ἵκετο μήλων,
wild whom then — voice from-afar reached of-sheep
λιμῷ δ' αἰθόμενος μετανίσσεται, οὐδ' ἐπέκυρσεν
by-hunger and burning pursues nor met
ποίμνῃσιν· πρὸ γὰρ αὐτοὶ ἐνὶ σταθμοῖσι νομῆες
with-flocks before for themselves in folds shepherds
ἔλσαν· ὁ δὲ στενάχων βρέμει ἄσπετον, ὄφρα κάμῃσιν·
shut he and groaning roars loudly until he-wearies
ὣς τότ' ἄρ' Εἰλατίδης μεγάλ' ἔστενεν, ἀμφὶ δὲ χῶρον
so then then son-of-Elatus greatly groaned around and place
φοίτα κεκληγώς· μελέη δέ οἱ ἔπλετο φωνή.
roamed shouting piteous and his was voice
αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο δίεσθαι,
quickly and having-drawn great sword rose to-seek
μήπως ἢ θήρεσσιν ἔλωρ πέλοι, ἠέ μιν ἄνδρες
lest either for-beasts prey he-be or him men
μοῦνον ἐόντ' ἐλόχησαν, ἄγουσι δὲ ληίδ' ἑτοίμην.
alone being had-ambushed lead and booty easy
ἔνθ' αὐτῷ ξύμβλητο κατὰ στίβον Ἡρακλῆι
there himself met along path with-Heracles
γυμνὸν ἐπαΐσσων παλάμῃ ξίφος· εὖ δέ μιν ἔγνω
naked brandishing in-hand sword well and him he-knew
σπερχόμενον μετὰ νῆα διὰ κνέφας. αὐτίκα δ' ἄτην
hastening toward ship through dark at-once and the-calamity
ἔκφατο λευγαλέην, βεβαρημένος ἄσθματι θυμόν·
he-told grievous weighed with-panting in-heart

“Δαιμόνιε, στυγερόν τοι ἄχος πάμπρωτος ἐνίψω.
Strange-man hateful to-you grief first-of-all I-will-tell
οὐ γὰρ Ὕλας κρήνηνδε κιὼν σόος αὖτις ἱκάνει.
not for Hylas to-the-spring going safe again comes
ἀλλά ἑ λιστῆρες ἐνιχρίμψαντες ἄγουσιν,
but him robbers having-fallen-on lead
ἢ θῆρες σίνονται· ἐγὼ δ’ ἰάχοντος ἄκουσα.” 1260
or beasts harm I and crying heard
Ὣς φάτο· τῷ δ’ ἀίοντι κατὰ κροτάφων ἅλις ἱδρὼς
So he-spoke for-him and hearing from temples abundant sweat
κήκιεν, ἐν δὲ κελαινὸν ὑπὸ σπλάγχνοις ζέεν αἷμα.
poured in and dark beneath vitals boiled blood
χωόμενος δ’ ἐλάτην χαμάδις βάλεν, ἐς δὲ κέλευθον
raging and the-pine to-the-ground he-threw into and path
τὴν θέεν, ᾗ πόδες αὐτὸν ὑπέκφερον ἀίσσοντα.
that ran where feet him bore rushing
ὡς δ’ ὅτε τίς τε μύωπι τετυμμένος ἔσσυτο ταῦρος 1265
as and when some — by-gadfly stung rushes bull
πίσεά τε προλιπὼν καὶ ἑλεσπίδας, οὐδὲ νομήων
meadows both having-left and marshes nor of-herdsmen
οὐδ’ ἀγέλης ὄθεται, πρήσσει δ’ ὁδόν, ἄλλοτ’ ἄπαυστος,
nor of-the-herd takes-heed pursues and way at-one-time unceasing
ἄλλοτε δ’ ἱστάμενος, καὶ ἀνὰ πλατὺν αὐχέν’ ἀείρων
at-another and standing and up broad neck raising
ἴησιν μύκημα, κακῷ βεβολημένος οἴστρῳ·
sends-forth bellowing by-evil smitten gadfly

ὣς ὅγε μαιμώων ὁτὲ μὲν θοὰ γούνατ' ἔπαλλεν
so he raging sometimes indeed swift knees plied
συνεχέως, ὁτὲ δ' αὖτε μεταλλήγων καμάτοιο
continuously sometimes and in-turn ceasing from-toil
τῆλε διαπρύσιον μεγάλῃ βοάασκεν ἀυτῇ.
far piercingly with-great shouted cry

I.11 · HERACLES LEFT BEHIND

At dawn the heroes sail with a fair wind and only later see that Heracles, Hylas, and Polyphemus are left behind. Telamon accuses Jason of leaving Heracles on purpose and turns on Tiphys, until the sons of Boreas restrain him. Glaucus rises from the sea and tells them that it is Zeus' will that Heracles finish his labors and Polyphemus found a city, and Telamon is reconciled with Jason. Heracles threatens to lay Mysia waste unless Hylas is found, and the Mysians give him their best sons as hostages and swear to keep searching.

Αὐτίκα δ' ἀκροτάτας ὑπερέσχεθεν ἄκριας ἀστὴρ
At-once and topmost rose-above heights star
ἠῷος, πνοιαὶ δὲ κατήλυθον· ὦκα δὲ Τῖφυς
of-dawn breezes and came-down quickly and Tiphys
ἐσβαίνειν ὀρόθυνεν, ἐπαύρεσθαί τ' ἀνέμοιο.
to-embark urged to-take-advantage and of-wind
οἱ δ' εἴσβαινον ἄφαρ λελιημένοι· ὕψι δὲ νηὸς
they and embarked at-once eager high and of-ship
εὐναίας ἐρύσαντες ἀνεκρούσαντο κάλωας.
anchors having-drawn-up hauled-back ropes
κυρτώθη δ' ἀνέμῳ λίνα μεσσόθι, τῆλε δ' ἀπ' ἀκτῆς
was-curved and by-wind sail in-middle far and from shore
γηθόσυνοι φορέοντο παραὶ Ποσιδήιον ἄκρην.
rejoicing they-were-borne past Posidean headland

ἦμος δ᾽ οὐρανόθεν χαροπὴ ὑπολάμπεται ἠὼς
when and from-heaven bright shines-forth dawn
ἐκ περάτης ἀνιοῦσα, διαγλαύσσουσι δ᾽ ἀταρποί,
from horizon rising grow-clear and paths
καὶ πεδία δροσόεντα φαεινῇ λάμπεται αἴγλῃ,
and plains dewy with-bright shine radiance
τῆμος τούσγ᾽ ἐνόησαν ἀιδρείῃσι λιπόντες.
then them they-perceived in-ignorance having-left
ἐν δέ σφιν κρατερὸν νεῖκος πέσεν, ἐν δὲ κολωὸς
in and among-them fierce quarrel fell in and brawl
ἄσπετος, εἰ τὸν ἄριστον ἀποπρολιπόντες ἔβησαν
boundless whether the best having-abandoned they-had-come
σφωιτέρων ἑτάρων. ὁ δ᾽ ἀμηχανίῃσιν ἀτυχθεὶς
of-their-own of-comrades he and in-helplessness bewildered
οὔτε τι τοῖον ἔπος μετεφώνεεν, οὔτε τι τοῖον
neither any such word spoke nor any such
Αἰσονίδης· ἀλλ᾽ ἧστο βαρείῃ νειόθεν ἄτῃ
son-of-Aeson but sat with-heavy from-below by-ruin
θυμὸν ἔδων· Τελαμῶνα δ᾽ ἕλεν χόλος, ὧδέ τ᾽ ἔειπεν·
heart eating Telamon and seized anger thus and spoke
“ Ἦσ᾽ αὔτως εὔκηλος, ἐπεί νύ τοι ἄρμενον ἦεν
You-sit just-so at-ease since now for-you fitting was
Ἡρακλῆα λιπεῖν· σέο δ᾽ ἔκτοθι μῆτις ὄρωρεν,
Heracles to-leave of-you and from plan arose
ὄφρα τὸ κείνου κῦδος ἀν᾽ Ἑλλάδα μή σε καλύψῃ,
so-that the his glory through Hellas not you might-cover
αἴ κε θεοὶ δώωσιν ὑπότροπον οἶκαδε νόστον.
if — the-gods grant back homeward return

ἀλλὰ τί μύθων ἦδος; ἐπεὶ καὶ νόσφιν ἑταίρων
but what of-words pleasure since even apart-from comrades
εἶμι τεῶν, οἳ τόνγε δόλον συνετεκτήναντο."
I-will-go your who this guile contrived-together
Ἦ, καὶ ἐς Ἁγνιάδην Τῖφυν θόρε· τὼ δέ οἱ ὄσσε
He-spoke and to son-of-Hagnias Tiphys rushed the-two and his eyes
ὄστλιγγες μαλεροῖο πυρὸς ὣς ἰνδάλλοντο.
sparks of-raging fire like appeared
καί νύ κεν ἂψ ὀπίσω Μυσῶν ἐπὶ γαῖαν ἵκοντο
and now — back behind of-Mysians to land they-would-have-come
λαῖτμα βιησάμενοι ἀνέμου τ' ἄλληκτον ἰωήν,
gulf forcing of-wind and unceasing roar
εἰ μὴ Θρηικίοιο δύω υἷες Βορέαο
if not of-Thracian two sons of-Boreas
Αἰακίδην χαλεποῖσιν ἐρητύεσκον ἔπεσσιν,
the-son-of-Aeacus with-harsh had-restrained with-words
σχέτλιοι· ἦ τέ σφιν στυγερὴ τίσις ἔπλετ' ὀπίσσω
wretched truly — to-them hateful vengeance was hereafter
χερσὶν ὑφ' Ἡρακλῆος, ὅ μιν δίζεσθαι ἔρυκον.
hands by of-Heracles because him to-seek they-hindered
ἄθλων γὰρ Πελίαο δεδουπότος ἂψ ἀνιόντας
from-the-games for of-Pelias fallen back returning
Τήνῳ ἐν ἀμφιρύτῃ πέφνεν, καὶ ἀμήσατο γαῖαν
Tenos in sea-girt he-slew and heaped-up earth
ἀμφ' αὐτοῖς, στήλας τε δύω καθύπερθεν ἔτευξεν,
about them pillars and two above made
ὧν ἑτέρη, θάμβος περιώσιον ἀνδράσι λεύσσειν,
of-which one marvel exceeding for-men to-see
κίνυται ἠχήεντος ὑπὸ πνοιῇ βορέαο.
moves of-sounding at the-breath of-north-wind

καὶ τὰ μὲν ὣς ἤμελλε μετὰ χρόνον ἐκτελέεσθαι.
and these-things indeed so were-to after time to-be-accomplished
τοῖσιν δὲ Γλαῦκος βρυχίης ἁλὸς ἐξεφαάνθη,
to-them and Glaucus of-the-deep sea appeared
Νηρῆος θείοιο πολυφράδμων ὑποφήτης·
of-Nereus divine the-wise interpreter
ὕψι δὲ λαχνῆέν τε κάρη καὶ στήθε᾽ ἀείρας
high and shaggy both head and breast raising
νειόθεν ἐκ λαγόνων στιβαρῇ ἐπορέξατο χειρὶ
from-below from flanks with-sturdy be-laid-hold hand
νηίου ὁλκαίοιο, καὶ ἴαχεν ἐσσυμένοισιν·
of-ship's keel and shouted to-the-eager
"Τίπτε παρὲκ μεγάλοιο Διὸς μενεαίνετε βουλὴν
Why against great of-Zeus are-you-eager plan
Αἰήτεω πτολίεθρον ἄγειν θρασὺν Ἡρακλῆα;
of-Aeetes to-city to-bring bold Heracles
Ἄργεῖ᾽ οἱ μοῖρ᾽ ἐστὶν ἀτασθάλῳ Εὐρυσθῆι
at-Argos for-him fate is for-wicked for-Eurystheus
ἐκπλῆσαι μογέοντα δυώδεκα πάντας ἀέθλους,
to-fulfill toiling twelve all labors
ναίειν δ᾽ ἀθανάτοισι συνέστιον, εἴ κ᾽ ἔτι παύρους
to-dwell and with-the-immortals sharing-the-hearth if — still few
ἐξανύσῃ· τῶ μή τι ποθὴ κείνοιο πελέσθω.
he-accomplish therefore not any longing for-him let-be
αὖτως δ᾽ αὖ Πολύφημον ἐπὶ προχοῇσι Κίοιο
just-so and in-turn Polyphemus at mouths of-Cius
πέπρωται Μυσοῖσι περικλεὲς ἄστυ καμόντα
it-is-fated for-Mysians famous town having-founded
μοῖραν ἀναπλήσειν Χαλύβων ἐν ἀπείρονι γαίῃ.
fate to-fulfill of-Chalybes in boundless land

αὐτὰρ Ὕλαν φιλότητι θεὰ ποιήσατο νύμφη
but Hylas in-love goddess made nymph
ὃν πόσιν, οἷό περ οὕνεκ᾽ ἀποπλαγχθέντες ἔλειφθεν.᾽᾽
her husband of-whom indeed for-the-sake having-strayed they-were-left
Ἦ, καὶ κῦμ᾽ ἀλίαστον ἐφέσσατο νειόθι δύψας·
He-spoke and wave restless clothed-himself-in below having-plunged
ἀμφὶ δέ οἱ δίνῃσι κυκώμενον ἄφρεεν ὕδωρ
around and him in-eddies stirred foamed water
πορφύρεον, κοίλην δὲ διὲξ ἁλὸς ἔκλυσε νῆα.
dark hollow and through sea washed ship
γήθησαν δ᾽ ἥρωες· ὁ δ᾽ ἐσσυμένως ἐβεβήκει
rejoiced and the-heroes he and hastily went
Αἰακίδης Τελαμὼν ἐς Ἰήσονα, χεῖρα δὲ χειρὶ
son-of-Aeacus Telamon to Jason hand and with-hand
ἄκρην ἀμφιβαλὼν προσπτύξατο, φώνησέν τε·
tip clasping embraced spoke and
᾽᾽Αἰσονίδη, μή μοί τι χολώσεαι, ἀφραδίῃσιν
Son-of-Aeson not with-me at-all be-angry for-my-folly
εἴ τί περ ἀασάμην· πέρι γάρ μ᾽ ἄχος εἶλεν ἐνισπεῖν
if anything indeed I-erred exceedingly for me grief seized to-speak
μῦθον ὑπερφίαλόν τε καὶ ἄσχετον, ἀλλ᾽ ἀνέμοισιν
word overweening both and unbearable but to-winds
δώομεν ἀμπλακίην, ὡς καὶ πάρος εὐμενέοντες.᾽᾽
let-us-give the-fault as also before being-kind
Τὸν δ᾽ αὖτ᾽ Αἴσονος υἱὸς ἐπιφραδέως προσέειπεν·
Him and in-turn of-Aeson son wisely addressed
᾽᾽ Ὦ πέπον, ἦ μάλα δή με κακῷ ἐκυδάσσαο μύθῳ,
O friend truly very indeed me with-evil you-reviled word

φὰς ἐνὶ τοῖσιν ἅπασιν ἐνηέος ἀνδρὸς ἀλείτην
saying among these all of-a-kindly man the-offender
ἔμμεναι. ἀλλ᾽ οὐ θήν τοι ἀδευκέα μῆνιν ἀέξω,
to-be but not surely to-you bitter wrath I-increase
πρίν περ ἀνιηθείς· ἐπεὶ οὐ περὶ πώεσι μήλων,
before though grieved since not about flocks of-sheep
οὐδὲ περὶ κτεάτεσσι χαλεψάμενος μενέηνας,
nor about possessions angered you-raged
ἀλλ᾽ ἑτάρου περὶ φωτός. ἔολπα δέ τοι σὲ καὶ ἄλλῳ
but comrade about man I-hope and you-know you even for-another
ἀμφ᾽ ἐμεῦ, εἰ τοιόνδε πέλοι ποτέ, δηρίσασθαι.”
on-behalf-of me if such it-should-be ever to-contend
Ἦ ῥα, καὶ ἀρθμηθέντες, ὅπῃ πάρος, ἑδριόωντο.
He-spoke then and reconciled where before they-sat
τὼ δὲ Διὸς βουλῇσιν, ὁ μὲν Μυσοῖσι βαλέσθαι
the-two and of-Zeus by-the-counsels the-one indeed for-Mysians to-found
μέλλεν ἐπώνυμον ἄστυ πολισσάμενος ποταμοῖο
was-to named town having-founded of-the-river
Εἰλατίδης Πολύφημος· ὁ δ᾽ Εὐρυσθῆος ἀέθλους
son-of-Elatus Polyphemus the-other and of-Eurystheus the-labors
αὖτις ἰὼν πονέεσθαι. ἐπηπείλησε δὲ γαῖαν
again going to-toil threatened and land
Μυσίδ᾽ ἀναστήσειν αὐτοσχεδόν, ὁππότε μή οἱ
Mysian to-lay-waste at-once when not for-him
ἢ ζωοῦ εὕροιεν Ὕλα μόρον, ἠὲ θανόντος.
either living they-should-find of-Hylas the-fate or dead
τοῖο δὲ ῥύσι᾽ ὄπασσαν ἀποκρίναντες ἀρίστους
of-him and pledges they-gave having-chosen the-best
υἱέας ἐκ δήμοιο, καὶ ὅρκια ποιήσαντο,
sons from the-people and oaths made

μήποτε μαστεύοντες ἀπολλήξειν καμάτοιο.
never searching to-cease from-toil
τούνεκεν εἰσέτι νῦν περ Ὕλαν ἐρέουσι Κιανοί,
therefore still now indeed for-Hylas ask Cianians
κοῦρον Θειοδάμαντος, ἐυκτιμένης τε μέλονται
boy of-Theiodamas well-built and care-for
Τρηχῖνος. δὴ γάρ ῥα κατ' αὐτόθι νάσσατο παῖδας,
Trachis indeed for then in there he-settled the-boys
οὕς οἱ ῥύσια κεῖθεν ἐπιπροέηκαν ἄγεσθαι.
whom to-him as-pledges from-there they-sent-forward to-be-led
Νηῦν δὲ πανημερίην ἄνεμος φέρε νυκτί τε πάσῃ
Ship and all-day wind bore by-night and all
λάβρος ἐπιπνείων· ἀτὰρ οὐδ' ἐπὶ τυτθὸν ἄητο
fiercely blowing but not-even a little blew
ἠοῦς τελλομένης, οἱ δὲ χθονὸς εἰσανέχουσαν
of-dawn rising they and of-land rising-up
ἀκτὴν ἐκ κόλποιο μάλ' εὐρεῖαν ἐσιδέσθαι
shore from gulf very broad to-see
φρασσάμενοι, κώπῃσιν ἅμ' ἠελίῳ ἐπέκελσαν.
having-noticed with-oars with sun they-put-in

BOOK II

II.1 · THE BOXING MATCH WITH AMYCUS

The Argo lands among the Bebrycians, whose king Amycus, Poseidon's son, forces every stranger to box with him. Polydeuces accepts the challenge. The two fight like a wave against a ship, until Polydeuces strikes Amycus above the ear and kills him. The Bebrycians rush on the heroes and are routed, and the heroes plunder their flocks and feast, crowned with laurel, singing a hymn to Polydeuces.

Ἔνθα δ' ἔσαν σταθμοί τε βοῶν αὐλίς τ' Ἀμύκοιο,
There and were stalls both of-oxen farmstead and of-Amycus
Βεβρύκων βασιλῆος ἀγήνορος, ὅν ποτε νύμφη
of-Bebrycians king proud whom once nymph
τίκτε Ποσειδάωνι Γενεθλίῳ εὐνηθεῖσα
bore to-Poseidon Begetter having-lain
Βιθυνὶς Μελίη, ὑπεροπλεόστατον ἀνδρῶν·
Bithynian Melia most-overweening of-men
ὅς τ' ἐπὶ καὶ ξείνοισιν ἀεικέα θεσμὸν ἔθηκεν,
who — on even strangers outrageous law set
μήτιν' ἀποστείχειν, πρὶν πειρήσασθαι ἑοῖο
that-none should-depart before to-make-trial of-him
πυγμαχίης· πολέας δὲ περικτιόνων ἐδάιξεν.
in-boxing many and of-neighbors he-slew
καὶ δὲ τότε προτὶ νῆα κιών, χρειώ μιν ἐρέσθαι
and and then to ship going need them to-ask
ναυτιλίης, οἵ τ' εἶεν, ὑπερβασίῃσιν ἄτισσεν,
of-voyage who — they-might-be in-insolence he-disdained
τοῖον δ' ἐν πάντεσσι παρασχεδὸν ἔκφατο μῦθον·
such and among all at-once spoke word

"Κέκλυθ', ἀλίπλαγκτοι, τάπερ ἴδμεναι ὔμμιν ἔοικεν.
Hear sea-wanderers what-indeed to-know for-you it-befits
οὔτινα θέσμιόν ἐστιν ἀφορμηθέντα νέεσθαι
none lawful it-is having-set-out to-go
ἀνδρῶν ὀθνείων, ὅς κεν Βέβρυξι πελάσσῃ,
of-men foreign who — to-Bebrycians draws-near
πρὶν χείρεσσιν ἐμῇσιν ἑὰς ἀνὰ χεῖρας ἀεῖραι.
before with-hands my his up hands to-raise
τῶ καί μοι τὸν ἄριστον ἀποκριδὸν οἷον ὁμίλου
therefore also for-me the best apart alone of-the-throng
πυγμαχίῃ στήσασθε καταυτόθι δηρινθῆναι.
in-boxing set-up here to-contend
εἰ δ' ἂν ἀπηλεγέοντες ἐμὰς πατέοιτε θέμιστας,
if and — scorning my you-should-trample ordinances
ἦ κέν τις στυγερῶς κρατερὴ ἐπιέψετ' ἀνάγκη."
truly — some hatefully hard will-follow necessity
Ἦ ῥα μέγα φρονέων· τοὺς δ' ἄγριος εἰσαΐοντας
He-spoke then greatly minded them and fierce hearing
εἷλε χόλος· περὶ δ' αὖ Πολυδεύκεα τύψεν ὁμοκλή.
seized wrath above-all and in-turn Polydeuces smote the-shout
αἶψα δ' ἑῶν ἑτάρων πρόμος ἵστατο, φώνησέν τε·
quickly and of-his-own of-comrades champion stood spoke and
"Ἴσχεο νῦν, μηδ' ἄμμι κακήν, ὅτις εὔχεαι εἶναι,
Hold now nor to-us evil whoever you-boast to-be
φαῖνε βίην· θεσμοῖς γὰρ ὑπείξομεν, ὡς ἀγορεύεις.
show force to-laws for we-will-yield as you-say
αὐτὸς ἑκὼν ἤδη τοι ὑπίσχομαι ἀντιάασθαι."
myself willingly now to-you I-promise to-meet

Ὣς φάτ᾽ ἀπηλεγέως· ὁ δ᾽ ἐσέδρακεν ὄμμαθ᾽ ἑλίξας,
So he-spoke bluntly he and glared eyes rolling
ὥστε λέων ὑπ᾽ ἄκοντι τετυμμένος, ὅν τ᾽ ἐν ὄρεσσιν
as lion by javelin struck whom — in mountains
ἀνέρες ἀμφιπένονται· ὁ δ᾽ ἰλλόμενός περ ὁμίλῳ
men beset he and pressed though by-the-throng
τῶν μὲν ἔτ᾽ οὐκ ἀλέγει, ἐπὶ δ᾽ ὄσσεται οἰόθεν οἷος
them indeed longer not heeds on and gazes apart alone
ἄνδρα τόν, ὅς μιν ἔτυψε παροίτατος, οὐδ᾽ ἐδάμασσεν.
man that who him struck first nor subdued
ἔνθ᾽ ἀπὸ Τυνδαρίδης μὲν ἐύστιπτον θέτο φᾶρος
there off son-of-Tyndareus indeed close-woven laid cloak
λεπταλέον, τό ῥά οἵ τις ἑὸν ξεινήιον εἶναι
fine which then to-him some her-own guest-gift to-be
ὤπασε Λημνιάδων· ὁ δ᾽ ἐρεμνὴν δίπτυχα λώπην
gave of-Lemnian-women he and dark double cloak
αὐτῇσιν περόνῃσι καλαύροπά τε τρηχεῖαν
with-the-very pins club and rough
κάββαλε, τὴν φορέεσκεν, ὀριτρεφέος κοτίνοιο.
threw-down which be-carried of-mountain-bred of-wild-olive
αὐτίκα δ᾽ ἐγγύθι χῶρον ἑαδότα παπτήναντες
at-once and near place pleasing looking-around
ἷζον ἑοὺς δίχα πάντας ἐνὶ ψαμάθοισιν ἑταίρους,
they-seated their-own apart all in sands comrades
οὐ δέμας, οὐδὲ φυὴν ἐναλίγκιοι εἰσοράασθαι.
not in-body nor in-stature like to-see
ἀλλ᾽ ὁ μὲν ἢ ὀλοοῖο Τυφωέος, ἠὲ καὶ αὐτῆς
but he indeed either of-baneful of-Typhoeus or also herself
Γαίης εἶναι ἔικτο πέλωρ τέκος, οἷα πάροιθεν
of-Earth to-be seemed monstrous offspring such-as before

χωομένη Διὶ τίκτεν· ὁ δ' οὐρανίῳ ἀτάλαντος
angry with-Zeus she-bore he and to-heavenly equal
ἀστέρι Τυνδαρίδης, οὗπερ κάλλισται ἔασιν
star son-of-Tyndareus whose most-beautiful are
ἑσπερίην διὰ νύκτα φαεινομένου ἀμαρυγαί.
evening through night shining the-twinklings
τοῖος ἔην Διὸς υἱός, ἔτι χνοάοντας ἰούλους
such was of-Zeus son still downy first-beards
ἀντέλλων, ἔτι φαιδρὸς ἐν ὄμμασιν. ἀλλά οἱ ἀλκὴ
growing still bright in eyes but in-him strength
καὶ μένος ἠύτε θηρὸς ἀέξετο· πῆλε δὲ χεῖρας
and might as of-beast increased he-swung and hands
πειράζων, εἴθ' ὡς πρὶν ἐυτρόχαλοι φορέονται,
testing whether as before nimble they-are-borne
μηδ' ἄμυδις καμάτῳ τε καὶ εἰρεσίῃ βαρύθοιεν.
nor together by-toil both and rowing be-heavy
οὐ μὰν αὖτ' Ἄμυκος πειρήσατο· σῖγα δ' ἄπωθεν
not indeed in-turn Amycus made-trial silently and apart
ἑστηὼς εἰς αὐτὸν ἔχ' ὄμματα, καί οἱ ὀρέχθει
standing at him held eyes and for-him longed
θυμὸς ἐελδομένῳ στηθέων ἐξ αἷμα κεδάσσαι.
heart longing breast from blood to-spill
τοῖσι δὲ μεσσηγὺς θεράπων Ἀμύκοιο Λυκωρεὺς
for-them and between servant of-Amycus Lycoreus
θῆκε πάροιθε ποδῶν δοιοὺς ἑκάτερθεν ἱμάντας
set before feet two on-either-side straps
ὠμούς, ἀζαλέους, περὶ δ' οἵγ' ἔσαν ἐσκληῶτες.
raw dried exceedingly and they were hard
αὐτὰρ ὁ τόνγ' ἐπέεσσιν ὑπερφιάλοισι μετηύδα·
but he him with-words overweening addressed

"Τῶνδέ τοι ὅν κ' ἐθέλῃσθα, πάλου ἄτερ ἐγγυαλίξω
Of-these to-you whichever — you-wish of-lot without I-will-give
αὐτὸς ἑκών, ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν.
myself willingly so-that not me you-blame afterward
ἀλλὰ βάλευ περὶ χειρί· δαεὶς δέ κεν ἄλλῳ ἐνίσποις,
but put-on about hand having-learned and — to-another you-might-tell
ὅσσον ἐγὼ ῥινούς τε βοῶν περίειμι ταμέσθαι
as-much-as I hides and of-oxen excel to-cut
ἀζαλέας, ἀνδρῶν τε παρηίδας αἵματι φύρσαι."
dried of-men and cheeks with-blood to-defile
Ὣς ἔφατ'· αὐτὰρ ὅγ' οὔτι παραβλήδην ἐρίδηνεν.
So he-spoke but he not-at-all in-reply contended
ἦκα δὲ μειδήσας, οἵ οἱ παρὰ ποσσὶν ἔκειντο,
gently and having-smiled which for-him beside feet lay
τοὺς ἕλεν ἀπροφάτως· τοῦ δ' ἀντίος ἦλυθε Κάστωρ
those he-took unexpectedly him and opposite came Castor
ἠδὲ Βιαντιάδης Ταλαὸς μέγας· ὦκα δ' ἱμάντας
and son-of-Bias Talaus great quickly and straps
ἀμφέδεον, μάλα πολλὰ παρηγορέοντες ἐς ἀλκήν.
bound-around very much exhorting to valor
τῷ δ' αὖτ' Ἄρητός τε καὶ Ὄρνυτος, οὐδέ τι ᾔδειν
to-him and in-turn Aretus both and Ornytus nor at-all did-they-know
νήπιοι ὕστατα κεῖνα κακῇ δήσαντες ἐν αἴσῃ.
fools last those evil having-bound in fate
Οἱ δ' ἐπεὶ οὖν ἱμᾶσι διασταδὸν ἠρτύναντο,
They and when then with-straps standing-apart were-equipped
αὐτίκ' ἀνασχόμενοι ῥεθέων προπάροιθε βαρείας
at-once raising faces before heavy
χεῖρας, ἐπ' ἀλλήλοισι μένος φέρον ἀντιόωντες.
hands on one-another might bore meeting

ἔνθα δὲ Βεβρύκων μὲν ἄναξ, ἅ τε κῦμα θαλάσσης
there and of-Bebrycians indeed lord as — wave of-sea
τρηχὺ θοὴν ἐπὶ νῆα κορύσσεται, ἡ δ' ὑπὸ τυτθὸν
rough swift on ship rears she and by little
ἰδρείῃ πυκινοῖο κυβερνητῆρος ἀλύσκει,
by-the-skill of-the-shrewd of-the-helmsman escapes
ἱεμένου φορέεσθαι ἔσω τοίχοιο κλύδωνος,
eager to-be-borne within of-the-bulwark of-the-billow
ὣς ὅγε Τυνδαρίδην φοβέων ἕπετ', οὐδέ μιν εἴα
so he son-of-Tyndareus frightening followed nor him let
δηθύνειν. ὁ δ' ἄρ' αἰὲν ἀνούτατος ἦν διὰ μῆτιν
to-delay he but then ever unwounded his by skill
ἀίσσοντ' ἀλέεινεν· ἀπηνέα δ' αἶψα νοήσας
rushing avoided brutal and quickly having-perceived
πυγμαχίην, ᾗ κάρτος ἀάατος, ᾗ τε χερείων,
boxing where strength invincible where — worse
στῆ ῥ' ἄμοτον καὶ χερσὶν ἐναντία χεῖρας ἔμιξεν.
stood then unceasingly and with-hands opposite hands mixed
ὡς δ' ὅτε νήια δοῦρα θοοῖς ἀντίξοα γόμφοις
as and when ship timbers with-swift opposing bolts
ἀνέρες ὑληουργοὶ ἐπιβλήδην ἐλάοντες
men woodworkers in-turn driving
θείνωσι σφύρῃσιν, ἐπ' ἄλλῳ δ' ἄλλος ἄηται
beat with-hammers on other and other rises
δοῦπος ἄδην· ὣς τοῖσι παρήιά τ' ἀμφοτέρωθεν
thud abundantly so for-them cheeks and on-both-sides
καὶ γένυες κτύπεον· βρυχὴ δ' ὑπετέλλετ' ὀδόντων
and jaws rang gnashing and rose of-teeth
ἄσπετος, οὐδ' ἔλληξαν ἐπισταδὸν οὐτάζοντες,
boundless nor did-they-cease standing-close wounding

ἔστε περ οὐλοὸν ἆσθμα καὶ ἀμφοτέρους ἐδάμασσεν.
until indeed baneful panting also both subdued

στάντε δὲ βαιὸν ἄπωθεν ἀπωμόρξαντο μετώπων
standing and a-little apart wiped from-foreheads

ἱδρῶ ἅλις, καματηρὸν ἀυτμένα φυσιόωντε.
sweat abundantly weary breath panting

ἂψ δ' αὖτις συνόρουσαν ἐναντίοι, ἠύτε ταύρω
back and again rushed-together opposite as bulls

φορβάδος ἀμφὶ βοὸς κεκοτηότε δηριάασθον.
of-grazing about heifer raging contend

ἔνθα δ' ἔπειτ' Ἄμυκος μὲν ἐπ' ἀκροτάτοισιν ἀερθείς,
there and then Amycus indeed on tiptoes raised

βουτύπος οἷα, πόδεσσι τανύσσατο, κὰδ δὲ βαρεῖαν
ox-slayer like on-feet stretched-himself down and heavy

χεῖρ' ἐπὶ οἱ πελέμιξεν· ὁ δ' ἀίξαντος ὑπέστη,
hand on him brandished he and of-him-rushing withstood

κρᾶτα παρακλίνας, ὤμῳ δ' ἀνεδέξατο πῆχυν
head bending-aside with-shoulder and received forearm

τυτθόν· ὁ δ' ἄγχ' αὐτοῖο παρὲκ γόνυ γουνὸς ἀμείβων
a-little he and near him past knee with-knee changing

κόψε μεταΐγδην ὑπὲρ οὔατος, ὀστέα δ' εἴσω
struck rushing-in above ear bones and within

ῥῆξεν· ὁ δ' ἀμφ' ὀδύνῃ γνὺξ ἤριπεν· οἱ δ' ἰάχησαν
broke he and about pain on-knees fell they and shouted

ἥρωες Μινύαι· τοῦ δ' ἀθρόος ἔκχυτο θυμός.
heroes Minyae of-him and all-at-once poured-out life

Οὐδ' ἄρα Βέβρυκες ἄνδρες ἀφείδησαν βασιλῆος·
Nor then Bebrycian men neglected king
ἀλλ' ἄμυδις κορύνας ἀζηχέας ἠδὲ σιγύννους
but together clubs unceasing and hunting-spears
ἰθὺς ἀνασχόμενοι Πολυδεύκεος ἀντιάασκον.
straight raising Polydeuces went-against
τοῦ δὲ πάρος κολεῶν εὐήκεα φάσγαν' ἑταῖροι
of-him and before of-scabbards sharp swords comrades
ἔσταν ἐρυσσάμενοι. πρῶτός γε μὲν ἀνέρα Κάστωρ
stood having-drawn first indeed indeed man Castor
ἤλασ' ἐπεσσύμενον κεφαλῆς ὕπερ· ἡ δ' ἑκάτερθεν
struck rushing-on of-head over it and on-either-side
ἔνθα καὶ ἔνθ' ὤμοισιν ἐπ' ἀμφοτέροις ἐκεάσθη.
here and there shoulders on both was-split
αὐτὸς δ' Ἰτυμονῆα πελώριον ἠδὲ Μίμαντα,
himself and Itymoneus huge and Mimas
τὸν μὲν ὑπὸ στέρνοιο θοῷ ποδὶ λὰξ ἐπορούσας
the-one indeed under breast with-swift foot with-heel leaping-on
πλῆξε, καὶ ἐν κονίῃσι βάλεν· τοῦ δ' ἆσσον ἰόντος
struck and in dust threw of-the-other and near coming
δεξιτερῇ σκαιῆς ὑπὲρ ὀφρύος ἤλασε χειρί,
with-right left over eyebrow struck with-hand
δρύψε δέ οἱ βλέφαρον, γυμνὴ δ' ὑπελείπετ' ὀπωπή.
tore and his eyelid bare and was-left eyeball
Ὠρείδης δ' Ἀμύκοιο βίην ὑπέροπλος ὀπάων
Oreides and of-Amycus in-might overweening squire
οὖτα Βιαντιάδαο κατὰ λαπάρην Ταλαοῖο,
wounded of-the-son-of-Bias in flank of-Talaus

ἀλλά μιν οὐ κατέπεφνεν, ὅσον δ' ἐπὶ δέρματι μοῦνον
but him not killed as-far-as and on skin only
νηδυίων ἄψαυστος ὑπὸ ζώνην θόρε χαλκός.
of-the-bowels untouched under belt sprang bronze
αὔτως δ' Ἄρητος μενεδήιον Εὐρύτου υἷα
just-so and Aretus steadfast-in-battle of-Eurytus son
Ἴφιτον ἀζαλέῃ κορύνῃ στυφέλιξεν ἐλάσσας,
Iphitus with-dried with-club smote having-struck
οὔπω κηρὶ κακῇ πεπρωμένον· ἦ τάχ' ἔμελλεν
not-yet by-fate evil fated truly soon he-was-about
αὐτὸς δηώσεσθαι ὑπὸ ξίφεϊ Κλυτίοιο.
himself to-be-slain under sword of-Clytius
καὶ τότ' ἄρ' Ἀγκαῖος Λυκοόργοιο θρασὺς υἱὸς
and then then Ancaeus of-Lycurgus bold son
αἶψα μάλ' ἀντεταγὼν πέλεκυν μέγαν ἠδὲ κελαινὸν
quickly very having-raised-up axe great and black
ἄρκτου προσχόμενος σκαιῇ δέρος ἔνθορε μέσσῳ
of-bear holding-before in-left hide leaped-into midst
ἐμμεμαὼς Βέβρυξιν· ὁμοῦ δέ οἱ ἐσσεύοντο
eager for-Bebrycians together and with-him rushed
Αἰακίδαι, σὺν δέ σφιν ἀρήιος ὦρνυτ' Ἰήσων.
sons-of-Aeacus with and them warlike rose Jason
ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσιν ἀπείρονα μῆλ' ἐφόβησαν
as and when in folds countless sheep have-scared
ἤματι χειμερίῳ πολιοὶ λύκοι ὁρμηθέντες
on-day wintry gray wolves having-rushed
λάθρῃ ἐυρρίνων τε κυνῶν αὐτῶν τε νομήων,
secretly of-keen-scented both of-dogs themselves and of-shepherds
μαίονται δ' ὅ τι πρῶτον ἐπαΐξαντες ἕλωσιν,
seek and what ever first having-leapt-on they-may-seize

πόλλ᾽ ἐπιπαμφαλόωντες ὁμοῦ· τὰ δὲ πάντοθεν αὔτως
much staring-about together they and from-all-sides just-so
στείνονται πίπτοντα περὶ σφίσιν· ὣς ἄρα τοίγε
are-crowded falling about them so then they
λευγαλέως Βέβρυκας ὑπερφιάλους ἐφόβησαν.
grievously Bebrycians overweening scared
ὡς δὲ μελισσάων σμῆνος μέγα μηλοβοτῆρες
as and of-bees swarm great shepherds
ἠὲ μελισσοκόμοι πέτρῃ ἔνι καπνιόωσιν,
or bee-keepers rock in smoke-out
αἱ δ᾽ ἤτοι τείως μὲν ἀολλέες ᾧ ἐνὶ σίμβλῳ
they and truly meanwhile indeed in-a-throng their-own in hive
βομβηδὸν κλονέονται, ἐπιπρὸ δὲ λιγνυόεντι
with-humming are-stirred forward and by-sooty
καπνῷ τυφόμεναι πέτρης ἑκὰς ἀίσσουσιν·
smoke smothered of-rock far dart
ὣς οἵγ᾽ οὐκέτι δὴν μένον ἔμπεδον, ἀλλ᾽ ἐκέδασθεν
so they no-longer long remained steadfast but scattered
εἴσω Βεβρυκίης, Ἀμύκου μόρον ἀγγελέοντες·
within Bebrycia of-Amycus fate to-be-going-to-announce
νήπιοι, οὐδ᾽ ἐνόησαν ὃ δή σφισιν ἐγγύθεν ἄλλο
fools not-even perceived what indeed for-them near other
πῆμ᾽ ἀίδηλον ἔην. πέρθοντο γὰρ ἠμὲν ἀλωαὶ
woe unseen was were-being-sacked for both vineyards
ἠδ᾽ οἶαι τῆμος δῄῳ ὑπὸ δουρὶ Λύκοιο
and villages then hostile under spear of-Lycus
καὶ Μαριανδυνῶν ἀνδρῶν, ἀπεόντος ἄνακτος.
and of-Mariandynian of-men being-away the-king
αἰεὶ γὰρ μάρναντο σιδηροφόρου περὶ γαίης.
always for they-fought iron-bearing about land

οἱ δ' ἤδη σταθμούς τε καὶ αὔλια δηιάασκον·
they and already stalls both and farmsteads ravaged
ἤδη δ' ἄσπετα μῆλα περιτροπάδην ἐτάμοντο
already and countless sheep in-circle cut-off
ἥρωες, καὶ δή τις ἔπος μετὰ τοῖσιν ἔειπεν·
the-heroes and indeed some word among them spoke
"Φράζεσθ' ὅττι κεν ἦσιν ἀναλκείῃσιν ἔρεξαν, 145
Consider what — in-their cowardice they-would-have-done
εἴ πως Ἡρακλῆα θεὸς καὶ δεῦρο κόμισσεν.
if somehow Heracles a-god also here had-brought
ἤτοι μὲν γὰρ ἐγὼ κείνου παρεόντος ἔολπα
truly indeed for I him being-present I-think
οὐδ' ἂν πυγμαχίῃ κρινθήμεναι· ἀλλ' ὅτε θεσμοὺς
not-even — in-boxing to-be-decided but when laws
ἦλυθεν ἐξερέων, αὐτοῖς ἅφαρ οἷς ἀγόρευεν
he-came declaring with-those at-once with-which he-spoke
θεσμοῖσιν ῥοπάλῳ μιν ἀγηνορίης λελαθέσθαι. 150
the-laws with-club him the-pride to-have-forgotten
ναὶ μὲν ἀκήδεστον γαίῃ ἔνι τόνγε λιπόντες
yes indeed uncared-for land in him having-left
πόντον ἐπέπλωμεν· μάλα δ' ἡμέων αὐτὸς ἕκαστος
sea we-sailed-over very and of-us himself each
εἴσεται οὐλομένην ἄτην, ἀπάνευθεν ἐόντος."
will-know baneful ruin far-away being

Ὣς ἄρ᾽ ἔφη· τὰ δὲ πάντα Διὸς βουλῇσι τέτυκτο.
So then he-spoke these and all of-Zeus by-the-counsels had-been-made
καὶ τότε μὲν μένον αὖθι διὰ κνέφας, ἕλκεά τ᾽ ἀνδρῶν
and then indeed they-remained there through night wounds and of-men
οὐταμένων ἀκέοντο, καὶ ἀθανάτοισι θυηλὰς
wounded they-healed and to-immortals sacrifices
ῥέξαντες μέγα δόρπον ἐφώπλισαν· οὐδέ τιν᾽ ὕπνος
having-offered great supper made-ready nor any sleep
εἶλε παρὰ κρητῆρι καὶ αἰθομένοις ἱεροῖσιν.
seized beside mixing-bowl and burning offerings
ξανθὰ δ᾽ ἐρεψάμενοι δάφνῃ καθύπερθε μέτωπα
golden and having-crowned with-laurel above foreheads
ἀγχιάλῳ, τῇ καί τε περὶ πρυμνήσι᾽ ἀνῆπτο,
sea-near where also — around cables were-fastened
Ὀρφείῃ φόρμιγγι συνοίμιον ὕμνον ἄειδον
to-Orphean lyre in-concert hymn sang
ἐμμελέως· περὶ δέ σφιν ἰαίνετο νήνεμος ἀκτὴ
harmoniously around and them was-gladdened windless shore
μελπομένοις· κλεῖον δὲ Θεραπναῖον Διὸς υἷα.
to-the-singing-ones they-celebrated and Therapnaean of-Zeus son
Ἦμος δ᾽ ἠέλιος δροσερὰς ἐπέλαμψε κολώνας
When and the-sun dewy shone-on hills
ἐκ περάτων ἀνιών, ἤγειρε δὲ μηλοβοτῆρας,
from horizon rising roused and shepherds
δὴ τότε λυσάμενοι νεάτης ἐκ πείσματα δάφνης,
indeed then having-loosed the-farthest from cables laurel
ληίδα τ᾽ εἰσβήσαντες ὅσην χρεὼ ἦεν ἄγεσθαι,
booty and having-put-aboard as-much-as needful was to-carry
πνοιῇ δινήεντ᾽ ἀνὰ Βόσπορον ἰθύνοντο.
with-wind eddying through Bosporus steered

ἔνθα μὲν ἠλιβάτῳ ἐναλίγκιον οὔρεϊ κῦμα
there indeed to-steep like to-mountain a-wave
ἀμφέρεται προπάροιθεν ἐπαΐσσοντι ἐοικός,
rises in-front rushing like
αἰὲν ὑπὲρ νεφέων ἠερμένον· οὐδέ κε φαίης
ever above clouds raised nor — would-you-say
φεύξεσθαι κακὸν οἶτον, ἐπεὶ μάλα μεσσόθι νηὸς
to-be-going-to-escape evil fate since very in-the-middle of-ship
λάβρον ἐπικρέμαται, καθάπερ νέφος. ἀλλὰ τόγ' ἔμπης
furiously it-hangs-over like cloud but it nevertheless
στόρνυται, εἴ κ' ἐσθλοῖο κυβερνητῆρος ἐπαύρῃ.
is-laid-low if — of-good of-helmsman it-meets
τῷ καὶ Τίφυος οἵδε δαημοσύνῃσι νέοντο,
therefore also of-Tiphys they by-the-skill went
ἀσκηθεῖς μέν, ἀτὰρ πεφοβημένοι. ἤματι δ' ἄλλῳ
unhurt indeed but terrified on-day and other
ἀντιπέρην γαίῃ Βιθυνίδι πείσματ' ἀνῆψαν.
opposite on-land Bithynian cables they-fastened

At the Thynian shore they meet old Phineus, a blind seer whom Zeus punished for revealing too much; the Harpies snatch and foul his food. He begs the heroes to save him, since the sons of Boreas, his wife Cleopatra's brothers, are fated to drive the Harpies off. Zetes and Calais chase the Harpies across the sea to the Floating Islands, where Iris stops them and swears that the Harpies will trouble Phineus no more, while the heroes cleanse the old man and he feasts with them at last.

Ἔνθα δ' ἐπάκτιον οἶκον Ἀγηνορίδης ἔχε Φινεύς,
There and on-the-shore house son-of-Agenor had Phineus
ὃς περὶ δὴ πάντων ὀλοώτατα πήματ' ἀνέτλη
who beyond indeed all most-baneful woes endured
εἵνεκα μαντοσύνης, τήν οἱ πάρος ἐγγυάλιξεν
because-of prophecy which to-him before gave
Λητοΐδης· οὐδ' ὅσσον ὀπίζετο καὶ Διὸς αὐτοῦ
son-of-Leto nor as-much-as did-he-respect even of-Zeus himself
χρείων ἀτρεκέως ἱερὸν νόον ἀνθρώποισιν.
declaring exactly holy purpose to-men
τῷ καί οἱ γῆρας μὲν ἐπὶ δηναιὸν ἔαλλεν,
therefore also to-him old-age indeed upon lasting he-sent
ἐκ δ' ἕλετ' ὀφθαλμῶν γλυκερὸν φάος· οὐδὲ γάνυσθαι
from and took of-eyes sweet light nor to-enjoy
εἴα ἀπειρεσίοισιν ὀνείασιν, ὅσσα οἱ αἰεὶ
let countless good-things as-many-as to-him ever
θέσφατα πευθόμενοι περιναιέται οἴκαδ' ἄγειρον.
oracles inquiring the-dwellers-around to-the-house gathered

ἀλλὰ διὰ νεφέων ἄφνω πέλας ἀίσσουσαι
but through clouds suddenly near darting
Ἅρπυιαι στόματος χειρῶν τ' ἀπὸ γαμφηλῇσιν
Harpies mouth hands and from with-crooked-beaks
συνεχέως ἥρπαζον. ἐλείπετο δ' ἄλλοτε φορβῆς
continually snatched was-left and sometimes of-food
οὐδ' ὅσον, ἄλλοτε τυτθόν, ἵνα ζώων ἀκάχοιτο.
not-even as-much-as sometimes a-little so-that living he-might-grieve
καὶ δ' ἐπὶ μυδαλέην ὀδμὴν χέον· οὐδέ τις ἔτλη
and and on dank smell poured nor any dared
μὴ καὶ λευκανίηνδε φορεύμενος, ἀλλ' ἀποτηλοῦ
not even to-the-throat carrying but far-off
ἑστηώς· τοῖόν οἱ ἀπέπνεε λείψανα δαιτός.
standing such to-him breathed the-remnants of-the-meal
αὐτίκα δ' εἰσαΐων ἐνοπὴν καὶ δοῦπον ὁμίλου
at-once and hearing voice and tramp of-throng
τούσδ' αὐτοὺς παριόντας ἐπήισεν, ὧν οἱ ἰόντων
these themselves passing he-perceived whose to-him coming
θέσφατον ἐκ Διὸς ἦεν ἑῆς ἀπόνασθαι ἐδωδῆς.
oracle from Zeus was his-own to-enjoy food
ὀρθωθεὶς δ' εὐνῆθεν, ἀκήριον ἠύτ' ὄνειρον,
having-risen and from-bed lifeless as dream
βάκτρῳ σκηπτόμενος ῥικνοῖς ποσὶν ἦε θύραζε,
on-staff leaning on-shriveled feet went to-the-door
τοίχους ἀμφαφόων· τρέμε δ' ἄψεα νισσομένοιο
walls feeling-along trembled and limbs of-him-going
ἀδρανίῃ γήραι τε· πίνῳ δέ οἱ αὐσταλέος χρὼς
from-feebleness old-age and with-filth and his dry skin
ἐσκλήκει, ῥινοὶ δὲ σὺν ὀστέα μοῦνον ἔεργον.
was-hard skin and with bones only held-in

ἐκ δ' ἐλθὼν μεγάροιο καθέζετο γοῦνα βαρυνθεὶς
out and having-come of-the-hall sat knees weighed-down
οὐδοῦ ἐπ' αὐλείοιο· κάρος δέ μιν ἀμφεκάλυψεν
threshold on of-the-courtyard stupor and him covered
πορφύρεος, γαῖαν δὲ πέριξ ἐδόκησε φέρεσθαι
dark earth and around seemed to-be-borne
205 νειόθεν, ἀβληχρῷ δ' ἐπὶ κώματι κέκλιτ' ἄναυδος.
from-below feeble and in swoon lay speechless
οἱ δέ μιν ὡς εἶδοντο, περισταδὸν ἠγερέθοντο
they and him when they-saw standing-around gathered
καὶ τάφον. αὐτὰρ ὁ τοῖσι μάλα μόλις ἐξ ὑπάτοιο
and marveled but he to-them very hardly from top
στήθεος ἀμπνεύσας μετεφώνεε μαντοσύνῃσιν·
of-breast having-breathed spoke-among in-prophecy
"Κλῦτε, Πανελλήνων προφερέστατοι, εἰ ἐτεὸν δὴ
Hear of-all-the-Greeks the-most-excellent if truly indeed
210 οἵδ' ὑμεῖς, οὓς δὴ κρυερῇ βασιλῆος ἐφετμῇ
these-are you whom indeed by-chilly of-king by-command
Ἀργῴης ἐπὶ νηὸς ἄγει μετὰ κῶας Ἰήσων.
Argo's on ship leads after fleece Jason
ὑμεῖς ἀτρεκέως. ἔτι μοι νόος οἶδεν ἕκαστα
you truly still my mind knows each-thing
ᾗσι θεοπροπίῃσι. χάριν νύ τοι, ὦ ἄνα, Λητοῦς
by-its prophecies thanks now to-you O lord of-Leto
υἱέ, καὶ ἀργαλέοισιν ἀνάπτομαι ἐν καμάτοισιν.
son even grievous I-render in toils

Ἱκεσίου πρὸς Ζηνός, ὅτις ῥίγιστος ἀλιτροῖς
of-the-Suppliants by Zeus who most-terrible to-sinners
ἀνδράσι, Φοίβου τ' ἀμφὶ καὶ αὐτῆς εἵνεκεν Ἥρης
men of-Phoebus both for-the-sake and herself for-the-sake of-Hera
λίσσομαι, ᾗ περίαλλα θεῶν μέμβλεσθε κιόντες,
I-beseech to-whom beyond-all of-gods you-are-a-care going
χραίσμετέ μοι, ῥύσασθε δυσάμμορον ἀνέρα λύμης,
help me rescue ill-fated man from-outrage
μηδέ μ' ἀκηδείῃσιν ἀφορμήθητε λιπόντες
nor me in-neglect set-out leaving
αὔτως. οὐ γὰρ μοῦνον ἐπ' ὀφθαλμοῖσιν Ἐρινὺς
just-so not for only on eyes a-Fury
λὰξ ἐπέβη, καὶ γῆρας ἀμήρυτον ἐς τέλος ἕλκω·
with-heel trod and old-age unending to end I-drag
πρὸς δ' ἔτι πικρότατον κρέμαται κακὸν ἄλλο κακοῖσιν.
besides and still most-bitter hangs evil other on-evils
Ἅρπυιαι στόματός μοι ἀφαρπάζουσιν ἐδωδὴν
Harpies from-mouth from-me snatch-away food
ἔκποθεν ἀφράστοιο καταΐσσουσαι ὀλέθρου.
from-somewhere invisible swooping of-destruction
ἴσχω δ' οὔτινα μῆτιν ἐπίρροθον. ἀλλά κε ῥεῖα
I-have and no plan helpful but — easily
αὐτὸς ἐὸν λελάθοιμι νόον δόρποιο μεμηλώς,
myself my-own might-escape mind of-supper caring
ἢ κείνας· ὣδ' αἶψα διηέριαι ποτέονται.
than them so quickly through-the-air they-fly
τυτθὸν δ' ἦν ἄρα δήποτ' ἐδητύος ἄμμι λίπωσιν,
little and if then ever of-food for-us they-leave
πνεῖ τόδε μυδαλέον τε καὶ οὐ τλητὸν μένος ὀδμῆς·
breathes this dank both and not bearable strength of-smell

οὔ κέ τις οὐδὲ μίννυθα βροτῶν ἄνσχοιτο πελάσσας,
not — any not-even for-a-moment of-mortals would-endure approaching
οὐδ' εἴ οἱ ἀδάμαντος ἐληλάμενον κέαρ εἴη.
not-even if for-him of-adamant forged heart should-be
ἀλλά με πικρὴ δῆτα καὶ ἄατος ἴσχει ἀνάγκη
but me bitter indeed and insatiate holds necessity
μίμνειν καὶ μίμνοντα κακῇ ἐνὶ γαστέρι θέσθαι.
to-remain and remaining evil in belly to-put
τὰς μὲν θέσφατόν ἐστιν ἐρητῦσαι Βορέαο
them indeed fated it-is to-restrain of-Boreas
υἱέας. οὐδ' ὀθνεῖοι ἀλαλκήσουσιν ἐόντες,
sons nor foreign will-ward-off being
εἰ δὴ ἐγὼν ὁ πρίν ποτ' ἐπικλυτὸς ἀνδράσι Φινεὺς
if indeed I the-one formerly once renowned among-men Phineus
ὄλβῳ μαντοσύνῃ τε, πατὴρ δέ με γείνατ' Ἀγήνωρ·
in-wealth in-prophecy and father and me begot Agenor
τῶν δὲ κασιγνήτην, ὅτ' ἐνὶ Θρῄκεσσιν ἄνασσον,
of-them and sister when among Thracians I-ruled
Κλειοπάτρην ἔδνοισιν ἐμὸν δόμον ἦγον ἄκοιτιν."
Cleopatra with-gifts my house I-led wife
Ἴσκεν Ἀγηνορίδης· ἀδινὸν δ' ἕλε κῆδος ἕκαστον
He-spoke son-of-Agenor thick and seized grief each
ἡρώων, πέρι δ' αὖτε δύω υἷας Βορέαο.
of-the-heroes beyond and in-turn the-two sons of-Boreas
δάκρυ δ' ὀμορξαμένω σχεδὸν ἦλυθον, ὧδέ τ' ἔειπεν
tear and having-wiped near came thus and spoke
Ζήτης, ἀσχαλόωντος ἑλὼν χερὶ χεῖρα γέροντος·
Zetes of-the-distressed taking with-hand hand of-old-man

"Ἆ δείλ', οὔτινά φημι σέθεν σμυγερώτερον ἄλλον
Ah wretched none I-say than-you more-wretched other
ἔμμεναι ἀνθρώπων. τί νύ τοι τόσα κήδε' ἀνῆπται;
to-be of-men why now to-you so-many griefs are-attached
ἦ ῥα θεοὺς ὀλοῇσι παρήλιτες ἀφραδίῃσιν
truly then the-gods by-baneful you-offended by-follies
μαντοσύνας δεδαώς; τῶ τοι μέγα μηνιόωσιν;
prophecies knowing therefore at-you greatly they-are-angry
ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισιν
for-us indeed truly mind within is-dismayed eager
χραισμεῖν, εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων
to-help if indeed truly honor this offered a-god
νῶιν. ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἐνιπαὶ
to-us-two manifest for to-earth-dwellers rebukes
ἀθανάτων. οὐδ' ἂν πρὶν ἐρητύσαιμεν ἰούσας
of-immortals nor — before would-we-restrain coming
Ἅρπυίας, μάλα περ λελιημένοι, ἔστ' ἂν ὀμόσσῃς,
Harpies very though eager until — you-swear
μὴ μὲν τοῖό γ' ἕκητι θεοῖς ἀπὸ θυμοῦ ἔσεσθαι."
not indeed of-this indeed for-the-sake to-gods from heart we-will-be
Ὣς φάτο· τοῦ δ' ἰθὺς κενεὰς ὁ γεραιὸς ἀνέσχεν
So he-spoke at-him and straight empty the old-man raised
γλήνας ἀμπετάσας, καὶ ἀμείψατο τοῖσδ' ἐπέεσσιν·
eyeballs opening and answered with-these words
"Σίγα· μή μοι ταῦτα νόῳ ἔνι βάλλεο, τέκνον.
Silence not to-me these-things mind in put child
ἴστω Λητοῦς υἱός, ὅ με πρόφρων ἐδίδαξεν
let-know of-Leto son who me gladly taught
μαντοσύνας· ἴστω δὲ δυσώνυμος, ἥ μ' ἔλαχεν, κὴρ
prophecies let-know and ill-named which me obtained doom

καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαὸν νέφος, οἵ θ' ὑπένερθεν
and this on eyes blind cloud the-ones and below
δαίμονες, οἳ μηδ' ὧδε θανόντι περ εὐμενέοιεν,
deities who not-even so dying though may-be-gracious
ὡς οὔ τις θεόθεν χόλος ἔσσεται εἵνεκ' ἀρωγῆς."
that not any from-the-gods wrath will-be for-the-sake-of help
Τὼ μὲν ἔπειθ' ὅρκοισιν ἀλαλκέμεναι μενέαινον.
The-two indeed then by-oaths to-help were-eager
αἶψα δὲ κουρότεροι πεπονήατο δαῖτα γέροντι,
quickly and the-younger prepared feast for-the-old-man
λοίσθιον Ἁρπυίῃσιν ἑλώριον· ἐγγύθι δ' ἄμφω
last for-the-Harpies prey near and both
στῆσαν, ἵνα ξιφέεσσιν ἐπεσσυμένας ἐλάσειαν.
stood so-that with-swords them-rushing they-might-drive
καὶ δὴ τὰ πρώτισθ' ὁ γέρων ἔψαυεν ἐδωδῆς·
and indeed the first the old-man touched food
αἱ δ' ἄφαρ ἠύτ' ἄελλαι ἀδευκέες, ἢ στεροπαὶ ὥς,
they and at-once like storms bitter or lightnings like
ἀπρόφατοι νεφέων ἐξάλμεναι ἐσσεύοντο
unforeseen from-clouds leaping-forth darted
κλαγγῇ μαιμώωσαι ἐδητύος· οἱ δ' ἐσιδόντες
with-shriek greedy for-food they and seeing
ἥρωες μεσσηγὺς ἀνίαχον· αἱ δ' ἅμ' αὐτῇ
heroes in-the-middle shouted they and with the-cry
πάντα καταβρόξασαι ὑπὲρ πόντοιο φέροντο
all having-devoured over sea were-borne
τῆλε παρέξ· ὀδμὴ δὲ δυσάσχετος αὖθι λέλειπτο.
far away smell and unbearable there was-left

τάων δ᾽ αὖ κατόπισθε δύω υἷες Βορέαο
of-them and in-turn behind two sons of-Boreas
φάσγαν᾽ ἐπισχόμενοι ὀπίσω θέον. ἐν γὰρ ἔηκεν
swords holding back ran in for put
Ζεὺς μένος ἀκάματόν σφιν· ἀτὰρ Διὸς οὔ κεν ἐπέσθην
Zeus strength untiring in-them but of-Zeus not — they-would-have-followed
νόσφιν, ἐπεὶ ζεφύροιο παραΐσσεσκον ἀέλλας
apart since of-the-west-wind outran the-blasts
αἰέν, ὅτ᾽ ἐς Φινῆα καὶ ἐκ Φινῆος ἴοιεν.
ever when to Phineus and from Phineus they-went
ὡς δ᾽ ὅτ᾽ ἐνὶ κνημοῖσι κύνες δεδαημένοι ἄγρης
as and when in mountain-glens dogs skilled in-hunting
ἢ αἶγας κεραοὺς ἠὲ πρόκας ἰχνεύοντες
either goats horned or deer tracking
θείωσιν, τυτθὸν δὲ τιταινόμενοι μετόπισθεν
run little and stretching behind
ἄκρῃς ἐν γενύεσσι μάτην ἀράβησαν ὀδόντας·
tips at jaws vainly clash teeth
ὣς Ζήτης Κάλαΐς τε μάλα σχεδὸν αἴσσοντες
so Zetes Calais and very near darting
τάων ἀκροτάτῃσιν ἐπέχραον ἤλιθα χερσίν.
them at-the-tips touched in-vain with-hands
καί νύ κε δή σφ᾽ ἀέκητι θεῶν διεδηλήσαντο
and now — indeed them against-the-will of-gods had-torn-apart
πολλὸν ἑκὰς νήσοισιν ἔπι Πλωτῇσι κιχόντες,
far away islands at Floating having-overtaken
εἰ μὴ ἄρ᾽ ὠκέα Ἶρις ἴδεν, κατὰ δ᾽ αἰθέρος ἆλτο
if not then swift Iris saw down and from-air leaped
οὐρανόθεν, καὶ τοῖα παραιφαμένη κατέρυκεν·
from-heaven and such speaking held-back

"Οὐ θέμις, ὦ υἷες Βορέω, ξιφέεσσιν ἐλάσσαι
Not right O sons of-Boreas with-swords to-drive
Ἅρπυίας, μεγάλοιο Διὸς κύνας· ὅρκια δ' αὐτὴ
Harpies of-great of-Zeus hounds oaths and myself
δώσω ἐγών, ὡς οὔ οἱ ἔτι χρίμψουσιν ἰοῦσαι."
will-give I that not to-him longer they-will-approach going
Ὣς φαμένη λοιβὴν Στυγὸς ὤμοσεν, ἥ τε θεοῖσιν
So speaking libation of-Styx swore which — to-gods
ῥιγίστη πάντεσσιν ὀπιδνοτάτη τε τέτυκται,
most-dread to-all most-awful and is
μὴ μὲν Ἀγηνορίδαο δόμοις ἔτι τάσδε πελάσσαι
not indeed of-the-son-of-Agenor to-the-house longer these to-draw-near
εἰσαῦτις Φινῆος, ἐπεὶ καὶ μόρσιμον ἦεν.
again of-Phineus since also fated it-was
οἱ δ' ὅρκῳ εἴξαντες ὑπέστρεφον ἂψ ἐπὶ νῆα
they and to-the-oath yielding turned back to ship
σώεσθαι. Στροφάδας δὲ μετακλείουσ' ἄνθρωποι
to-hasten Strophades and call men
νήσους τοῖό γ' ἕκητι, πάρος Πλωτὰς καλέοντες.
islands of-this indeed for-the-sake before Floating calling
Ἅρπυιαί τ' Ἶρίς τε διέτμαγεν. αἱ μὲν ἔδυσαν
Harpies both Iris and parted they indeed entered
κευθμῶνα Κρήτης Μινωίδος· ἡ δ' ἀνόρουσεν
hollow of-Crete Minoan she and darted-up
Οὔλυμπόνδε, θοῇσι μεταχρονίη πτερύγεσσιν.
to-Olympus with-swift aloft with-wings

Τόφρα δ' ἀριστῆες πινόεν περὶ δέρμα γέροντος
So-long and chieftains filthy around skin of-old-man
πάντῃ φοιβήσαντες ἐπικριδὸν ἱρεύσαντο
all-over having-cleansed choosing sacrificed
μῆλα, τά τ' ἐξ Ἀμύκοιο λεηλασίης ἐκόμισσαν.
sheep which and from of-Amycus plunder they-brought
αὐτὰρ ἐπεὶ μέγα δόρπον ἐνὶ μεγάροισιν ἔθεντο,
but when great supper in halls they-made
δαίνυνθ' ἑζόμενοι· σὺν δέ σφισι δαίνυτο Φινεὺς
they-feasted sitting with and them feasted Phineus
ἁρπαλέως, οἷόν τ' ἐν ὀνείρασι θυμὸν ἰαίνων.
greedily as — in dreams heart cheering
ἔνθα δ', ἐπεὶ δόρποιο κορέσσαντ' ἠδὲ ποτῆτος,
there and when with-supper they-were-sated and drink
παννύχιοι Βορέω μένον υἱέας ἐγρήσσοντες.
all-night of-Boreas waited sons awake
αὐτὸς δ' ἐν μέσσοισι παρ' ἐσχάρῃ ἧστο γεραιὸς
himself and in the-middle by hearth sat old-man
πείρατα ναυτιλίης ἐνέπων ἄνυσίν τε κελεύθου·
the-ends of-voyage telling accomplishment and of-road
"Κλῦτέ νυν. οὐ μὲν πάντα πέλει θέμις ὔμμι δαῆναι
Hear now not indeed all is right for-you to-learn
ἀτρεκές· ὅσσα δ' ὄρωρε θεοῖς φίλον, οὐκ ἐπικεύσω.
exactly as-many-as and has-arisen to-gods dear not I-will-hide

ἀασάμην καὶ πρόσθε Διὸς νόον ἀφραδίῃσιν
I-erred also before of-Zeus the-mind in-folly
χρείων ἐξείης τε καὶ ἐς τέλος. ὧδε γὰρ αὐτὸς
declaring in-order both and to end thus for himself
βούλεται ἀνθρώποις ἐπιδευέα θέσφατα φαίνειν
wills to-men lacking oracles to-show
μαντοσύνης, ἵνα καί τι θεῶν χατέωσι νόοιο.
of-prophecy so-that also something of-gods they-may-need of-mind

II.3 · THE PROPHECY OF PHINEUS

Phineus tells the heroes their road: how to pass the Clashing Rocks by first sending a dove through, the peoples along the Pontus coast, the Amazons and Chalybes, the island of Ares, and at last Colchis and the serpent that guards the fleece, and he bids them look to Cypris for the end of their labors. The poet tells of Cyrene and Aristaeus and the Etesian winds that hold the heroes, and they build an altar to the twelve gods and set sail, Euphemus carrying the dove, while Athena hastens down to help them.

Πέτρας μὲν πάμπρωτον, ἀφορμηθέντες ἐμεῖο,
Rocks indeed first-of-all having-set-out from-me
Κυανέας ὄψεσθε δύω ἁλὸς ἐν ξυνοχῇσιν,
Cyanean you-will-see two of-sea in narrows
τάων οὔτινά φημι διαμπερὲς ἐξαλέασθαι.
of-them none I-say through to-escape
οὐ γάρ τε ῥίζῃσιν ἐρήρεινται νεάτῃσιν,
not for — with-roots are-fixed lowest

ἀλλὰ θαμὰ ξυνίασιν ἐναντίαι ἀλλήλῃσιν
but often they-come-together opposite one-another
εἰς ἕν, ὕπερθε δὲ πολλὸν ἁλὸς κορθύεται ὕδωρ
into one above and much of-sea crests water
βρασσόμενον· στρηνὲς δὲ περὶ στυφελῇ βρέμει ἀκτῇ.
seething harshly and around rugged roars shore
τῷ νῦν ἡμετέρῃσι παραιφασίῃσι πίθεσθε,
therefore now our advice obey
εἰ ἐτεὸν πυκινῷ τε νόῳ μακάρων τ᾽ ἀλέγοντες
if truly with-shrewd both mind of-the-blessed and caring
πείρετε· μηδ᾽ αὔτως αὐτάγρετον οἶτον ὄλησθε
you-pass nor just-so self-chosen fate perish
ἀφραδέως, ἢ θύνετ᾽ ἐπισπόμενοι νεότητι.
heedlessly or rush following youth
οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσασθαι,
with-a-bird indeed first dove to-make-trial
νηὸς ἄπο προμεθέντες ἐφιέμεν. ἢν δὲ δι᾽ αὐτῶν
ship from having-sent to-let-fly if and through them
πετράων πόντονδε σόῃ πτερύγεσσι δίηται,
rocks to-the-sea safe with-wings it-pass
μηκέτι δὴν μηδ᾽ αὐτοὶ ἐρητύεσθε κελεύθου,
no-longer long nor yourselves hold-back of-road
ἀλλ᾽ εὖ καρτύναντες ἑαῖς ἐνὶ χερσὶν ἐρετμὰ
but well strengthening your in hands oars
τέμνεθ᾽ ἁλὸς στεινωπόν· ἐπεὶ φάος οὔ νύ τι τόσσον
cleave of-sea the-strait since light not now anything so-much
ἔσσετ᾽ ἐν εὐχωλῇσιν, ὅσον τ᾽ ἐνὶ κάρτεϊ χειρῶν.
will-be in prayers as-much-as — in strength of-hands

τῶ καὶ τἆλλα μεθέντες ὀνήιστον πονέεσθαι
therefore also other-things having-let-go most-profitable to-toil
θαρσαλέως· πρὶν δ' οὔτι θεοὺς λίσσεσθαι ἐρύκω.
boldly before and not-at-all the-gods to-pray I-hinder
εἰ δέ κεν ἀντικρὺ πταμένη μεσσηγὺς ὄληται,
if and — straight-through flying in-the-middle it-perish
ἄψορροι στέλλεσθαι· ἐπεὶ πολὺ βέλτερον εἶξαι
back to-turn since much better to-yield
ἀθανάτοις. οὐ γάρ κε κακὸν μόρον ἐξαλέαισθε
to-immortals not for — evil fate you-would-escape
πετράων, οὐδ' εἴ κε σιδηρείη πέλοι Ἀργώ.
of-rocks not-even if — of-iron should-be Argo
ὦ μέλεοι, μὴ τλῆτε παρὲξ ἐμὰ θέσφατα βῆναι,
O wretched not dare beyond my oracles to-go
εἰ καί με τρὶς τόσσον ὀίεσθ' Οὐρανίδῃσιν,
if even me thrice so-much you-think by-the-sons-of-Heaven
ὅσσον ἀνάρσιός εἰμι, καὶ εἰ πλεῖον στυγέεσθαι·
as-much-as hateful I-am and if more to-be-hated
μὴ τλῆτ' οἰωνοῖο πάρεξ ἔτι νηὶ περῆσαι.
not dare of-the-bird beyond still with-ship to-pass
καὶ τὰ μὲν ὥς κε πέλῃ, τὼς ἔσσεται. ἢν δὲ φύγητε
and these-things indeed as — it-be so will-be if and you-escape
σύνδρομα πετράων ἀσκηθέες ἔνδοθι Πόντου,
the-clashing of-rocks unscathed within of-Pontus

αὐτίκα Βιθυνῶν ἐπὶ δεξιὰ γαῖαν ἔχοντες
at-once of-Bithynians on right land having
πλώετε ῥηγμῖνας πεφυλαγμένοι, εἰσόκεν αὖτε
sail surfs guarding until again
Ῥήβαν ὠκυρόην ποταμὸν ἄκρην τε Μέλαιναν
Rhebas swift-flowing river headland and Black
γνάμψαντες νήσου Θυνηίδος ὅρμον ἵκησθε.
having-rounded of-island Thynian harbor you-reach
κεῖθεν δ' οὐ μάλα πουλὺ διὲξ ἁλὸς ἀντιπέραιαν
thence and not very much through sea the-opposite
γῆν Μαριανδυνῶν ἐπικέλσετε νοστήσαντες.
land of-Mariandyni you-will-put-in returning
ἔνθα μὲν εἰς Ἀΐδαο καταιβάτις ἐστὶ κέλευθος,
there indeed into of-Hades descending is path
ἄκρη τε προβλὴς Ἀχερουσιὰς ὑψόθι τείνει,
headland and jutting Acherusian on-high stretches
δινήεις τ' Ἀχέρων αὐτὴν διὰ νειόθι τέμνων
eddying and Acheron itself through below cleaving
ἄκρην ἐκ μεγάλης προχοὰς ἵησι φάραγγος.
headland from great mouths sends ravine
ἀγχίμολον δ' ἐπὶ τῇ πολέας παρανεῖσθε κολωνοὺς
near and after it many you-will-pass hills
Παφλαγόνων, τοῖσίν τ' Ἐνετήιος ἐμβασίλευσεν
of-Paphlagonians over-them and Enetean ruled
πρῶτα Πέλοψ, τοῦ καί περ ἀφ' αἵματος εὐχετόωνται.
first Pelops of-whom also indeed from blood they-boast
ἔστι δέ τις ἄκρη Ἑλίκης κατεναντίον Ἄρκτου,
there-is and a headland of-Helice opposite the-Bear
πάντοθεν ἠλίβατος, καί μιν καλέουσι Κάραμβιν,
on-all-sides steep and it they-call Carambis

τῆς καὶ ὑπὲρ βορέαο περισχίζονται ἄελλαι·
of-which also above north-wind are-split storms
ὧδε μάλ' ἂμ πέλαγος τετραμμένη αἰθέρι κύρει.
thus very toward sea turned to-the-sky it-reaches
τήνδε περιγνάμψαντι πολὺς παρακέκλιται ἤδη
this having-rounded much stretches-along already
Αἰγιαλός· πολέος δ' ἐπὶ πείρασιν Αἰγιαλοῖο
Aegialus of-the-vast and on-the ends of-Aegialus
ἀκτῇ ἐπὶ προβλῆτι ῥοαὶ Ἅλυος ποταμοῖο
shore at jutting streams of-Halys river
δεινὸν ἐρεύγονται· μετὰ τὸν δ' ἀγχίροος Ἶρις
terribly belch after it and near-flowing Iris
μειότερος λευκῇσιν ἑλίσσεται εἰς ἅλα δίναις.
smaller with-white rolls into sea with-eddies
κεῖθεν δὲ προτέρωσε μέγας καὶ ὑπείροχος ἀγκὼν
thence and forward great and towering elbow
ἐξανέχει γαίης· ἐπὶ δὲ στόμα Θερμώδοντος
juts-out of-land on and mouth of-Thermodon
κόλπῳ ἐν εὐδιόωντι Θεμισκύρειον ὑπ' ἄκρην
gulf in calm Themiscyreian under headland
μύρεται, εὐρείης διαειμένος ἠπείροιο.
flows of-broad spreading-out mainland
ἔνθα δὲ Δοίαντος πεδίον, σχεδόθεν δὲ πόληες
there and of-Doias plain near and cities
τρισσαὶ Ἀμαζονίδων, μετά τε σμυγερώτατοι ἀνδρῶν
three of-Amazons after and most-wretched of-men
τρηχείην Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν,
rugged Chalybes and unyielding land hold
ἐργατίναι· τοὶ δ' ἀμφὶ σιδήρεα ἔργα μέλονται.
workers they and about iron works are-busied

ἄγχι δὲ ναιετάουσι πολύρρηνες Τιβαρηνοὶ
near and dwell rich-in-sheep Tibareni
Ζηνὸς Ἐυξείνοιο Γενηταίην ὑπὲρ ἄκρην.
of-Zeus of-the-Hospitable Genetaean beyond headland
τῇ δ' ἐπὶ Μοσσύνοικοι ὁμούριοι ὑλήεσσαν
it and next Mossynoeci bordering wooded
ἑξείης ἤπειρον, ὑπωρείας τε νέμονται,
in-order mainland foothills and dwell-in
δουρατέοις πύργοισιν ἐν οἰκία τεκτήναντες
wooden towers in houses having-built
κάλινα καὶ †πύργους† εὐπηγέας, οὓς καλέουσιν
wooden-huts and (corrupt)-towers well-fitted which they-call
μόσσυνας· καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
mossynes and also themselves named thence are
τοὺς παραμειβόμενοι λισσῇ ἐπικέλσετε νήσῳ,
them passing at-smooth you-will-put-in island
μήτι παντοίῃ μέγ' ἀναιδέας ἐξελάσαντες
by-device of-every-kind greatly shameless having-driven-out
οἰωνούς, οἳ δῆθεν ἀπειρέσιοι ἐφέπουσιν
birds which indeed countless haunt
νῆσον ἐρημαίην. τῇ μέν τ' ἐνὶ νηὸν Ἄρηος
island lonely there indeed — in temple of-Ares
λαΐνεον ποίησαν Ἀμαζονίδων βασίλειαι
of-stone made of-Amazons queens
Ὀτρηρή τε καὶ Ἀντιόπη, ὁπότε στρατόωντο.
Otrere both and Antiope when they-made-war

ἔνθα γὰρ ὔμμιν ὄνειαρ ἀδευκέος ἐξ ἁλὸς εἶσιν
there for to-you help bitter from sea will-come
ἄρρητον· τῶ καί τε φίλα φρονέων ἀγορεύω
unspeakable therefore and — friendly-things minding I-tell
ἰσχέμεν. ἀλλὰ τίη με πάλιν χρειὼ ἁλιτέσθαι
to-put-in but why me again necessary to-err
μαντοσύνῃ τὰ ἕκαστα διηνεκὲς ἐξενέποντα;
in-prophecy the each-thing continuously telling
νήσου δὲ προτέρωσε καὶ ἠπείροιο περαίης
island and beyond and of-mainland opposite
φέρβονται Φίλυρες· Φιλύρων δ' ἐφύπερθεν ἔασιν
feed Philyres of-Philyres and above are
Μάκρωνες· μετὰ δ' αὖ περιώσια φῦλα Βεχείρων.
Macrones after and in-turn immense tribes of-Becheiri
ἐξείης δὲ Σάπειρες ἐπὶ σφίσι ναιετάουσιν·
in-order and Sapeires next-to them dwell
Βύζηρες δ' ἐπὶ τοῖσιν ὁμώλακες, ὧν ὕπερ ἤδη
Byzeres and after them neighbors whom beyond now
αὐτοὶ Κόλχοι ἔχονται ἀρήιοι. ἀλλ' ἐνὶ νηὶ
themselves Colchians hold warlike but in ship
πείρεθ', ἕως μυχάτῃ κεν ἐνιχρίμψητε θαλάσσῃ.
sail until in-innermost — you-touch sea
ἔνθα δ' ἐπ' ἠπείροιο Κυταιίδος, ἠδ' Ἀμαραντῶν
there and on mainland Cytaean and of-Amarantians
τηλόθεν ἐξ ὀρέων πεδίοιό τε Κιρκαίοιο
from-afar from mountains plain and Circaean
Φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.
Phasis eddying broad stream into sea throws

κείνου νῆ᾽ ἐλάοντες ἐπὶ προχοὰς ποταμοῖο
of-that ship driving to mouths of-river
πύργους εἰσόψεσθε Κυταιέος Αἰήταο,
towers you-will-see of-Cytaean Aeetes
ἄλσος τε σκιόειν Ἄρεος, τόθι κῶας ἐπ᾽ ἄκρης
grove and shady of-Ares where the-fleece on top
πεπτάμενον φηγοῖο δράκων, τέρας αἰνὸν ἰδέσθαι,
spread of-oak serpent monster dread to-see
ἀμφὶς ὀπιπτεύει δεδοκημένος· οὐδέ οἱ ἦμαρ,
around watches gazing nor to-him by-day
οὐ κνέφας ἥδυμος ὕπνος ἀναιδέα δάμναται ὄσσε.᾽᾽
nor by-night sweet sleep shameless subdues eyes
Ὣς ἄρ᾽ ἔφη· τοὺς δ᾽ εἶθαρ ἕλεν δέος εἰσαΐοντας.
So then he-spoke them and at-once seized fear hearing
δὴν δ᾽ ἔσαν ἀμφασίῃ βεβολημένοι· ὀψὲ δ᾽ ἔειπεν
long and they-were in-speechlessness stricken late and spoke
ἥρως Αἴσονος υἱὸς ἀμηχανέων κακότητι·
hero of-Aeson son helpless at-the-evil
‘‘ Ὦ γέρον, ἤδη μέν τε διίκεο πείρατ᾽ ἀέθλων
O old-man already indeed — you-have-gone-through the-ends of-labors
ναυτιλίης καὶ τέκμαρ, ὅτῳ στυγερὰς διὰ πέτρας
of-voyage and the-token by-which hateful through rocks
πειθόμενοι Πόντονδε περήσομεν· εἰ δέ κεν αὖτις
obeying to-Pontus we-shall-pass if and — again
τάσδ᾽ ἡμῖν προφυγοῦσιν ἐς Ἑλλάδα νόστος ὀπίσσω
these to-us having-escaped to Hellas return hereafter
ἔσσεται, ἀσπαστῶς κε παρὰ σέο καὶ τὸ δαείην.
shall-be gladly — from you also this I-would-learn
πῶς ἔρδω, πῶς αὖτε τόσην ἁλὸς εἶμι κέλευθον,
how am-I-to-act how in-turn so-great of-sea shall-I-go path

νῆις ἐὼν ἑτάροις ἅμα νήισιν; Αἶα δὲ Κολχὶς
unknowing being with-comrades together unknowing Aea and Colchian
Πόντου καὶ γαίης ἐπικέκλιται ἐσχατιῇσιν.”
of-Pontus and of-earth lies-at at-the-limits
῾Ως φάτο· τὸν δ’ ὁ γεραιὸς ἀμειβόμενος προσέειπεν·
So he-spoke him and the old-man answering addressed
“ ῾Ω τέκος, εὖτ’ ἂν πρῶτα φύγῃς ὀλοὰς διὰ πέτρας,
O child when — first you-escape baneful through rocks
θάρσει· ἐπεὶ δαίμων ἕτερον πλόον ἡγεμονεύσει
take-heart since a-deity another voyage will-lead
ἐξ Αἴης· μετὰ δ’ Αἶαν ἅλις πομπῆες ἔσονται.
from Aea after and Aea enough guides will-be
ἀλλά, φίλοι, φράζεσθε θεᾶς δολόεσσαν ἀρωγὴν
but friends consider of-goddess crafty help
Κύπριδος. ἐκ γὰρ τῆς κλυτὰ πείρατα κεῖται ἀέθλων.
of-Cypris from for her glorious ends lie of-labors
καὶ δέ με μηκέτι τῶνδε περαιτέρω ἐξερέεσθε.”
and and me no-longer of-these further ask
῾Ως φάτ’ Ἀγηνορίδης· ἐπὶ δὲ σχεδὸν υἱέε δοιὼ
So spoke son-of-Agenor on and near sons two
Θρηικίου Βορέαο κατ’ αἰθέρος ἀίξαντε
of-Thracian Boreas down from-sky darting
οὐδῷ ἔπι κραιπνοὺς ἔβαλον πόδας· οἱ δ’ ἀνόρουσαν
threshold on swift set feet they and rose
ἐξ ἑδέων ἥρωες, ὅπως παρεόντας ἴδοντο.
from seats heroes when present they-saw

Ζήτης δ' ἰεμένοισιν, ἔτ' ἄσπετον ἐκ καμάτοιο
Zetes and to-the-eager-ones still boundless from toil
ἆσθμ' ἀναφυσιόων, μετεφώνεεν, ὅσσον ἄπωθεν
breath panting spoke-among how-far far
ἤλασαν, ἠδ' ὡς Ἶρις ἐρύκακε τάσδε δαΐξαι,
they-drove and how Iris prevented them to-slay
ὅρκιά τ' εὐμενέουσα θεὰ πόρεν, αἱ δ' ὑπέδυσαν
oaths and gracious the-goddess gave they and crept-under
δείματι Δικταίης περιώσιον ἄντρον ἐρίπνης.
in-fear of-Dictaean huge cave of-crag
γηθόσυνοι δἤπειτα δόμοις ἔνι πάντες ἑταῖροι
glad then house in all comrades
αὐτός τ' ἀγγελίῃ Φινεὺς πέλεν. ὦκα δὲ τόνγε
himself and at-the-news Phineus was quickly and him
Αἰσονίδης περιπολλὸν ἐυφρονέων προσέειπεν·
son-of-Aeson very-greatly kindly addressed
" Ἦ ἄρα δή τις ἔην, Φινεῦ, θεός, ὃς σέθεν ἄτης
Truly then indeed some was Phineus god who your ruin
κήδετο λευγαλέης, καὶ δ' ἡμέας αὖθι πέλασσεν
cared-for grievous and and us there brought
τηλόθεν, ὄφρα τοι υἷες ἀμύνειαν Βορέαο·
from-afar so-that for-you sons might-help of-Boreas
εἰ δὲ καὶ ὀφθαλμοῖσι φόως πόροι ἦ τ' ἂν οἴω
if and also to-eyes light he-might-give truly — — I-think
γηθήσειν, ὅσον εἴπερ ὑπότροπος οἴκαδ' ἱκοίμην."
to-be-going-to-rejoice as-much-as if-indeed returning home I-should-come

Ὣς ἔφατ᾽· αὐτὰρ ὁ τόνγε κατηφήσας προσέειπεν·
So he-spoke but he him downcast addressed
"Αἰσονίδη, τὸ μὲν οὐ παλινάγρετον, οὐδέ τι μῆχος
Son-of-Aeson that indeed not to-be-taken-back nor any remedy
ἔστ᾽ ὀπίσω· κενεαὶ γὰρ ὑποσμύχονται ὀπωπαί.
is hereafter empty for are-wasted eyes
ἀντὶ δὲ τοῦ θάνατόν μοι ἄφαρ θεὸς ἐγγυαλίξαι,
instead and of-this death to-me at-once god might-grant
καί τε θανὼν πάσῃσι μετέσσομαι ἀγλαΐῃσιν."
and — dead in-all I-shall-share splendors
Ὣς τώγ᾽ ἀλλήλοισι παραβλήδην ἀγόρευον.
So they to-one-another in-turn spoke
αὐτίκα δ᾽ οὐ μετὰ δηρὸν ἀμειβομένων ἐφαάνθη
at-once and not after long them-answering appeared
Ἠριγενής· τὸν δ᾽ ἀμφὶ περικτίται ἠγερέθοντο
Early-born-Dawn him and about neighbors gathered
ἀνέρες, οἳ καὶ πρόσθεν ἐπ᾽ ἤματι κεῖσε θάμιζον,
men who also before on day there came-often
αἰὲν ὁμῶς φορέοντες ἑῆς ἀπὸ μοῖραν ἐδωδῆς.
ever alike bringing their-own from portion food
τοῖς ὅ γέρων πάντεσσιν, ὅτις καὶ ἀφαυρὸς ἵκοιτο,
to-them the old-man to-all whoever even feeble came
ἔχραεν ἐνδυκέως, πολέων δ᾽ ἀπὸ πήματ᾽ ἔλυσεν
prophesied kindly of-many and from woes loosed
μαντοσύνῃ· τῷ καί μιν ἐποιχόμενοι κομέεσκον.
by-prophecy therefore also him visiting they-tended
σὺν τοῖσιν δ᾽ ἵκανε Παραίβιος, ὅς ῥά οἱ ἦεν
with them and came Paraebius who then to-him was
φίλτατος· ἀσπάσιος δὲ δόμοις ἔνι τούσγ᾽ ἐνόησεν.
dearest gladly and house in them he-perceived

πρὶν γὰρ δή νύ ποτ᾽ αὐτὸς ἀριστήων στόλον ἀνδρῶν
before for indeed now once himself of-chiefs band of-men
Ἑλλάδος ἐξανιόντα μετὰ πτόλιν Αἰήταο
of-Hellas setting-out for city of-Aeetes
πείσματ᾽ ἀνάψασθαι μυθήσατο Θυνίδι γαίῃ,
cables to-fasten he-told at-Thynian land
οἵ τέ οἱ Ἅρπυίας Διόθεν σχήσουσιν ἰούσας.
who — for-him Harpies from-Zeus would-check coming
τοὺς μὲν ἔπειτ᾽ ἐπέεσσιν ἀρεσσάμενος πυκινοῖσιν
them indeed then with-words having-pleased shrewd
πέμφ᾽ ὁ γέρων· οἷον δὲ Παραίβιον αὐτόθι μίμνειν
sent the old-man alone and Paraebius there to-remain
κέκλετ᾽ ἀριστήεσσι σὺν ἀνδράσιν· αἶψα δὲ τόνγε
he-bade chieftains with men quickly and him
σφωιτέρων ὀίων ὅτις ἔξοχος, εἰς ἓ κομίσσαι
of-their-own of-sheep whichever finest to him to-bring
ἧκεν ἐποτρύνας. τοῦ δ᾽ ἐκ μεγάροιο κιόντος
he-sent urging him and from hall going
μειλιχίως ἐρέτῃσιν ὁμηγερέεσσι μετηύδα·
gently to-the-rowers gathered spoke-among
“ Ὦ φίλοι, οὐκ ἄρα πάντες ὑπέρβιοι ἄνδρες ἔασιν,
O friends not then all overweening men are
οὐδ᾽ εὐεργεσίης ἀμνήμονες. ὡς καὶ ὅδ᾽ ἀνὴρ
nor of-kindness unmindful as also this man
τοῖος ἐὼν δεῦρ᾽ ἦλθεν, ἑὸν μόρον ὄφρα δαείῃ.
such being here came his-own fate so-that he-might-learn
εὖτε γὰρ οὖν ὡς πλεῖστα κάμοι καὶ πλεῖστα μογήσαι,
when for then as most he-toiled and most labored

δὴ τότε μιν περιπολλὸν ἐπασσυτέρη βιότοιο
indeed then him very-greatly continual of-livelihood
χρησμοσύνη τρύχεσκεν· ἐπ᾽ ἤματι δ᾽ ἤματ ὀρώρει
need wore on day and day arose
κύντερον, οὐδέ τις ἦεν ἀνάπνευσις μογέοντι.
more-dreadful nor any was respite for-the-toiling
ἀλλ᾽ ὅγε πατρὸς ἑοῖο κακὴν τίνεσκεν ἀμοιβὴν
but he of-father his-own evil was-paying requital
ἀμπλακίης. ὁ γὰρ οἷος ἐν οὔρεσι δένδρεα τέμνων
of-sin he for alone in mountains trees cutting
δή ποθ᾽ ἁμαδρυάδος νύμφης ἀθέριξε λιτάων,
indeed once of-hamadryad nymph slighted prayers
ἥ μιν ὀδυρομένη ἀδινῷ μειλίσσετο μύθῳ,
who him lamenting with-thick appeased with-word
μὴ ταμέειν πρέμνον δρυὸς ἥλικος, ᾗ ἔπι πουλὺν
not to-cut stump of-oak of-her-own-age which on long
αἰῶνα τρίβεσκε διηνεκές· αὐτὰρ ὁ τήνγε
age she-had-spent continually but he her
ἀφραδέως ἔτμηξεν ἀγηνορίῃ νεότητος.
heedlessly cut-down in-the-pride of-youth
τῷ δ᾽ ἄρα νηκερδὴ νύμφη πόρεν οἶτον ὀπίσσω
to-him and then profitless nymph gave fate hereafter
αὐτῷ καὶ τεκέεσσιν. ἔγωγε μέν, εὖτ᾽ ἀφίκανεν,
himself and children I indeed when he-came
ἀμπλακίην ἔγνων· βωμὸν δ᾽ ἐκέλευσα καμόντα
the-sin I-recognized altar and I-bade having-built
Θυνιάδος νύμφης, λωφήια ῥέξαι ἐπ᾽ αὐτῷ
of-Thynian nymph atonement to-offer on it
ἱερά, πατρῴην αἰτεύμενον αἶσαν ἀλύξαι.
sacrifices paternal asking fate to-escape

ἔνθ᾽ ἐπεὶ ἔκφυγε κῆρα θεήλατον, οὔποτ᾽ ἐμεῖο
there when he-escaped doom god-sent never me
ἐκλάθετ᾽, οὐδ᾽ ἀθέριξε· μόλις δ᾽ ἀέκοντα θύραζε
forgot nor slighted hardly and unwilling out-the-door
πέμπω, ἐπεὶ μέμονέν γε παρέμμεναι ἀσχαλόωντι.᾽᾽
I-send since he-is-eager indeed to-stay-with distressed
῾Ως φάτ᾽ Ἀγηνορίδης· ὁ δ᾽ ἐπισχεδὸν αὐτίκα δοιὼ
So spoke son-of-Agenor he and close at-once two
ἤλυθ᾽ ἄγων ποίμνηθεν ὄις. ἀνὰ δ᾽ ἵστατ᾽ Ἰήσων,
came leading from-the-flock sheep up and stood Jason
ἂν δὲ Βορήιοι υἷες ἐφημοσύνῃσι γέροντος.
up and of-Boreas sons at-the-bidding of-old-man
ὦκα δὲ κεκλόμενοι μαντήιον Ἀπόλλωνα
quickly and calling-on prophetic Apollo
ῥέζον ἐπ᾽ ἐσχαρόφιν νέον ἤματος ἀνομένοιο.
they-sacrificed on hearth newly of-day ending
κουρότεροι δ᾽ ἑτάρων μενοεικέα δαῖτ᾽ ἀλέγυνον.
the-younger and of-comrades satisfying feast prepared
ἔνθ᾽ εὖ δαισάμενοι, τοὶ μὲν παρὰ πείσμασι νηός,
there well having-feasted some indeed beside cables of-ship
τοὶ δ᾽ αὐτοῦ κατὰ δώματ᾽ ἀολλέες εὐνάζοντο.
others and there in house in-a-throng slept
ἦρι δ᾽ ἐτήσιαι αὖραι ἐπέχραον, αἵ τ᾽ ἀνὰ πᾶσαν
at-dawn and Etesian winds fell-on which — over all
γαῖαν ὁμῶς τοιῇδε Διὸς πνείουσιν ἀνωγῇ.
land alike by-such of-Zeus blow by-command
Κυρήνη πέφαταί τις ἔλος πάρα Πηνειοῖο
Cyrene is-said a-certain marsh by Peneus
μῆλα νέμειν προτέροισι παρ᾽ ἀνδράσιν· εὖαδε γάρ οἱ
sheep to-tend earlier among men pleased for her

παρθενίη καὶ λέκτρον ἀκήρατον. αὐτὰρ Ἀπόλλων
maidenhood and bed undefiled but Apollo
τήνγ' ἀνερεψάμενος ποταμῷ ἔπι ποιμαίνουσαν
her having-snatched-up river at tending-flocks
τηλόθεν Αἱμονίης, χθονίῃς παρακάτθετο νύμφαις,
far-off of-Haemonia to-earthly entrusted nymphs
αἳ Λιβύην ἐνέμοντο παραὶ Μυρτώσιον αἶπος.
who Libya inhabited beside Myrtosian height
ἔνθα δ' Ἀρισταῖον Φοίβῳ τέκεν, ὃν καλέουσιν
there and Aristaeus to-Phoebus bore whom they-call
Ἀγρέα καὶ Νόμιον πολυλήιοι Αἱμονιῆες.
Hunter and Shepherd rich-in-corn Haemonians
τὴν μὲν γὰρ φιλότητι θεὸς ποιήσατο νύμφην
her indeed for in-love the-god made nymph
αὐτοῦ μακραίωνα καὶ ἀγρότιν· υἱὰ δ' ἔνεικεν
there long-lived and huntress son and he-carried
νηπίαχον Χείρωνος ὑπ' ἄντροισιν κομέεσθαι.
a-young-child of-Chiron in caves to-be-reared
τῷ καὶ ἀεξηθέντι θεαὶ γάμον ἐμνήστευσαν
for-him and having-grown the-goddesses marriage wooed
Μοῦσαι, ἀκεστορίην τε θεοπροπίας τ' ἐδίδαξαν·
Muses healing both prophecies and taught
καί μιν ἑῶν μήλων θέσαν ἤρανον, ὅσσ' ἐνέμοντο
and him of-their-own of-sheep made keeper as-many-as grazed
ἀμ πεδίον Φθίης Ἀθαμάντιον ἀμφί τ' ἐρυμνὴν
through plain of-Phthia Athamantian around and steep
Ὄθρυν καὶ ποταμοῦ ἱερὸν ῥόον Ἀπιδανοῖο.
Othrys and of-river sacred stream of-Apidanus

ἦμος δ' οὐρανόθεν Μινωίδας ἔφλεγε νήσους
when and from-heaven Minoan scorched islands
Σείριος, οὐδ' ἐπὶ δηρὸν ἔην ἄκος ἐνναέτῃσιν,
Sirius nor for long was remedy for-the-inhabitants
τῆμος τόνγ' ἐκάλεσσαν ἐφημοσύναις Ἑκάτοιο
then him they-called by-the-behests of-the-Far-shooter
λοιμοῦ ἀλεξητῆρα. λίπεν δ' ὅγε πατρὸς ἐφετμῇ
of-plague averter left and he of-father at-the-bidding
Φθίην, ἐν δὲ Κέῳ κατενάσσατο, λαὸν ἀγείρας
Phthia in and Ceos settled people having-gathered
Παρράσιον, τοίπερ τε Λυκάονός εἰσι γενέθλης,
Parrhasian who-indeed and of-Lycaon are of-lineage
καὶ βωμὸν ποίησε μέγαν Διὸς Ἰκμαίοιο,
and altar made great of-Zeus Icmaean
ἱερά τ' εὖ ἔρρεξεν ἐν οὔρεσιν ἀστέρι κείνῳ
offerings and well offered in mountains to-star that
Σειρίῳ αὐτῷ τε Κρονίδῃ Διί. τοῖο δ' ἕκητι
to-Sirius himself and to-son-of-Cronus to-Zeus of-him and for-the-sake
γαῖαν ἐπιψύχουσιν ἐτήσιαι ἐκ Διὸς αὖραι
land cool Etesian from Zeus winds
ἤματα τεσσαράκοντα· Κέῳ δ' ἔτι νῦν ἱερῆες
days forty in-Ceos and still now priests
ἀντολέων προπάροιθε Κυνὸς ῥέζουσι θυηλάς.
of-risings before of-the-Dog offer sacrifices

Καὶ τὰ μὲν ὣς ὑδέονται· ἀριστῆες δὲ καταῦθι
And these-things indeed so are-told chieftains and there
μίμνον ἐρυκόμενοι· ξεινήια δ' ἄσπετα Θυνοὶ
remained held-back guest-gifts and boundless Thynians
πᾶν ἦμαρ Φινῆι χαριζόμενοι προΐαλλον.
every day Phineus gratifying sent

ἐκ δὲ τόθεν μακάρεσσι δυώδεκα δωμήσαντες
from and then to-the-blessed twelve having-built
βωμὸν ἁλὸς ῥηγμῖνι πέρην καὶ ἐφ' ἱερὰ θέντες,
altar of-sea beach opposite and on offerings having-placed
νῆα θοὴν εἴσβαινον ἐρεσσέμεν, οὐδὲ πελείης
ship swift embarked to-row nor of-dove
τρήρωνος λήθοντο μετὰ σφίσιν· ἀλλ' ἄρα τήνγε
timid forgot among them but then her
535 δείματι πεπτηυῖαν ἑῇ φέρε χειρὶ μεμαρπὼς
in-fear cowering in-his-own carried hand having-grasped
Εὔφημος, γαίης δ' ἀπὸ διπλόα πείσματ' ἔλυσαν.
Euphemus land and from double cables they-loosed
Οὐδ' ἄρ' Ἀθηναίην προτέρω λάθον ὁρμηθέντες·
Nor then Athena forward escaped-notice setting-out
αὐτίκα δ' ἐσσυμένως νεφέλης ἐπιβᾶσα πόδεσσιν
at-once and hastily of-cloud having-stepped-on with-feet
κούφης, ἥ κε φέροι μιν ἄφαρ βριαρήν περ ἐοῦσαν,
light which — might-carry her at-once mighty though being
540 σεύατ' ἴμεν πόντονδε, φίλα φρονέουσ' ἐρέτῃσιν.
rushed to-go to-the-sea friendly minding to-the-rowers
ὡς δ' ὅτε τις πάτρηθεν ἀλώμενος, οἷά τε πολλὰ
as and when some from-fatherland wandering such-as — many
πλαζόμεθ' ἄνθρωποι τετληότες, οὐδέ τις αἶα
wander men having-endured nor any land
τηλουρός, πᾶσαι δὲ κατόψιοί εἰσι κέλευθοι,
far-off all and in-sight are paths

σφωιτέρους δ' ἐνόησε δόμους, ἄμυδις δὲ κέλευθος
their-own and he-perceives houses together and path
ὑγρή τε τραφερή τ' ἰνδάλλεται, ἄλλοτε δ' ἄλλῃ
by-sea both by-land and appears at-one-time and another
ὀξέα πορφύρων ἐπιμαίεται ὀφθαλμοῖσιν·
keenly pondering he-seeks with-eyes
ὣς ἄρα καρπαλίμως κούρη Διὸς ἀίξασα
so then swiftly maiden of-Zeus having-darted
θῆκεν ἐπ' ἀξείνοιο πόδας Θυνηίδος ἀκτῆς.
set on inhospitable feet Thynian shore

II.4 · THE CLASHING ROCKS

The heroes come to the Clashing Rocks. Euphemus lets fly a dove, which passes with the loss of its tail feathers; the heroes row through, Athena pushing the ship, and only the tip of its stern is shorn. The rocks are rooted forever in one place, close to each other. Tiphys tells Jason that they owe their escape to Athena, and Jason, to test the chiefs, answers that he fears for them all; when they shout encouragement he takes heart and says he will fear nothing more.

Οἱ δ' ὅτε δὴ σκολιοῖο πόρου στεινωπὸν ἵκοντο
They and when indeed of-winding of-passage narrows reached
τρηχείῃς σπιλάδεσσιν ἐεργμένον ἀμφοτέρωθεν,
by-rough by-crags shut-in on-both-sides
δινήεις δ' ὑπένερθεν ἀνακλύζεσκεν ἰοῦσαν
eddying and below washed-up going
νῆα ῥόος, πολλὸν δὲ φόβῳ προτέρωσε νέοντο,
ship current much and in-fear forward they-went

ἤδη δέ σφισι δοῦπος ἀρασσομένων πετράων
already and on-them din of-clashing of-rocks
νωλεμὲς οὔατ' ἔβαλλε, βόων δ' ἁλιμυρέες ἀκταί,
unceasingly ears struck roared and sea-washed shores
δὴ τότ' ἔπειθ' ὁ μὲν ὦρτο πελειάδα χειρὶ μεμαρπὼς
indeed then then he indeed rose dove in-hand grasping
Εὔφημος πρῴρης ἐπιβήμεναι· οἱ δ' ὑπ' ἀνωγῇ
Euphemus prow to-climb they and under command
Τίφυος Ἁγνιάδαο θελήμονα ποιήσαντο
of-Tiphys of-the-son-of-Hagnias willing made
εἰρεσίην, ἵν' ἔπειτα διὲκ πέτρας ἐλάσειαν,
rowing so-that then through rocks they-might-drive
κάρτεϊ ᾧ πίσυνοι. τὰς δ' αὐτίκα λοίσθιον ἄλλων
in-strength their trusting them and at-once last of-other
οἰγομένας ἀγκῶνα περιγνάμψαντες ἴδοντο.
opening bend having-rounded they-saw
σὺν δέ σφιν χύτο θυμός· ὁ δ' ἀίξαι πτερύγεσσιν
together and for-them was-poured heart he and to-dart with-wings
Εὔφημος προέηκε πελειάδα· τοὶ δ' ἅμα πάντες
Euphemus sent-forth dove they and together all
ἤειραν κεφαλὰς ἐσορώμενοι· ἡ δὲ δι' αὐτῶν
raised heads looking she and through them
ἔπτατο· ταὶ δ' ἄμυδις πάλιν ἀντίαι ἀλλήλῃσιν
flew they and together again opposite one-another
ἄμφω ὁμοῦ ξυνιοῦσαι ἐπέκτυπον. ὦρτο δὲ πολλὴ
both together meeting clashed rose and much
ἅλμη ἀναβρασθεῖσα, νέφος ὥς· αὖε δὲ πόντος
brine boiled-up cloud like roared and sea
σμερδαλέον· πάντῃ δὲ περὶ μέγας ἔβρεμεν αἰθήρ.
terribly everywhere and around great roared air

κοῖλαι δὲ σπήλυγγες ὑπὸ σπιλάδας τρηχείας
hollow and caves under crags rough
κλυζούσης ἁλὸς ἔνδον ἐβόμβεον· ὑψόθι δ᾽ ὄχθης
dashing sea within boomed high and of-the-bank
λευκὴ καχλάζοντος ἀνέπτυε κύματος ἄχνη.
white of-the-splashing spat-up of-wave foam
νῆα δ᾽ ἔπειτα πέριξ εἴλει ῥόος. ἄκρα δ᾽ ἔκοψαν
ship and then around whirled current tips and cut-off
οὐραῖα πτερὰ ταίγε πελειάδος· ἡ δ᾽ ἀπόρουσεν
tail feathers they of-dove she and darted-away
ἀσκηθής. ἐρέται δὲ μέγ᾽ ἴαχον· ἔβραχε δ᾽ αὐτὸς
unharmed the-rowers and greatly shouted shouted and himself
Τῖφυς ἐρεσσέμεναι κρατερῶς. οἴγοντο γὰρ αὖτις
Tiphys to-row mightily were-opening for again
ἄνδιχα. τοὺς δ᾽ ἐλάοντας ἔχεν τρόμος, ὄφρα μιν αὐτὴ
apart them and driving held trembling until it itself
πλημμυρὶς παλίνορσος ἀνερχομένη κατένεικεν
the-wave backward returning carried-down
εἴσω πετράων. τότε δ᾽ αἰνότατον δέος εἶλεν
within the-rocks then and most-dread fear seized
πάντας· ὑπὲρ κεφαλῆς γὰρ ἀμήχανος ἦεν ὄλεθρος.
all over head for irresistible was destruction
ἤδη δ᾽ ἔνθα καὶ ἔνθα διὰ πλατὺς εἴδετο Πόντος,
already and here and there through broad was-seen Pontus

καί σφισιν ἀπροφάτως ἀνέδυ μέγα κῦμα πάροιθεν
and to-them unexpectedly rose great wave before
κυρτόν, ἀποτμῆγι σκοπιῇ ἴσον· οἱ δ' ἐσιδόντες
arched to-sheer to-peak like they and seeing
ἤμυσαν λοξοῖσι καρήασιν. εἴσατο γάρ ῥα
bowed with-bent heads it-seemed for then
νηὸς ὑπὲρ πάσης κατεπάλμενον ἀμφικαλύψειν.
ship over all leaping-down to-be-going-to-cover
ἀλλά μιν ἔφθη Τῖφυς ὑπ' εἰρεσίῃ βαρύθουσαν
but it anticipated Tiphys under rowing laboring
ἀγχαλάσας· τὸ δὲ πολλὸν ὑπὸ τρόπιν ἐξεκυλίσθη,
having-slackened it and much under keel rolled-away
ἐκ δ' αὐτὴν πρύμνηθεν ἀνείρυσε τηλόθι νῆα
from and herself from-the-stern drew-up far ship
πετράων· ὑψοῦ δὲ μεταχρονίη πεφόρητο.
from-the-rocks aloft and on-high was-borne
Εὔφημος δ' ἀνὰ πάντας ἰὼν βοάασκεν ἑταίρους,
Euphemus and through all going shouted-to comrades
ἐμβαλέειν κώπῃσιν ὅσον σθένος· οἱ δ' ἀλαλητῷ
to-lay-on with-oars as-much-as strength they and with-shout
κόπτον ὕδωρ. ὅσσον δ' ἂν ὑπείκαθε νηῦς ἐρέτῃσιν,
smote water as-much-as and — yielded ship to-the-rowers
δὶς τόσον ἂψ ἀπόρουσεν· ἐπεγνάμπτοντο δὲ κῶπαι
twice so-much back darted-back were-bent and oars
ἠύτε καμπύλα τόξα, βιαζομένων ἡρώων.
like curved bows of-straining heroes
ἔνθεν δ' αὐτίκ' ἔπειτα κατηρεφὲς ἔσσυτο κῦμα,
thence and at-once afterward overarching rushed wave

ἡ δ' ἅφαρ ὥστε κύλινδρος ἐπέτρεχε κύματι λάβρῳ
she and at-once like cylinder ran-over on-wave furious
προπροκαταΐγδην κοίλης ἁλός. ἐν δ' ἄρα μέσσαις
plunging-headlong of-hollow sea in and then middle
Πληγάσι δινήεις εἶχεν ῥόος· αἱ δ' ἑκάτερθεν
Clashing eddying held current they and on-either-side
σειόμεναι βρόμεον· πεπέδητο δὲ νήια δοῦρα.
shaking roared were-bound and ship's timbers
καὶ τότ' Ἀθηναίη στιβαρῆς ἀντέσπασε πέτρης
and then Athena sturdy drew-back rock
σκαιῇ, δεξιτερῇ δὲ διαμπερὲς ὦσε φέρεσθαι.
with-left with-right and through pushed to-be-borne
ἡ δ' ἰκέλη πτερόεντι μετήορος ἔσσυτ' ὀιστῷ.
she and like winged aloft rushed arrow
ἔμπης δ' ἀφλάστοιο παρέθρισαν ἄκρα κόρυμβα
nevertheless and of-stern-ornament clipped tip clusters
νωλεμὲς ἐμπλήξασαι ἐναντίαι. αὐτὰρ Ἀθήνη
unceasingly striking opposite but Athena
Οὔλυμπόνδ' ἀνόρουσεν, ὅτ' ἀσκηθεῖς ὑπάλυξαν.
to-Olympus darted when unscathed they-escaped
πέτραι δ' εἰς ἕνα χῶρον ἐπισχεδὸν ἀλλήλῃσιν
rocks and into one place close one-another
νωλεμὲς ἐρρίζωθεν, ὃ δὴ καὶ μόρσιμον ἦεν
unceasingly were-rooted which indeed also fated was
ἐκ μακάρων, εὖτ' ἄν τις ἰδὼν διὰ νηὶ περήσῃ.
from the-blessed when — some having-seen through in-ship should-pass

οἱ δέ που ὀκρυόεντος ἀνέπνεον ἄρτι φόβοιο
they and surely chilling breathed-again just-now from-fear
ἠέρα παπταίνοντες ὁμοῦ πέλαγός τε θαλάσσης
air looking-around together expanse and of-sea
τῆλ' ἀναπεπτάμενον. δὴ γὰρ φάσαν ἐξ Ἀΐδαο
far spread-out indeed for they-said from Hades
σώεσθαι· Τῖφυς δὲ παροίτατος ἤρχετο μύθων·
to-be-saved Tiphys and first began of-words
" Ἔλπομαι αὐτῇ νηὶ τόγ' ἔμπεδον ἐξαλέασθαι
I-hope with-the-very ship this steadfastly to-have-escaped
ἡμέας· οὐδέ τις ἄλλος ἐπαίτιος, ὅσσον Ἀθήνη,
us nor any other responsible as-much-as Athena
ἥ οἱ ἐνέπνευσεν θεῖον μένος, εὖτέ μιν Ἄργος
who into-it breathed divine might when it Argus
γόμφοισιν συνάρασσε· θέμις δ' οὐκ ἔστιν ἁλῶναι.
with-bolts fitted right and not it-is to-be-caught
Αἰσονίδη, τύνη δὲ τεοῦ βασιλῆος ἐφετμήν,
Son-of-Aeson you and your of-king the-command
εὖτε διὲκ πέτρας φυγέειν θεὸς ἥμιν ὄπασσεν,
since through rocks to-escape god to-us granted
μηκέτι δείδιθι τοῖον· ἐπεὶ μετόπισθεν ἀέθλους
no-longer fear such since afterward labors
εὐπαλέας τελέεσθαι Ἀγηνορίδης φάτο Φινεύς."
easy to-be-accomplished son-of-Agenor said Phineus
Ἦ ῥ' ἅμα, καὶ προτέρωσε παραὶ Βιθυνίδα γαῖαν
He-spoke then together and forward along Bithynian land
νῆα διὲκ πέλαγος σεῦεν μέσον. αὐτὰρ ὁ τόνγε
ship through sea drove middle but he him
μειλιχίοις ἐπέεσσι παραβλήδην προσέειπεν·
with-gentle with-words in-reply addressed

“Τῖφυ, τίη μοι ταῦτα παρηγορέεις ἀχέοντι;
Tiphys why me these-things you-console grieving
ἤμβροτον ἀασάμην τε κακὴν καὶ ἀμήχανον ἄτην.
I-failed I-erred both evil and helpless ruin
χρῆν γὰρ ἐφιεμένοιο καταντικρὺ Πελίαο
it-was-needful for commanding straight of-Pelias
αὐτίκ’ ἀνήνασθαι τόνδε στόλον, εἰ καὶ ἔμελλον
at-once to-have-refused this expedition if even I-was-to
νηλειῶς μελεϊστὶ κεδαιόμενος θανέεσθαι·
pitilessly limb-by-limb being-torn-apart to-die
νῦν δὲ περισσὸν δεῖμα καὶ ἀτλήτους μελεδῶνας
now and excessive fear and unbearable cares
ἄγκειμαι, στυγέων μὲν ἁλὸς κρυόεντα κέλευθα
I-bear loathing indeed of-sea chilly paths
νηὶ διαπλώειν, στυγέων δ’, ὅτ’ ἐπ’ ἠπείροιο
in-ship to-sail-through loathing and when on mainland
βαίνωμεν. πάντῃ γὰρ ἀνάρσιοι ἄνδρες ἔασιν.
we-go everywhere for hostile men are
αἰεὶ δὲ στονόεσσαν ἐπ’ ἤματι νύκτα φυλάσσω,
ever and groaning on day night I-watch
ἐξότε τὸ πρώτιστον ἐμὴν χάριν ἠγερέθεσθε,
since the very-first for-my sake you-gathered
φραζόμενος τὰ ἕκαστα· σὺ δ’ εὐμαρέως ἀγορεύεις
considering the each-thing you and easily speak
οἷον ἑῆς ψυχῆς ἀλέγων ὕπερ· αὐτὰρ ἔγωγε
only your-own life caring for but I
εἶο μὲν οὐδ’ ἠβαιὸν ἀτύζομαι· ἀμφὶ δὲ τοῖο
of-myself indeed not-even little am-dismayed about and this
καὶ τοῦ ὁμῶς, καὶ σεῖο, καὶ ἄλλων δείδι’ ἑταίρων
and of-this alike and of-you and of-other I-fear comrades

εἰ μὴ ἐς Ἑλλάδα γαῖαν ἀπήμονας ὔμμε κομίσσω.”
if not to Hellas land unharmed you I-bring

Ὣς φάτ᾽ ἀριστήων πειρώμενος· οἱ δ᾽ ὁμάδησαν
So he-spoke of-chiefs making-trial they and shouted

θαρσαλέοις ἐπέεσσιν. ὁ δὲ φρένας ἔνδον ἰάνθη
with-bold with-words he and in-heart within was-cheered

κεκλομένων, καί ῥ᾽ αὖτις ἐπιρρήδην μετέειπεν·
calling and then again openly spoke-among

“ Ὦ φίλοι, ὑμετέρῃ ἀρετῇ ἔνι θάρσος ἀέξω.
O friends your valor in courage I-grow

τούνεκα νῦν οὐδ᾽ εἴ κε διὲξ Ἀΐδαο βερέθρων
therefore now not-even if — through of-Hades the-pits

στελλοίμην, ἔτι τάρβος ἀνάψομαι, εὖτε πέλεσθε
I-should-set-out longer fear I-shall-take since you-are

ἔμπεδοι ἀργαλέοις ἐνὶ δείμασιν. ἀλλ᾽ ὅτε πέτρας
steadfast grievous in fears but when rocks

Πληγάδας ἐξέπλωμεν, ὀίομαι οὐκ ἔτ᾽ ὀπίσσω
Clashing we-sailed-through I-think not longer hereafter

ἔσσεσθαι τοιόνδ᾽ ἕτερον φόβον, εἰ ἐτεόν γε
to-be-going-to-be such other fear if truly indeed

φραδμοσύνῃ Φινῆος ἐπισπόμενοι νεόμεσθα.”
by-the-counsel of-Phineus following we-go

The heroes reach the island of Thynias at dawn and see Apollo passing on his way to the Hyperboreans. At Orpheus' bidding they build an altar to Apollo of the Dawn and sacrifice, and Orpheus sings how Apollo slew Delphyne beneath Parnassus. They swear an oath of mutual aid and found a shrine of Concord.

Ὣς φάτο, καὶ τοίων μὲν ἐλώφεον αὐτίκα μύθων,
So he-spoke and from-such indeed they-ceased at-once words
εἰρεσίῃ δ' ἀλίαστον ἔχον πόνον· αἶψα δὲ τοίγε
at-rowing and unceasing had toil quickly and they
Ῥήβαν ὠκυρόην ποταμὸν σκόπελόν τε Κολώνης,
Rhebas swift-flowing river rock and of-Colone
ἄκρην δ' οὐ μετὰ δηθὰ παρεξενέοντο Μέλαιναν,
headland and not after long passed Black
τῇ δ' ἄρ' ἐπὶ προχοὰς Φυλληίδας, ἔνθα πάροιθεν
it and then next mouths Phyllean where before
Διψακὸς υἱ' Ἀθάμαντος ἑοῖς ὑπέδεκτο δόμοισιν,
Dipsacus son of-Athamas in-his received in-house
ὁππόθ' ἅμα κριῷ φεῦγεν πόλιν Ὀρχομενοῖο·
when with ram he-fled city of-Orchomenus
τίκτε δέ μιν νύμφη λειμωνιάς· οὐδέ οἱ ὕβρις
bore and him a-nymph of-the-meadow nor to-him insolence
ἤνδανεν, ἀλλ' ἐθελημὸς ἐφ' ὕδασι πατρὸς ἑοῖο
pleased but willingly by waters of-father his-own
μητέρι συνναίεσκεν ἐπάκτια πώεα φέρβων.
with-mother dwelt on-the-shore flocks feeding

τοῦ μέν θ' ἱερὸν αἶψα, καὶ εὐρείας ποταμοῖο
of-him indeed — shrine quickly and broad of-the-river
ἠιόνας πεδίον τε, βαθυρρείοντά τε Κάλπην
banks plain both deep-flowing and Calpe
δερκόμενοι παράμειβον, ὁμῶς δ' ἐπὶ ἤματι νύκτα
seeing they-passed alike and on day night
νήνεμον ἀκαμάτῃσιν ἐπερρώοντ' ἐλάτῃσιν.
windless with-untiring they-strained with-pines
οἷον δὲ πλαδόωσαν ἐπισχίζοντες ἄρουραν
as and moist cleaving field
ἐργατίναι μογέουσι βόες, πέρι δ' ἄσπετος ἱδρὼς
laboring toil oxen around and boundless sweat
εἴβεται ἐκ λαγόνων τε καὶ αὐχένος· ὄμματα δέ σφιν
drips from flanks both and neck eyes and their
λοξὰ παραστρωφῶνται ὑπὸ ζυγοῦ· αὐτὰρ ἀυτμὴ
askance roll under yoke but breath
αὐαλέη στομάτων ἄμοτον βρέμει· οἱ δ' ἐνὶ γαίῃ
dry from-mouths unceasingly roars they and in earth
χηλὰς σκηρίπτοντε πανημέριοι πονέονται·
hoofs planting all-day toil
τοῖς ἴκελοι ἥρωες ὑπὲξ ἁλὸς εἶλκον ἐρετμά.
to-them like heroes from-out-of sea drew oars
Ἦμος δ' οὔτ' ἄρ πω φάος ἄμβροτον, οὔτ' ἔτι λίην
When and neither then yet light immortal nor longer very
ὀρφναίη πέλεται, λεπτὸν δ' ἐπιδέδρομε νυκτὶ
dark is fine and has-spread over-night
φέγγος, ὅτ' ἀμφιλύκην μιν ἀνεγρόμενοι καλέουσιν,
glimmer when twilight it waking-men call

τῆμος ἐρημαίης νήσου λιμέν' εἰσελάσαντες
then of-lonely island to-harbor having-rowed-in
Θυνιάδος, καμάτῳ πολυπήμονι βαῖνον ἔραζε.
Thynian with-toil much-afflicting they-stepped to-ground
τοῖσι δὲ Λητοῦς υἱός, ἀνερχόμενος Λυκίηθεν
to-them and of-Leto son coming-back from-Lycia
τῆλ' ἐπ' ἀπείρονα δῆμον Ὑπερβορέων ἀνθρώπων,
far to boundless people of-Hyperborean men
ἐξεφάνη· χρύσεοι δὲ παρειάων ἑκάτερθεν
appeared golden and of-cheeks on-either-side
πλοχμοὶ βοτρυόεντες ἐπερρώοντο κιόντι·
locks clustering were-swaying as-he-went
λαιῇ δ' ἀργύρεον νώμα βιόν, ἀμφὶ δὲ νώτοις
in-left and silver he-wielded bow around and back
ἰοδόκη τετάνυστο κατωμαδόν· ἡ δ' ὑπὸ ποσσὶν
quiver was-slung from-shoulder it and under feet
σείετο νῆσος ὅλη, κλύζεν δ' ἐπὶ κύματα χέρσῳ.
quaked island whole washed and on waves land
τοὺς δ' ἕλε θάμβος ἰδόντας ἀμήχανον· οὐδέ τις ἔτλη
them and seized wonder seeing helpless nor any dared
ἀντίον αὐγάσσασθαι ἐς ὄμματα καλὰ θεοῖο.
opposite to-look into eyes beautiful of-the-god
στὰν δὲ κάτω νεύσαντες ἐπὶ χθονός· αὐτὰρ ὁ τηλοῦ
they-stood and down bowing on ground but he far
βῆ ῥ' ἴμεναι πόντονδε δι' ἠέρος· ὀψὲ δὲ τοῖον
went then to-go to-the-sea through air late and such
Ὀρφεὺς ἔκφατο μῦθον ἀριστήεσσι πιφαύσκων·
Orpheus spoke word to-the-chieftains declaring

"Εἰ δ' ἄγε δὴ νῆσον μὲν Ἑωίου Ἀπόλλωνος
If and come indeed island indeed of-Dawn of-Apollo
τήνδ' ἱερὴν κλείωμεν, ἐπεὶ πάντεσσι φαάνθη
this holy let-us-call since to-all he-appeared
ἠῷος μετιών· τὰ δὲ ῥέξομεν οἷα πάρεστιν,
at-dawn passing these and let-us-offer such-as are-at-hand
βωμὸν ἀναστήσαντες ἐπάκτιον· εἰ δ' ἂν ὀπίσσω
altar having-set-up on-the-shore if and — hereafter
γαῖαν ἐς Αἱμονίην ἀσκηθέα νόστον ὀπάσσῃ,
land to Haemonian unharmed return he-grant
δὴ τότε οἱ κεραῶν ἐπὶ μηρία θήσομεν αἰγῶν.
indeed then to-him of-horned on thighs we-will-place of-goats
νῦν δ' αὔτως κνίσῃ λοιβῇσί τε μειλίξασθαι
now and just-so with-savor with-libations and to-appease
κέκλομαι. ἀλλ' ἵληθι ἄναξ, ἵληθι φαανθείς."
I-bid but be-gracious lord be-gracious having-appeared
Ὣς ἄρ' ἔφη· καὶ τοὶ μὲν ἄφαρ βωμὸν τετύκοντο
So then he-spoke and they indeed at-once altar made
χερμάσιν· οἱ δ' ἀνὰ νῆσον ἐδίνεον, ἐξερέοντες
with-stones they and through island went searching
εἴ κέ τιν' ἢ κεμάδων, ἢ ἀγροτέρων ἐσίδοιεν
if — some either of-fawns or of-wild they-might-see
αἰγῶν, οἷά τε πολλὰ βαθείῃ βόσκεται ὕλῃ.
of-goats such-as — many in-deep feed wood
τοῖσι δὲ Λητοΐδης ἄγρην πόρεν· ἐκ δέ νυ πάντων
to-them and son-of-Leto game provided from and now of-all
εὐαγέως ἱερῷ ἀνὰ διπλόα μηρία βωμῷ
duly holy upon double thighs altar
καῖον, ἐπικλείοντες Ἑώιον Ἀπόλλωνα.
they-burned calling-on of-Dawn Apollo

ἀμφὶ δὲ δαιομένοις εὐρὺν χορὸν ἐστήσαντο,
around and the-burning broad dance set-up
καλὸν Ἰηπαιήον' Ἰηπαιήονα Φοῖβον
fair Ie-Paean Ie-Paean Phoebus
μελπόμενοι· σὺν δέ σφιν ἐὺς πάις Οἰάγροιο
singing with and them noble son of-Oeagrus
Βιστονίῃ φόρμιγγι λιγείης ἦρχεν ἀοιδῆς·
on-Bistonian lyre of-clear began song
ὥς ποτε πετραίῃ ὑπὸ δειράδι Παρνησσοῖο
how once rocky under ridge of-Parnassus
Δελφύνην τόξοισι πελώριον ἐξενάριξεν,
Delphyne with-arrows monstrous he-slew
κοῦρος ἐὼν ἔτι γυμνός, ἔτι πλοκάμοισι γεγηθώς.
a-boy being still naked still in-locks rejoicing
ἱλήκοις· αἰεί τοι, ἄναξ, ἄτμητοι ἔθειραι,
may-you-be-gracious ever your lord unshorn hair
αἰὲν ἀδήλητοι· τὼς γὰρ θέμις. οἰόθι δ' αὐτὴ
ever unharmed thus for right alone and herself
Λητὼ Κοιογένεια φίλαις ἐν χερσὶν ἀφάσσει.
Leto daughter-of-Coeus dear in hands strokes
πολλὰ δὲ Κωρύκιαι νύμφαι, Πλείστοιο θύγατρες,
much and Corycian nymphs of-Pleistus daughters
θαρσύνεσκον ἔπεσσιν, Ἰήιε κεκληγυῖαι·
encouraged with-words Ie crying-out
ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο Φοίβῳ.
thence indeed this fair refrain came-to-be for-Phoebus

Αὐτὰρ ἐπειδὴ τόνγε χορείῃ μέλψαν ἀοιδῇ,
But when him in-dance they-had-hymned with-song
λοιβαῖς εὐαγέεσσιν ἐπώμοσαν, ἦ μὲν ἀρήξειν
with-libations holy they-swore truly indeed to-help
ἀλλήλοις εἰσαιὲν ὁμοφροσύνῃσι νόοιο,
one-another forever in-concord of-mind
ἁπτόμενοι θυέων· καί τ' εἰσέτι νῦν γε τέτυκται
touching the-sacrifices and — still now indeed is-built
κεῖσ' Ὁμονοίης ἱρὸν ἐύφρονος, ὅ ῥ' ἐκάμοντο
there of-Concord a-shrine kindly which then they-built
αὐτοὶ κυδίστην τότε δαίμονα πορσαίνοντες.
themselves most-glorious then the-deity honoring

II.6 · LYCUS AND THE DEATHS OF IDMON AND TIPHYS

The heroes reach the land of the Mariandyni, where King Lycus welcomes them as the slayers of Amycus, tells how Heracles once won lands for his father Dascylus, and sends his son Dascylus with them. A boar wounds Idmon in the thigh and he dies, and soon after Tiphys falls sick and dies. The heroes despair of their voyage, until Hera rouses Ancaeus to take the helm and Peleus encourages them.

Ἦμος δὲ τρίτατον φάος ἤλυθε, δὴ τότ' ἔπειτα
When and third light came indeed then then
ἀκραεῖ ζεφύρῳ νῆσον λίπον αἰπήεσσαν.
with-fresh with-west-wind island they-left steep
ἔνθεν δ' ἀντιπέρην ποταμοῦ στόμα Σαγγαρίοιο
thence and opposite of-river mouth of-Sangarius
καὶ Μαριανδυνῶν ἀνδρῶν ἐριθηλέα γαῖαν
and of-Mariandynian of-men very-fertile land
ἠδὲ Λύκοιο ῥέεθρα καὶ Ἀνθεμοεισίδα λίμνην
and of-Lycus streams and Anthemoeisian lake

δερκόμενοι παράμειβον· ὑπὸ πνοιῇ δὲ κάλωες
seeing they-passed under breeze and ropes
ὅπλα τε νήια πάντα τινάσσετο νισσομένοισιν.
gear and ship's all shook as-they-went
ἠῶθεν δ' ἀνέμοιο διὰ κνέφας εὐνηθέντος
at-dawn and the-wind through night having-been-lulled
ἀσπασίως ἄκρης Ἀχερουσίδος ὅρμον ἵκοντο.
gladly of-headland Acherusian harbor they-reached
ἡ μέν τε κρημνοῖσιν ἀνίσχεται ἠλιβάτοισιν,
it indeed — with-cliffs rises sheer
εἰς ἅλα δερκομένη Βιθυνίδα· τῇ δ' ὑπὸ πέτραι
to sea looking Bithynian it and under rocks
λισσάδες ἐρρίζωνται ἁλίβροχοι· ἀμφὶ δὲ τῇσιν
smooth are-rooted sea-washed about and them
κῦμα κυλινδόμενον μεγάλα βρέμει· αὐτὰρ ὕπερθεν
wave rolling greatly roars but above
ἀμφιλαφεῖς πλατάνιστοι ἐπ' ἀκροτάτῃ πεφύασιν.
spreading plane-trees on topmost grow
ἐκ δ' αὐτῆς εἴσω κατακέκλιται ἤπειρόνδε
from and it inward slopes toward-the-mainland
κοίλη ὕπαιθα νάπη, ἵνα τε σπέος ἔστ' Ἀΐδαο
hollow below glen where — cave is of-Hades
ὕλῃ καὶ πέτρῃσιν ἐπηρεφές, ἔνθεν ἀυτμὴ
with-wood and with-rocks roofed thence breath
πηγυλίς, ὀκρυόεντος ἀναπνείουσα μυχοῖο
icy from-chilly breathing-up from-the-recess
συνεχές, ἀργινόεσσαν ἀεὶ περιτέτροφε πάχνην,
continuously glistening ever forms-around rime
ἥ τε μεσημβριόωντος ἰαίνεται ἠελίοιο.
which — of-noonday melts of-the-sun

σιγὴ δ' οὔποτε τήνγε κατὰ βλοσυρὴν ἔχει ἄκρην,
silence and never it on grim holds headland
ἀλλ' ἅμυδις πόντοιό θ' ὑπὸ στένει ἠχήεντος,
but together of-sea and under it-groans of-echoing
φύλλων τε πνοιῇσι τινασσομένων μυχίῃσιν.
of-leaves and by-breezes shaken from-the-recess
ἔνθα δὲ καὶ προχοαὶ ποταμοῦ Ἀχέροντος ἔασιν,
there and also mouths of-river Acheron are
ὅς τε διὲξ ἄκρης ἀνερεύγεται εἰς ἅλα βάλλων
which — through headland belches into sea throwing
ἠῴην· κοίλη δὲ φάραγξ κατάγει μιν ἄνωθεν.
eastern hollow and ravine brings it from-above
τὸν μὲν ἐν ὀψιγόνοισι Σοωναύτην ὀνόμηναν
it indeed among later-born Soonautes named
Νισαῖοι Μεγαρῆες, ὅτε νάσσεσθαι ἔμελλον
Nisaean Megarians when to-settle they-were-to
γῆν Μαριανδυνῶν. δὴ γάρ σφεας ἐξεσάωσεν
land of-Mariandyni indeed for them it-saved
αὐτῇσιν νήεσσι, κακῇ χρίμψαντας ἀέλλῃ.
with-very ships by-evil having-been-caught storm
τῇ ῥ' οἵγ' αὐτίκα νηὶ διὲξ Ἀχερουσίδος ἄκρης
there then they at-once in-ship through Acherusian headland
εἰσωποὶ ἀνέμοιο νέον λήγοντος ἔκελσαν.
in-view of-wind newly ceasing put-in

Οὐδ' ἄρα δηθὰ Λύκον, κείνης πρόμον ἠπείροιο,
Nor then long Lycus of-that ruler of-mainland
καὶ Μαριανδυνοὺς λάθον ἀνέρας ὁρμηθέντες
and Mariandyni escaped men having-set-out
αὐθένται Ἀμύκοιο κατὰ κλέος, ὃ πρὶν ἄκουον·
slayers of-Amycus according-to report which before they-heard

ἀλλὰ καὶ ἀρθμὸν ἔθεντο μετὰ σφίσι τοῖο ἕκητι.
but also friendship made with them of-this for-the-sake
αὐτὸν δ᾽ ὥστε θεὸν Πολυδεύκεα δεξιόωντο
himself and like god Polydeuces they-welcomed
πάντοθεν ἀγρόμενοι· ἐπεὶ ἦ μάλα τοίγ᾽ ἐπὶ δηρὸν
from-all-sides gathering since truly very they for long
ἀντιβίην Βέβρυξιν ὑπερφιάλοις πολέμιζον.
in-open-fight with-Bebrycians overweening warred
καὶ δὴ πασσυδίῃ μεγάρων ἔντοσθε Λύκοιο
and indeed in-a-body of-halls within of-Lycus
κεῖν᾽ ἦμαρ φιλότητι, μετὰ πτολίεθρον ἰόντες,
that day in-friendship to city going
δαίτην ἀμφίεπον, τέρποντό τε θυμὸν ἔπεσσιν.
feast tended delighted and heart with-words
Αἰσονίδης μέν οἱ γενεὴν καὶ οὔνομ᾽ ἑκάστου
son-of-Aeson indeed to-him lineage and name of-each
σφωιτέρων μυθεῖθ᾽ ἑτάρων, Πελίαό τ᾽ ἐφετμάς,
of-their-own told of-comrades of-Pelias and the-commands
ἠδ᾽ ὡς Λημνιάδεσσιν ἐπεξεινοῦντο γυναιξίν,
and how by-Lemnian were-entertained women
ὅσσα τε Κύζικον ἀμφὶ Δολιονίην ἐτέλεσσαν·
how-many-things — Cyzicus around Dolionian they-did
Μυσίδα δ᾽ ὡς ἀφίκοντο Κίον θ᾽, ὅθι κάλλιπον ἥρω
Mysia and how they-reached Cius and where they-left the-hero
Ἡρακλέην ἀέκοντι νόῳ, Γλαύκοιό τε βάξιν
Heracles unwilling with-mind of-Glaucus and the-report
πέφραδε, καὶ Βέβρυκας ὅπως Ἄμυκόν τ᾽ ἐδάιξαν,
told and Bebrycians how Amycus and they-slew
καὶ Φινῆος ἔειπε θεοπροπίας τε δύην τε,
and of-Phineus told the-prophecies both woe and

ἠδ' ὡς Κυανέας πέτρας φύγον, ὥς τ' ἀβόλησαν
and how Cyanean rocks they-escaped how and they-met
Λητοΐδῃ κατὰ νῆσον. ὁ δ' ἑξείης ἐνέποντος
son-of-Leto at island he and in-order telling
θέλγετ' ἀκουῇ θυμόν· ἄχος δ' ἕλεν Ἡρακλῆι
was-charmed by-hearing heart grief and seized for-Heracles
λειπομένῳ, καὶ τοῖον ἔπος πάντεσσι μετηύδα·
left-behind and such word to-all spoke
"Ὦ φίλοι, οἵου φωτὸς ἀποπλαγχθέντες ἀρωγῆς
O friends of-what-a man having-strayed from-the-help
πείρετ' ἐς Αἰήτην τόσσον πλόον. εὖ γὰρ ἐγώ μιν
you-pass to Aeetes so-great voyage well for I him
Δασκύλου ἐν μεγάροισι καταυτόθι πατρὸς ἐμοῖο
of-Dascylus in halls there of-father my
οἶδ' ἐσιδών, ὅτε δεῦρο δι' Ἀσίδος ἠπείροιο
know having-seen when hither through of-Asia mainland
πεζὸς ἔβη ζωστῆρα φιλοπτολέμοιο κομίζων
on-foot he-came belt of-the-war-loving bringing
Ἱππολύτης· ἐμὲ δ' εὗρε νέον χνοάοντα ἰούλους.
of-Hippolyte me and he-found newly downy first-beards
ἔνθα δ' ἐπὶ Πριόλαο κασιγνήτοιο θανόντος
there and at of-Priolas brother dead
ἡμετέρου Μυσοῖσιν ὑπ' ἀνδράσιν, ὅντινα λαὸς
our Mysians by men whom the-people
οἰκτίστοις ἐλέγοισιν ὀδύρεται ἐξέτι κείνου,
with-most-piteous with-laments mourns since that

ἀθλεύων Τιτίην ἀπεκαίνυτο πυγμαχέοντα
contending Titias he-overcame boxing
καρτερόν, ὃς πάντεσσι μετέπρεπεν ἠιθέοισιν
strong who among-all was-conspicuous young-men
εἶδός τ᾽ ἠδὲ βίην· χαμάδις δέ οἱ ἤλασ᾽ ὀδόντας.
in-form both and strength to-the-ground and his drove teeth
αὐτὰρ ὁμοῦ Μυσοῖσιν ἐμῷ ὑπὸ πατρὶ δάμασσεν
but together with-Mysians my under father he-subdued
καὶ Φρύγας, οἳ ναίουσιν ὁμώλακας ἡμιν ἀρούρας,
also Phrygians who dwell neighboring to-us fields
φῦλά τε Βιθυνῶν αὐτῇ κτεατίσσατο γαίῃ,
tribes and of-Bithynians with-the-very won land
ἔστ᾽ ἐπὶ Ῥηβαίου προχοὰς σκόπελόν τε Κολώνης·
as-far-as to of-Rhebas mouths rock and of-Colone
Παφλαγόνες τ᾽ ἐπὶ τοῖς Πελοπήιοι εἴκαθον αὖτως,
Paphlagonians and next-to them Pelopian yielded just-so
ὅσσους Βιλλαίοιο μέλαν περιάγνυται ὕδωρ.
as-many-as of-Billaeus black breaks-around water
ἀλλά με νῦν Βέβρυκες ὑπερβασίη τ᾽ Ἀμύκοιο
but me now Bebrycians insolence and of-Amycus
τηλόθι ναιετάοντος, ἐνόσφισαν, Ἡρακλῆος,
far-off dwelling robbed Heracles
δὴν ἀποτεμνόμενοι γαίης ἅλις, ὄφρ᾽ ἐβάλοντο
long cutting-off of-land much until they-set
οὖρα βαθυρρείοντος ὑφ᾽ εἰαμεναῖς Ὑπίοιο.
bounds of-deep-flowing by marshy of-Hypius
ἔμπης δ᾽ ἐξ ὑμέων ἔδοσαν τίσιν· οὐδέ ἑ φημι
nevertheless and from you they-gave penalty nor him I-say
ἤματι τῷδ᾽ ἀέκητι θεῶν ἐπελάσσαι ἄρηα,
on-day this against-the-will of-gods to-have-brought war

Τυνδαρίδην Βέβρυξιν, ὅτ᾽ ἀνέρα κεῖνον ἔπεφνεν.
son-of-Tyndareus on-Bebrycians when man that he-slew
τῶ νῦν ἥντιν᾽ ἐγὼ τῖσαι χάριν ἄρκιός εἰμι,
therefore now whatever I to-pay thanks able am
τίσω προφρονέως. ἡ γὰρ θέμις ἠπεδανοῖσιν
I-will-pay gladly this for right for-weaker
ἀνδράσιν, εὖτ᾽ ἄρξωσιν ἀρείονες ἄλλοι ὀφέλλειν.
men when begin better others to-help
ξυνῇ μὲν πάντεσσιν ὁμόστολον ὔμμιν ἕπεσθαι
in-common indeed for-all fellow-voyager with-you to-follow
Δάσκυλον ὀτρυνέω, ἐμὸν υἱέα· τοῖο δ᾽ ἰόντος,
Dascylus I-will-urge my son him and going
ἦ τ᾽ ἂν ἐυξείνοισι διὲξ ἁλὸς ἀντιάοιτε
truly — — kindly through sea you-would-meet
ἀνδράσιν, ὄφρ᾽ αὐτοῖο ποτὶ στόμα Θερμώδοντος.
men until of-the-very toward mouth of-Thermodon
νόσφι δὲ Τυνδαρίδαις Ἀχερουσίδος ὑψόθεν ἄκρης
apart and for-sons-of-Tyndareus Acherusian on-high headland
εἴσομαι ἱερὸν αἰπύ· τὸ μὲν μάλα τηλόθι πάντες
I-will-build shrine lofty it indeed very far-off all
ναυτίλοι ἂμ πέλαγος θηεύμενοι ἱλάξονται·
sailors over sea beholding will-propitiate
καί κέ σφιν μετέπειτα πρὸ ἄστεος, οἷα θεοῖσιν,
and — for-them afterward before town as for-gods
πίονας εὐαρότοιο γύας πεδίοιο τα μοίμην.”
rich of-well-plowed fields of-plain I-would-cut-off

῾Ως τότε μὲν δαῖτ᾽ ἀμφὶ πανήμεροι ἐψιόωντο.
So then indeed feast about all-day they-amused-themselves
ἠρί γε μὴν ἐπὶ νῆα κατήισαν ἐγκονέοντες·
at-dawn indeed truly to ship they-went-down hastening

καὶ δ᾽ αὐτὸς σὺν τοῖσι Λύκος κίε, μυρί᾽ ὀπάσσας
and and himself with them Lycus went countless having-given
δῶρα φέρειν· ἅμα δ᾽ υἷα δόμων ἔκπεμπε νέεσθαι.
gifts to-carry together and son from-house sent to-go
Ἔνθα δ᾽ Ἀβαντιάδην πεπρωμένη ἤλασε μοῖρα
There and son-of-Abas fated drove doom
Ἴδμονα, μαντοσύνῃσι κεκασμένον· ἀλλά μιν οὔτι
Idmon in-prophecies excelling but him not-at-all
μαντοσύναι ἐσάωσαν, ἐπεὶ χρεὼ ἦγε δαμῆναι·
prophecies saved since necessity led to-be-subdued
κεῖτο γὰρ εἰαμενῇ δονακώδεος ἐν ποταμοῖο
lay for meadow of-reedy in of-river
ψυχόμενος λαγόνας τε καὶ ἄσπετον ἰλύι νηδὺν
cooling flanks both and huge with-mud belly
κάπριος ἀργιόδων, ὀλοὸν τέρας, ὅν ῥα καὶ αὐταὶ
a-boar white-tusked baneful monster which then even themselves
νύμφαι ἑλειονόμοι ὑπεδείδισαν· οὐδέ τις ἀνδρῶν
nymphs marsh-dwelling feared nor any of-men
ἠείδει· οἷος δὲ κατὰ πλατὺ βόσκετο τῖφος.
knew alone and through broad fed marsh
αὐτὰρ ὅγ᾽ ἰλυόεντος ἀνὰ θρωσμοὺς ποταμοῖο
but he of-muddy along banks of-river
νίσσετ᾽ Ἀβαντιάδης· ὁ δ᾽ ἄρ᾽ ἔκποθεν ἀφράστοιο
went son-of-Abas it and then from-somewhere unseen
ὕψι μάλ᾽ ἐκ δονάκων ἀνεπάλμενος ἤλασε μηρὸν
high very from reeds having-leapt-up struck thigh
ἀίγδην, μέσσας δὲ σὺν ὀστέῳ ἶνας ἔκερσεν.
rushing middle and with bone sinews cut

ὀξὺ δ' ὅγε κλάγξας οὔδει πέσεν· οἱ δὲ τυπέντος
sharply and he having-shrieked on-ground fell they and the-stricken
ἀθρόοι ἀντιάχησαν. ὀρέξατο δ' αἶψ' ὀλοοῖο
together cried-out reached-out and quickly at-baneful
Πηλεὺς αἰγανέῃ φύγαδ' εἰς ἕλος ὁρμηθέντος
Peleus with-hunting-spear in-flight into marsh having-rushed
καπρίου· ἔσσυτο δ' αὖτις ἐναντίος· ἀλλά μιν Ἴδας
boar it-rushed and again opposite but it Idas
οὔτασε, βεβρυχὼς δὲ θοῷ περικάππεσε δουρί.
wounded roaring and on-swift fell-about spear
καὶ τὸν μὲν χαμάδις λίπον αὐτόθι πεπτηῶτα·
and it indeed on-the-ground they-left there fallen
τὸν δ' ἕταροι ἐπὶ νῆα φέρον ψυχορραγέοντα,
him and comrades to ship carried breathing-his-last
ἀχνύμενοι, χείρεσσι δ' ἑῶν ἐνικάτθαν' ἑταίρων.
grieving in-hands and of-his-own he-died of-comrades
Ἔνθα δὲ ναυτιλίης μὲν ἐρητύοντο μέλεσθαι,
There and of-voyage indeed they-were-held-back to-take-thought
ἀμφὶ δὲ κηδείῃ νέκυος μένον ἀσχαλόωντες.
around and burial of-corpse they-remained distressed
ἤματα δὲ τρία πάντα γόων· ἑτέρῳ δέ μιν ἤδη
days and three all they-lamented on-the-fourth and him now
τάρχυον μεγαλωστί· συνεκτερέιζε δὲ λαὸς
buried magnificently joined-in-burial and the-people
αὐτῷ ὁμοῦ βασιλῆι Λύκῳ· παρὰ δ' ἄσπετα μῆλα,
with-himself together king Lycus beside and countless sheep
ἣ θέμις οἰχομένοισι, ταφήια λαιμοτόμησαν.
as right for-the-departed funeral-offerings they-slaughtered

καὶ δή τοι κέχυται τοῦδ' ἀνέρος ἐν χθονὶ κείνῃ
and indeed you-know is-heaped of-this man in land that
τύμβος· σῆμα δ' ἔπεστι καὶ ὀψιγόνοισιν ἰδέσθαι,
mound sign and is-on even for-later-born to-see
νηίου ἐκ κοτίνοιο φάλαγξ· θαλέθει δέ τε φύλλοις
ship's of wild-olive roller flourishes and — with-leaves
ἄκρης τυτθὸν ἔνερθ' Ἀχερουσίδος. εἰ δέ με καὶ τὸ
headland a-little below Acherusian if and me also this
χρειὼ ἀπηλεγέως Μουσέων ὕπο γηρύσασθαι, 845
needful freely of-Muses by to-declare
τόνδε πολισσοῦχον διεπέφραδε Βοιωτοῖσιν
this guardian-of-the-city declared to-Boeotians
Νισαίοισί τε Φοῖβος ἐπιρρήδην ἱλάεσθαι,
to-Nisaeans and Phoebus expressly to-propitiate
ἀμφὶ δὲ τήνγε φάλαγγα παλαιγενέος κοτίνοιο
around and it roller of-ancient of-wild-olive
ἄστυ βαλεῖν· οἱ δ' ἀντὶ θεουδέος Αἰολίδαο
city to-found they and instead-of god-fearing of-the-son-of-Aeolus
Ἴδμονος εἰσέτι νῦν Ἀγαμήστορα κυδαίνουσιν. 850
Idmon still now Agamestor honor

Τίς γὰρ δὴ θάνεν ἄλλος; ἐπεὶ καὶ ἔτ' αὖτις ἔχευαν
Who for indeed died other since also still again heaped
ἥρωες τότε τύμβον ἀποφθιμένου ἑτάροιο.
heroes then a-mound of-dead of-comrade
δοιὰ γὰρ οὖν κείνων ἔτι σήματα φαίνεται ἀνδρῶν.
two for then of-those still memorials appear of-men

Ἀγνιάδην Τῖφυν θανέειν φάτις· οὐδέ οἱ ἦεν
son-of-Hagnias Tiphys to-have-died is-the-report nor for-him was
μοῖρ᾽ ἔτι ναυτίλλεσθαι ἑκαστέρω. ἀλλά νυ καὶ τὸν
fate longer to-sail further but now also him
αὖθι μινυνθαδίη πάτρης ἑκὰς εὖνασε νοῦσος,
there short of-fatherland far laid-to-rest sickness
εἰσότ᾽ Ἀβαντιάδαο νέκυν κτερέιξεν ὅμιλος.
while of-the-son-of-Abas corpse buried the-throng
ἄτλητον δ᾽ ὀλοῷ ἐπὶ πήματι κῆδος ἔλοντο.
unbearable and baneful on woe grief they-took
δὴ γὰρ ἐπεὶ καὶ τόνδε παρασχεδὸν ἐκτερέιξαν
indeed for when also him at-once they-buried
αὐτοῦ, ἀμηχανίῃσιν ἁλὸς προπάροιθε πεσόντες,
there in-helplessness of-sea in-front falling
ἐντυπὰς εὐκήλως εἰλυμένοι οὔτε τι σίτου
wrapped-up quietly huddled nor any of-food
μνώοντ᾽ οὔτε ποτοῖο· κατήμυσαν δ᾽ ἀχέεσσιν
took-thought nor of-drink they-bowed and with-griefs
θυμόν, ἐπεὶ μάλα πολλὸν ἀπ᾽ ἐλπίδος ἔπλετο νόστος.
heart since very far from hope was return
καί νύ κ᾽ ἔτι προτέρω τετιημένοι ἰσχανόωντο,
and now — still further grieving they-would-have-stayed
εἰ μὴ ἄρ᾽ Ἀγκαίῳ περιώσιον ἔμβαλεν Ἥρη
if not then into-Ancaeus exceeding cast Hera
θάρσος, ὃν Ἰμβρασίοισι παρ᾽ ὕδασιν Ἀστυπάλαια
boldness whom Imbrasian by waters Astypalaea
τίκτε Ποσειδάωνι· περιπρὸ γὰρ εὖ ἐκέκαστο
bore to-Poseidon beyond for well he-excelled
ἰθύνειν, Πηλῆα δ᾽ ἐπεσσύμενος προσέειπεν·
to-steer Peleus and rushing-up addressed

"Αἰακίδη, πῶς καλὸν ἀφειδήσαντας ἀέθλων
Son-of-Aeacus how fair having-neglected the-labors
γαίῃ ἐν ἀλλοδαπῇ δὴν ἔμμεναι; οὐ μὲν ἄρηος
land in foreign long to-be not indeed of-war
ἴδριν ἐόντά με τόσσον ἄγει μετὰ κῶας Ἰήσων
skilled being me so-much leads after fleece Jason
Παρθενίης ἀπάνευθεν, ὅσον τ' ἐπιίστορα νηῶν.
from-Parthenia far as-much-as — knowing of-ships
τῶ μή μοι τυτθόν γε δέος περὶ νηὶ πελέσθω.
therefore not to-me little indeed fear about ship let-be
ὣς δὲ καὶ ὧλλοι δεῦρο δαήμονες ἄνδρες ἔασιν,
so and also others here skilled men are
τῶν ὅτινα πρύμνης ἐπιβήσομεν, οὔτις ἰάψει
of-whom whomever on-stern we-set none will-harm
ναυτιλίην. ἀλλ' ὦκα, παραιφάμενος τάδε πάντα,
voyage but quickly exhorting these-things all
θαρσαλέως ὀρόθυνον ἐπιμνήσασθαι ἀέθλου."
boldly urge to-remember the-contest
Ὣς φάτο· τοῖο δὲ θυμὸς ὀρέξατο γηθοσύνῃσιν.
So he-spoke his and heart reached with-joys
αὐτίκα δ' οὐ μετὰ δηρὸν ἐνὶ μέσσοις ἀγόρευσεν·
at-once and not after long in middle he-spoke
"Δαιμόνιοι, τί νυ πένθος ἐτώσιον ἴσχομεν αὖτως;
Strange-men why now grief vain do-we-hold just-so
οἱ μὲν γάρ ποθι τοῦτον, ὃν ἔλλαχον, οἷτον ὄλοντο·
they indeed for surely this which they-got fate perished
ἡμῖν δ' ἐν γὰρ ἔασι κυβερνητῆρες ὁμίλῳ,
for-us and in for are helmsmen throng

καὶ πολέες. τῶ μή τι διατριβώμεθα πείρης·
and many therefore not at-all let-us-delay of-the-attempt
ἀλλ' ἔγρεσθ' εἰς ἔργον, ἀπορρίψαντες ἀνίας."
but rise to work having-cast-off sorrows
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἀμηχανέων προσέειπεν·
Him and in-turn of-Aeson son helpless addressed
"Αἰακίδη, πῆ δ' οἵδε κυβερνητῆρες ἔασιν;
Son-of-Aeacus where and these helmsmen are
οὓς μὲν γὰρ τὸ πάροιθε δαήμονας εὐχόμεθ' εἶναι,
whom indeed for — before skilled we-boasted to-be
οἵδε κατηφήσαντες ἐμεῦ πλέον ἀσχαλόωσιν.
these downcast than-me more are-distressed
τῶ καὶ ὁμοῦ φθιμένοισι κακὴν προτιόσσομαι ἄτην,
therefore also together with-the-dead evil I-foresee ruin
εἰ δὴ μήτ' ὀλοοῖο μετὰ πτόλιν Αἰήταο
if indeed neither of-baneful to city of-Aeetes
ἔσσεται, ἠὲ καὶ αὖτις ἐς Ἑλλάδα γαῖαν ἱκέσθαι
it-will-be or also again to Hellas land to-come
πετράων ἔκτοσθε, καταυτόθι δ' ἄμμε καλύψει
the-rocks outside right-there and us will-cover
ἀκλειῶς κακὸς οἶτος, ἐτώσια γηράσκοντας."
ingloriously evil fate in-vain growing-old
Ὣς ἔφατ'· Ἀγκαῖος δὲ μάλ' ἐσσυμένως ὑπέδεκτο
So he-spoke Ancaeus and very eagerly undertook
νῆα θοὴν ἄξειν· δὴ γὰρ θεοῦ ἐτράπεθ' ὁρμῇ.
ship swift to-guide indeed for of-god he-was-turned by-the-impulse

τὸν δὲ μετ᾽ Ἐργῖνος καὶ Ναύπλιος Εὔφημός τε
him and after Erginus and Nauplius Euphemus and
ὤρνυντ᾽, ἰθύνειν λελιημένοι. ἀλλ᾽ ἄρα τούσγε
rose to-steer eager but then them
ἔσχεθον· Ἀγκαίῳ δὲ πολεῖς ᾔνησαν ἑταίρων.
they-held-back Ancaeus and many approved of-comrades

II.7 · THE COAST OF THE PONTUS

The heroes pass the tomb of Sthenelus, whose ghost Persephone sends to look on them, and they pour him libations. At Sinope the sons of Deimachus, Deileon, Autolycus, and Phlogius, join them. They pass the river Halys and put in at the Amazons' Thermodon, where only a wind from Zeus keeps them from battle, and then pass the Chalybes, workers of iron, the Tibareni, and the Mossynoeci with their strange customs.

Ἠῷοι δ᾽ἤπειτα δυωδεκάτῳ ἐπέβαινον
At-dawn then on-the-twelfth they-embarked
ἤματι· δὴ γάρ σφιν ζεφύρου μέγας οὖρος ἄητο.
day indeed for for-them of-west-wind great breeze blew
καρπαλίμως δ᾽ Ἀχέροντα διεξεπέρησαν ἐρετμοῖς,
swiftly and Acheron they-passed-through with-oars
ἐκ δ᾽ ἔχεαν πίσυνοι ἀνέμῳ λίνα, πουλὺ δ᾽ ἐπιπρὸ
out and they-shook trusting in-wind linen much and forward
λαιφέων πεπταμένων τέμνον πλόον εὐδιόωντες.
sails spread they-cut voyage in-fair-weather
ὦκα δὲ Καλλιχόροιο παρὰ προχοὰς ποταμοῖο
quickly and of-Callichorus by mouths of-river
ἦλυθον, ἔνθ᾽ ἐνέπουσι Διὸς Νυσήιον υἷα,
they-came where they-tell of-Zeus Nysean son

Ἰνδῶν ἡνίκα φῦλα λιπὼν κατενάσσατο Θήβας,
of-Indians when tribes having-left he-settled Thebes
ὀργιάσαι, στῆσαί τε χοροὺς ἄντροιο πάροιθεν,
to-hold-rites to-set-up and dances of-cave before
ᾧ ἐν ἀμειδήτους ἁγίας ηὐλίζετο νύκτας,
which in unsmiling holy he-spent nights
ἐξ οὗ Καλλίχορον ποταμὸν περιναιετάοντες
since which Callichorus river the-dwellers-around
ἠδὲ καὶ Αὐλίον ἄντρον ἐπωνυμίην καλέουσιν.
and also Aulion cave by-name call
Ἔνθεν δὲ Σθενέλου τάφον ἔδρακον Ἀκτορίδαο,
Thence and of-Sthenelus tomb they-saw of-the-son-of-Actor
ὅς ῥά τ' Ἀμαζονίδων πολυθαρσέος ἐκ πολέμοιο
who then — of-the-Amazons very-bold from war
ἂψ ἀνιὼν — δὴ γὰρ συνανήλυθεν Ἡρακλῆι —
back returning indeed for he-had-gone-with Heracles
βλήμενος ἰῷ κεῖθεν ἐπ' ἀγχιάλου θάνεν ἀκτῆς.
struck by-arrow there on sea-near died shore
οὐ μέν θην προτέρω ἔτ' ἐμέτρεον. ἧκε γὰρ αὐτὴ
not indeed surely further longer they-went sent for herself
Φερσεφόνη ψυχὴν πολυδάκρυον Ἀκτορίδαο
Persephone the-soul tearful of-the-son-of-Actor
λισσομένην τυτθόν περ ὁμήθεας ἄνδρας ἰδέσθαι.
begging a-little indeed like-minded men to-see
τύμβου δὲ στεφάνης ἐπιβὰς σκοπιάζετο νῆα
of-tomb and the-coping having-mounted watched the-ship
τοῖος ἐών, οἷος πόλεμόνδ' ἴεν· ἀμφὶ δὲ καλὴ
such being as to-war he-went about and fair
τετράφαλος φοίνικι λόφῳ ἐπελάμπετο πήληξ.
four-crested with-crimson with-crest shone helmet

καί ῥ᾽ ὁ μὲν αὖτις ἔδυνε μέγαν ζόφον· οἱ δ᾽ ἐσιδόντες
and then he indeed again entered great gloom they and seeing
θάμβησαν· τοὺς δ᾽ ὧρσε θεοπροπέων ἐπικέλσαι
marveled them and urged prophesying to-put-in
Ἀμπυκίδης Μόψος λοιβῇσί τε μειλίξασθαι.
son-of-Ampycus Mopsus with-libations and to-appease
οἱ δ᾽ ἀνὰ μὲν κραιπνῶς λαῖφος σπάσαν, ἐκ δὲ βαλόντες
they and up indeed swiftly sail drew out and having-thrown
πείσματ᾽ ἐν αἰγιαλῷ Σθενέλου τάφον ἀμφεπένοντο,
cables on beach of-Sthenelus tomb attended
χύτλα τέ οἱ χεύοντο, καὶ ἤγνισαν ἔντομα μήλων.
libations both to-him they-poured and sacrificed victims of-sheep
ἄνδιχα δ᾽ αὖ χύτλων νηοσσόῳ Ἀπόλλωνι
apart and in-turn from-the-libations to-ship-saving Apollo
βωμὸν δειμάμενοι μῆρ᾽ ἔφλεγον· ἂν δὲ καὶ Ὀρφεὺς
altar having-built thighs burned up and also Orpheus
θῆκε λύρην· ἐκ τοῦ δὲ Λύρη πέλει οὔνομα χώρῳ.
dedicated lyre from this and Lyre is name to-the-place
Αὐτίκα δ᾽ οἵγ᾽ ἀνέμοιο κατασπέρχοντος ἔβησαν
At-once and they the-wind blowing-hard embarked
νῆ᾽ ἔπι· κὰδ δ᾽ ἄρα λαῖφος ἐρυσσάμενοι τανύοντο
ship on down and then sail having-drawn they-stretched
ἐς πόδας ἀμφοτέρους· ἡ δ᾽ ἐς πέλαγος πεφόρητο
to sheets both she and to sea was-borne
ἐντενές, ἠύτε τίς τε δι᾽ ἠέρος ὑψόθι κίρκος
taut as some — through air on-high hawk
ταρσὸν ἐφεὶς πνοιῇ φέρεται ταχύς, οὐδὲ τινάσσει
wing having-given to-the-breeze is-borne swift nor shakes
ῥιπήν, εὐκήλοισιν ἐνευδιόων πτερύγεσσιν.
pinion with-calm floating-at-ease with-wings

καὶ δὴ Παρθενίοιο ῥοὰς ἁλιμυρήεντος,
and indeed of-Parthenius streams sea-flowing
πρηυτάτου ποταμοῦ, παρεμέτρεον, ᾧ ἔνι κούρη
of-gentlest of-river they-passed which in the-maiden
Λητωίς, ἄγρηθεν ὅτ᾽ οὐρανὸν εἰσαναβαίνῃ,
daughter-of-Leto from-the-hunt when heaven she-ascends
ὃν δέμας ἱμερτοῖσιν ἀναψύχει ὑδάτεσσιν.
her body with-lovely refreshes with-waters
νυκτί δ᾽ ἔπειτ᾽ ἄλληκτον ἐπιπροτέρωσε θέοντες
by-night and then unceasing forward running
Σήσαμον αἰπεινούς τε παρεξενέοντ᾽ Ἐρυθίνους,
Sesamus steep and passed Erythini
Κρωβίαλον, Κρώμναν τε καὶ ὑλήεντα Κύτωρον.
Crobialus Cromna both and wooded Cytorus
ἔνθεν δ᾽ αὖτε Κάραμβιν ἅμ᾽ ἠελίοιο βολῇσιν
thence and in-turn Carambis with of-the-sun the-rays
γνάμψαντες παρὰ πουλὺν ἔπειτ᾽ ἤλαυνον ἐρετμοῖς
having-rounded along long then they-drove with-oars
Αἰγιαλὸν πρόπαν ἦμαρ ὁμῶς καὶ ἐπ᾽ ἤματι νύκτα.
Aegialus all day alike and on day night
Αὐτίκα δ᾽ Ἀσσυρίης ἐπέβαν χθονός, ἔνθα Σινώπην,
At-once and of-Assyrian they-set-foot land where Sinope
θυγατέρ᾽ Ἀσωποῖο, καθίσσατο, καί οἱ ὄπασσεν
daughter of-Asopus settled and to-her granted
παρθενίην Ζεὺς αὐτός, ὑποσχεσίῃσι δολωθείς.
maidenhood Zeus himself by-promises beguiled
δὴ γὰρ ὁ μὲν φιλότητος ἐέλδετο· νεῦσε δ᾽ ὅγ᾽ αὐτῇ
indeed for he indeed of-love longed nodded and he to-her
δωσέμεναι, ὅ κεν ᾗσι μετὰ φρεσὶν ἰθύσειεν.
to-be-going-to-give what — her in mind she-should-set

ἡ δέ ἑ παρθενίην ᾐτήσατο κερδοσύνῃσιν.
she and him maidenhood asked by-cunning
ὣς δὲ καὶ Ἀπόλλωνα παρήπαφεν εὐνηθῆναι
so and also Apollo she-beguiled to-lie
ἱέμενον, ποταμόν τ' ἐπὶ τοῖς Ἅλυν· οὐδὲ μὲν ἀνδρῶν
eager river and after them Halys nor indeed of-men
τήνγε τις ἱμερτῇσιν ἐν ἀγκοίνῃσι δάμασσεν.
her any lovely in arms subdued
ἔνθα δὲ Τρικκαίοιο ἀγαυοῦ Δημάχοιο
there and of-Triccaean of-noble of-Deimachus
υἷες, Δηιλέων τε καὶ Αὐτόλυκος Φλογίος τε
sons Deileon both and Autolycus Phlogius and
τῆμος ἔθ', Ἡρακλῆος ἀποπλαγχθέντες, ἔναιον·
then still from-Heracles having-strayed dwelt
οἵ ῥα τόθ', ὡς ἐνόησαν ἀριστήων στόλον ἀνδρῶν,
who then then when they-perceived of-chiefs band of-men
σφᾶς αὐτοὺς νημερτὲς ἐπέφραδον ἀντιάσαντες·
them- -selves truly told meeting
οὐδ' ἔτι μιμνάζειν θέλον ἔμπεδον, ἀλλ' ἐνὶ νηί,
nor longer to-remain wished steadfastly but in ship
Ἀργέσταο παρᾶσσον ἐπιπνείοντος, ἔβησαν.
of-the-Northwester close-by blowing they-embarked
τοῖσι δ' ὁμοῦ μετέπειτα θοῇ πεφορημένοι αὔρῃ
with-them and together afterward with-swift borne breeze
λεῖπον Ἅλυν ποταμόν, λεῖπον δ' ἀγχίρροον Ἶριν,
they-left Halys river they-left and near-flowing Iris
ἠδὲ καὶ Ἀσσυρίης πρόχυσιν χθονός· ἤματι δ' αὐτῷ
and also of-Assyrian alluvium of-land on-day and same
γνάμψαν Ἀμαζονίδων ἔκαθεν λιμενήοχον ἄκρην.
rounded of-Amazons from-afar harbor-holding headland

Ἔνθα ποτὲ προμολοῦσαν Ἀρηϊάδα Μελανίππην
There once having-come-forth Ares'-daughter Melanippe
ἥρως Ἡρακλέης ἐλοχήσατο, καί οἱ ἄποινα
hero Heracles ambushed and to-him ransom
Ἱππολύτη ζωστῆρα παναίολον ἐγγυάλιξεν
Hippolyte belt all-glittering gave
ἀμφὶ κασιγνήτης· ὁ δ' ἀπήμονα πέμψεν ὀπίσσω.
for sister he and unharmed sent back
τῆς οἵγ' ἐν κόλπῳ, προχοαῖς ἔπι Θερμώδοντος,
of-it they in bay the-mouths at of-Thermodon
κέλσαν, ἐπεὶ καὶ πόντος ὀρίνετο νισσομένοισιν.
put-in since also sea was-roused for-the-going-ones
τῷ δ' οὔτις ποταμῶν ἐναλίγκιος, οὐδὲ ῥέεθρα
to-it and no of-rivers like nor streams
τόσσ' ἐπὶ γαῖαν ἵησι παρὲξ ἔθεν ἄνδιχα βάλλων.
so-many on land sends apart-from itself apart casting
τετράκις εἰς ἑκατὸν δεύοιτό κεν, εἴ τις ἕκαστα
four-times to hundred would-lack — if any each
πεμπάζοι· μία δ' οἵη ἐτήτυμος ἔπλετο πηγή.
should-count one and only true was spring
ἡ μέν τ' ἐξ ὀρέων κατανίσσεται ἤπειρόνδε
it indeed — from mountains comes-down to-the-mainland
ὑψηλῶν, ἅ τέ φασιν Ἀμαζόνια κλείεσθαι.
high which — they-say Amazonian are-called
ἔνθεν δ' αἰπυτέρην ἐπικίδναται ἔνδοθι γαῖαν
thence and steeper spreads within land
ἀντικρύ· τῷ καί οἱ ἐπίστροφοί εἰσι κέλευθοι·
straight therefore and to-it winding are paths

αἰεὶ δ᾽ ἄλλυδις ἄλλη, ὅπῃ κύρσειε μάλιστα
ever and hither another-way where it-may-meet most
ἠπείρου χθαμαλῆς, εἱλίσσεται· ἡ μὲν ἄπωθεν,
of-mainland low rolls the-one indeed far
ἡ δὲ πέλας· πολέες δὲ πόροι νώνυμνοι ἔασιν,
the-other and near many and channels nameless are
ὅππῃ ὑπεξαφύονται· ὁ δ᾽ ἀμφαδὸν ἄμμιγα παύροις
where they-are-drained-off it and openly mingled with-few
Πόντον ἐς Ἄξεινον κυρτὴν ὑπερεύγεται ἄκρην.
Pontus into Inhospitable arched belches-out headland
καί νύ κε δηθύνοντες Ἀμαζονίδεσσιν ἔμιξαν
and now — tarrying with-Amazons they-would-have-joined
ὑσμίνην, καὶ δ᾽ οὔ κεν ἀναιμωτί γ᾽ ἐρίδηναν —
battle and and not — bloodlessly indeed they-would-have-contended
οὐ γὰρ Ἀμαζονίδες μάλ᾽ ἐπήτιδες, οὐδὲ θέμιστας
not for Amazons very gentle nor ordinances
τίουσαι πεδίον Δοιάντιον ἀμφενέμοντο·
honoring plain Doeantian inhabited
ἀλλ᾽ ὕβρις στονόεσσα καὶ Ἄρεος ἔργα μεμήλει·
but insolence grievous and of-Ares works were-a-care
δὴ γὰρ καὶ γενεὴν ἔσαν Ἄρεος Ἁρμονίης τε
indeed for also by-race they-were of-Ares of-Harmonia and
νύμφης, ἥ τ᾽ Ἄρηϊ φιλοπτολέμους τέκε κούρας,
of-nymph who — to-Ares war-loving bore daughters
ἄλσεος Ἀκμονίοιο κατὰ πτύχας εὐνηθεῖσα —
of-grove Acmonian in glens having-lain
εἰ μὴ ἄρ᾽ ἐκ Διόθεν πνοιαὶ πάλιν Ἀργέσταο
if not then from Zeus breezes again of-the-Northwester
ἦλυθον· οἱ δ᾽ ἀνέμῳ περιηγέα κάλλιπον ἀκτήν,
came they and with-wind curving left shore

ἔνθα Θεμισκύρειαι Ἀμαζόνες ὡπλίζοντο.
where Themiscyreian Amazons were-arming
οὐ γὰρ ὁμηγερέες μίαν ἂμ πόλιν, ἀλλ᾽ ἀνὰ γαῖαν
not for gathered one through city but over land
κεκριμέναι κατὰ φῦλα διάτριχα ναιετάασκον·
separated by tribes in-three dwelt
νόσφι μὲν αἵδ᾽ αὐταί, τῇσιν τότε κοιρανέεσκεν
apart indeed these themselves over-whom then ruled
Ἱππολύτη, νόσφιν δὲ Λυκάστιαι ἀμφενέμοντο,
Hippolyte apart and Lycastians inhabited
νόσφι δ᾽ ἀκοντοβόλοι Χαδήσιαι. ἤματι δ᾽ ἄλλῳ
apart and javelin-throwing Chadesians on-day and other
νυκτί τ᾽ ἐπιπλομένῃ Χαλύβων παρὰ γαῖαν ἵκοντο.
night and coming of-Chalybes to land they-came
Τοῖσι μὲν οὔτε βοῶν ἄροτος μέλει, οὔτε τις ἄλλη
To-them indeed neither of-oxen plowing is-a-care nor any other
φυταλιὴ καρποῖο μελίφρονος· οὐδὲ μὲν οἵγε
planting of-fruit honey-sweet nor indeed they
ποίμνας ἑρσήεντι νομῷ ἔνι ποιμαίνουσιν.
flocks dewy pasture in tend
ἀλλὰ σιδηροφόρον στυφελὴν χθόνα γατομέοντες
but iron-bearing hard earth cleaving
ὦνον ἀμείβονται βιοτήσιον, οὐδέ ποτέ σφιν
price exchange of-livelihood nor ever for-them
ἠὼς ἀντέλλει καμάτων ἄτερ, ἀλλὰ κελαινῇ
dawn rises of-toils without but in-black
λιγνύι καὶ καπνῷ κάματον βαρὺν ὀτλεύουσιν.
soot and smoke toil heavy endure

Τοὺς δὲ μετ᾽ αὐτίκ᾽ ἔπειτα Γενηταίου Διὸς ἄκρην
Them and after at-once then of-Genetaean of-Zeus headland
γνάμψαντες σώοντο παρὲξ Τιβαρηνίδα γαῖαν.
having-rounded they-sped past Tibarenian land
ἔνθ᾽ ἐπεὶ ἄρ κε τέκωνται ὑπ᾽ ἀνδράσι τέκνα γυναῖκες,
there when then — bear by men children women
αὐτοὶ μὲν στενάχουσιν ἐνὶ λεχέεσσι πεσόντες,
themselves indeed groan in beds having-fallen
κράατα δησάμενοι· ταὶ δ᾽ εὖ κομέουσιν ἐδωδῇ
heads having-bound they and well tend with-food
ἀνέρας, ἠδὲ λοετρὰ λεχώια τοῖσι πένονται.
men and baths of-childbirth for-them prepare
Ἱρὸν δ᾽ αὖτ᾽ ἐπὶ τοῖσιν ὄρος καὶ γαῖαν ἄμειβον,
Sacred and in-turn after them mountain and land passed
ᾗ ἔνι Μοσσύνοικοι ἀν᾽ οὔρεα ναιετάουσιν
where in Mossynoeci through mountains dwell
μόσσυνας, καὶ δ᾽ αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
mossynes and also themselves named thence are
ἀλλοίη δὲ δίκη καὶ θέσμια τοῖσι τέτυκται.
different and custom and laws for-them are-made
ὅσσα μὲν ἀμφαδίην ῥέζειν θέμις, ἢ ἐνὶ δήμῳ,
as-many-as indeed openly to-do right or among people
ἢ ἀγορῇ, τάδε πάντα δόμοις ἔνι μηχανόωνται·
or in-assembly these all houses in they-contrive
ὅσσα δ᾽ ἐνὶ μεγάροις πεπονήμεθα, κεῖνα θύραζε
as-many-as and in halls we-labor-at those out-of-doors
ἀψεγέως μέσσῃσιν ἐνὶ ῥέζουσιν ἀγυιαῖς.
blamelessly mid in they-do streets

οὐδ᾽ εὐνῆς αἰδὼς ἐπιδήμιος, ἀλλά, σύες ὣς
nor of-bed shame among-the-people but swine like
φορβάδες, οὐδ᾽ ἠβαιὸν ἀτυζόμενοι παρεόντας,
grazing not-even little abashed-before those-present
μίσγονται χαμάδις ξυνῇ φιλότητι γυναικῶν.
mingle on-the-ground in-common in-love with-the-women
αὐτὰρ ἐν ὑψίστῳ βασιλεὺς μόσσυνι θαάσσων
but in highest king mossyne sitting
ἰθείας πολέεσσι δίκας λαοῖσι δικάζει,
straight to-many judgments to-the-people judges
σχέτλιος. ἢν γάρ πού τι θεμιστεύων ἀλίτηται,
wretched if for somewhere anything judging he-err
λιμῷ μιν κεῖν᾽ ἦμαρ ἐνικλείσαντες ἔχουσιν.
in-hunger him that day having-shut-up they-hold

II.8 · THE ISLAND OF ARES

At the island of Ares the god's birds shower the heroes with feathers like arrows, wounding Oileus. On Amphidamas' advice they put on their helmets and clash their shields to drive the birds off. Meanwhile a storm wrecks the sons of Phrixus, who are sailing from Colchis for Greece, and casts them on the island.

Τοὺς παρανισσόμενοι καὶ δὴ σχεδὸν ἀντιπέρηθεν
Them passing and indeed near opposite
νήσου Ἀρητιάδος τέμνον πλόον εἰρεσίῃσιν
of-island of-Ares cut voyage with-oars
ἠμάτιοι· λιαρὴ γὰρ ὑπὸ κνέφας ἔλλιπεν αὔρη.
by-day warm for toward dusk had-left breeze

ἤδη καί τιν' ὕπερθεν Ἀρήιον ἀίσσοντα
already and some above of-Ares darting
ἐνναέτην νήσοιο δι' ἠέρος ὄρνιν ἴδοντο,
inhabitant of-the-island through air bird they-saw
ὅς ῥα τιναξάμενος πτέρυγας κατὰ νῆα θέουσαν
which then having-shaken wings over ship running
ἧκ' ἐπὶ οἱ πτερὸν ὀξύ· τὸ δ' ἐν λαιῷ πέσεν ὤμῳ
sent on him feather sharp it and on left fell shoulder
δίου Ὀιλῆος· μεθέηκε δὲ χερσὶν ἐρετμὸν
of-divine Oileus let-go and from-hands oar
βλήμενος· οἱ δὲ τάφον πτερόεν βέλος εἰσορόωντες.
struck they and marveled at-the-winged missile seeing
καὶ τὸ μὲν ἐξείρυσσε παρεδριόων Ἐρυβώτης,
and it indeed drew-out sitting-beside Eribotes
ἕλκος δὲ ξυνέδησεν, ἀπὸ σφετέρου κολεοῖο
wound and bound-up from his-own scabbard
λυσάμενος τελαμῶνα κατήορον· ἐκ δ' ἐφαάνθη
having-loosed strap hanging out and appeared
ἄλλος ἐπὶ προτέρῳ πεποτημένος· ἀλλά μιν ἥρως
another on the-former having-flown but it the-hero
Εὐρυτίδης Κλυτίος — πρὸ γὰρ ἀγκύλα τείνατο τόξα,
son-of-Eurytus Clytius before for curved stretched bow
ἧκε δ' ἐπ' οἰωνὸν ταχινὸν βέλος — αὐτὰρ ἔπειτα
sent and at bird swift missile but then
πλῆξεν· δινηθεὶς δὲ θοῆς πέσεν ἀγχόθι νηός.
struck whirling and of-swift fell near ship
τοῖσιν δ' Ἀμφιδάμας μυθήσατο, παῖς Ἀλεοῖο·
to-them and Amphidamas spoke son of-Aleus

"Νῆσος μὲν πέλας ἡμιν Ἀρητιάς· ἴστε καὶ αὐτοὶ
Island indeed near to-us of-Ares you-know also yourselves
τούσδ' ὄρνιθας ἰδόντες. ἐγὼ δ' οὐκ ἔλπομαι ἰοὺς
these birds having-seen I and not expect arrows
τόσσον ἐπαρκέσσειν εἰς ἔκβασιν. ἀλλά τιν' ἄλλην
so-much to-suffice for landing but some other
μῆτιν πορσύνωμεν ἐπίρροθον, εἴ γ' ἐπικέλσαι
plan let-us-devise helpful if indeed to-put-in
μέλλετε, Φινῆος μεμνημένοι, ὡς ἐπέτελλεν.
you-intend of-Phineus mindful as he-enjoined
οὐδὲ γὰρ Ἡρακλέης, ὁπότ' ἤλυθεν Ἀρκαδίηνδε,
not-even for Heracles when he-came to-Arcadia
πλωίδας ὄρνιθας Στυμφαλίδας ἔσθενε λίμνης
swimming birds Stymphalian was-able of-lake
ὤσασθαι τόξοισι, τὸ μέν τ' ἐγὼ αὐτὸς ὄπωπα.
to-drive-off with-arrows this indeed — I myself saw
ἀλλ' ὅγε χαλκείην πλατάγην ἐνὶ χερσὶ τινάσσων
but he bronze rattle in hands shaking
δούπει ἐπὶ σκοπιῆς περιμήκεος· αἱ δ' ἐφέβοντο
clanged on peak very-high they and fled
τηλοῦ, ἀτυζηλῷ ὑπὸ δείματι κεκληγυῖαι.
far bewildering in fear screeching
τῶ καὶ νῦν τοίην τιν' ἐπιφραζώμεθα μῆτιν·
therefore also now such some let-us-devise plan
αὐτὸς δ' ἂν τὸ πάροιθεν ἐπιφρασθεὶς ἐνέποιμι.
myself and — the before having-thought-of would-tell
ἀνθέμενοι κεφαλῇσιν ἀερσιλόφους τρυφαλείας,
putting-on on-heads high-crested helmets

ἡμίσεες μὲν ἐρέσσετ᾽ ἀμοιβαδίς, ἡμίσεες δὲ
half indeed row in-turn half and
δούρασί τε ξυστοῖσι καὶ ἀσπίσιν ἄρσετε νῆα.
with-spears both polished and with-shields fit ship
αὐτὰρ πασσυδίῃ περιώσιον ὄρνυτ᾽ ἀυτὴν
but in-a-body exceeding raise shout
ἀθρόοι, ὄφρα κολῳὸν ἀηθείῃ φοβέωνται
together so-that the-din by-strangeness they-may-be-scared
νεύοντάς τε λόφους καὶ ἐπήορα δούραθ᾽ ὕπερθεν. 1065
nodding both crests and raised spears above
εἰ δέ κεν αὐτὴν νῆσον ἱκώμεθα, δὴ τότ᾽ ἔπειτα
if and — the-very island we-reach indeed then then
σὺν κελάδῳ σακέεσσι πελώριον ὄρσετε δοῦπον.᾽᾽
with din with-shields monstrous raise clatter
῾Ως ἄρ᾽ ἔφη· πάντεσσι δ᾽ ἐπίρροθος ἥνδανε μῆτις.
So then he-spoke to-all and helpful pleased plan
ἀμφὶ δὲ χαλκείας κόρυθας κεφαλῇσιν ἔθεντο
around and bronze helmets on-heads they-put
δεινὸν λαμπομένας, ἐπὶ δὲ λόφοι ἐσσείοντο 1070
terribly flashing on and crests were-shaken
φοινίκεοι. καὶ τοὶ μὲν ἀμοιβήδην ἐλάασκον·
crimson and some indeed in-turn rowed
τοὶ δ᾽ αὖτ᾽ ἐγχείῃσι καὶ ἀσπίσι νῆ᾽ ἐκάλυψαν.
others and in-turn with-spears and shields ship covered
ὡς δ᾽ ὅτε τις κεράμῳ κατερέψεται ἑρκίον ἀνήρ,
as and when some with-tiles roofs court a-man
δώματος ἀγλαΐην τε καὶ ὑετοῦ ἔμμεναι ἄλκαρ,
of-house ornament both and from-rain to-be defense
ἄλλῳ δ᾽ ἔμπεδον ἄλλος ὁμῶς ἐπαμοιβὸς ἄρηρεν· 1075
to-another and firmly another alike alternating fits

ὣς οἵγ᾽ ἀσπίσι νῆα συναρτύναντες ἔρεψαν.
so they with-shields ship fitting roofed
οἵη δὲ κλαγγὴ δῄου πέλει ἐξ ὁμάδοιο
such and clamor of-hostile is from throng
ἀνδρῶν κινυμένων, ὁπότε ξυνίωσι φάλαγγες,
of-men moving when meet ranks
τοίη ἄρ᾽ ὑψόθι νηὸς ἐς ἠέρα κίδνατ᾽ ἀυτή.
such then high from-ship into air spread shout
οὐδέ τιν᾽ οἰωνῶν ἔτ᾽ ἐσέδρακον, ἀλλ᾽ ὅτε νήσῳ
nor any of-birds longer they-saw but when island
χρίμψαντες σακέεσσιν ἐπέκτυπον, αὐτίκ᾽ ἄρ᾽ οἵγε
having-touched with-shields they-clashed at-once then they
μυρίοι ἔνθα καὶ ἔνθα πεφυζότες ἠερέθοντο.
countless here and there fleeing hovered
ὡς δ᾽ ὁπότε Κρονίδης πυκινὴν ἐφέηκε χάλαζαν
as and when son-of-Cronus thick sent hail
ἐκ νεφέων ἀνά τ᾽ ἄστυ καὶ οἰκία, τοὶ δ᾽ ὑπὸ τοῖσιν
from clouds over both town and houses they and under them
ἐνναέται κόναβον τεγέων ὕπερ εἰσαΐοντες
inhabitants din roofs over hearing
ἧνται ἀκήν, ἐπεὶ οὔ σφε κατέλλαβε χείματος ὥρη
sit quietly since not them overtook of-storm season
ἀπροφάτως, ἀλλὰ πρὶν ἐκαρτύναντο μέλαθρον·
unexpectedly but before they-strengthened roof
ὣς πυκινὰ πτερὰ τοῖσιν ἐφίεσαν ἀίσσοντες
so thick feathers on-them they-sent darting
ὕψι μάλ᾽ ἂμ πέλαγος περάτης εἰς οὔρεα γαίης.
high very over sea of-horizon to mountains of-land

Τίς γὰρ δὴ Φινῆος ἔην νόος, ἐνθάδε κέλσαι
What for indeed of-Phineus was purpose here to-put-in
ἀνδρῶν ἡρώων θεῖον στόλον; ἢ καὶ ἔπειτα
of-men heroes divine band or also afterward
ποῖον ὄνειαρ ἔμελλεν ἐελδομένοισιν ἱκέσθαι;
what help was-to to-the-longing to-come
Υἱῆες Φρίξοιο μετὰ πτόλιν Ὀρχομενοῖο
Sons of-Phrixus toward city of-Orchomenus
ἐξ Αἴης ἐνέοντο παρ' Αἰήταο Κυταίου,
from Aea were-going from Aeetes Cytaean
Κολχίδα νῆ' ἐπιβάντες, ἵν' ἄσπετον ὄλβον ἄρωνται
Colchian ship having-embarked so-that boundless wealth they-might-win
πατρός· ὁ γὰρ θνήσκων ἐπετείλατο τήνδε κέλευθον.
of-father he for dying enjoined this path
καὶ δὴ ἔσαν νήσοιο μάλα σχεδὸν ἤματι κείνῳ.
and indeed they-were of-island very near on-day that
Ζεὺς δ' ἀνέμου βορέαο μένος κίνησεν ἀῆναι,
Zeus and of-wind north the-might moved to-blow
ὕδατι σημαίνων διερὴν ὁδὸν Ἀρκτούροιο·
with-water signifying watery path of-Arcturus
αὐτὰρ ὅγ' ἠμάτιος μὲν ἐν οὔρεσι φύλλ' ἐτίνασσεν
but he by-day indeed in mountains leaves shook
τυτθὸν ἐπ' ἀκροτάτοισιν ἀήσυρος ἀκρεμόνεσσιν·
a-little on topmost gently branches

νυκτὶ δ' ἔβη πόντονδε πελώριος, ὦρσε δὲ κῦμα
by-night and went to-the-sea monstrous roused and wave
κεκληγὼς πνοιῇσι· κελαινὴ δ' οὐρανὸν ἀχλὺς
shrieking with-blasts black and heaven mist
ἄμπεχεν, οὐδέ πῃ ἄστρα διαυγέα φαίνετ' ἰδέσθαι
covered nor anywhere stars bright appeared to-see
ἐκ νεφέων, σκοτόεις δὲ περὶ ζόφος ἠρήρειστο.
from clouds murky and around gloom was-fixed
οἱ δ' ἄρα μυδαλέοι, στυγερὸν τρομέοντες ὄλεθρον,
they and then drenched hateful trembling-at destruction
υἱῆες Φρίξοιο φέρονθ' ὑπὸ κύμασιν αὔτως.
sons of-Phrixus were-borne under waves just-so
ἱστία δ' ἐξήρπαζ' ἀνέμου μένος, ἠδὲ καὶ αὐτὴν
sails and snatched-away of-wind the-might and also itself
νῆα διάνδιχ' ἔαξε τινασσομένην ῥοθίοισιν.
ship in-two broke shaken by-the-surges
ἔνθα δ' ὑπ' ἐννεσίῃσι θεῶν πίσυρές περ ἐόντες
there and by the-promptings of-gods four though being
δούρατος ὠρέξαντο πελωρίου, οἷά τε πολλὰ
beam grasped huge such-as — many
ῥαισθείσης κεκέδαστο θόοις συναρηρότα γόμφοις.
of-the-broken had-been-scattered with-sharp fitted with-bolts
καὶ τοὺς μὲν νῆσόνδε, παρὲξ ὀλίγον θανάτοιο,
and them indeed to-the-island beside little of-death
κύματα καὶ ῥιπαὶ ἀνέμου φέρον ἀσχαλόωντας.
waves and blasts of-wind bore distressed

αὐτίκα δ᾽ ἐρράγη ὄμβρος ἀθέσφατος, ὗε δὲ πόντον
at-once and burst rain unspeakable rained and on-sea
καὶ νῆσον καὶ πᾶσαν ὅσην κατεναντία νήσου
and island and all as-much-as opposite of-island
χώρην Μοσσύνοικοι ὑπέρβιοι ἀμφενέμοντο.
land Mossynoeci overweening inhabited
τοὺς δ᾽ ἄμυδις κρατερῷ σὺν δούρατι κύματος ὁρμὴ
them and together strong with beam of-wave the-rush
υἱῆας Φρίξοιο μετ᾽ ἠιόνας βάλε νήσου
sons of-Phrixus at shores cast of-island
νύχθ᾽ ὕπο λυγαίην· τὸ δὲ μυρίον ἐκ Διὸς ὕδωρ
night under dark the and countless from Zeus water
λῆξεν ἅμ᾽ ἠελίῳ· τάχα δ᾽ ἐγγύθεν ἀντεβόλησαν
ceased with sun soon and near met
ἀλλήλοις, Ἄργος δὲ παροίτατος ἔκφατο μῦθον·
one-another Argus and first spoke word

II.9 · THE SONS OF PHRIXUS AND THE ARRIVAL IN COLCHIS

The heroes meet the sons of Phrixus, and Jason recognizes them as kinsmen; Argus warns them of the cruelty of Aeetes and agrees to guide them. They sail past the coast and see the eagle that feeds on Prometheus. They enter the Phasis, and Jason pours libations to the gods of the land.

“ Ἀντόμεθα πρὸς Ζηνὸς Ἐποψίου, οἵτινές ἐστε
We-beseech by Zeus Beholder whoever you-are
ἀνδρῶν, εὐμενέειν τε καὶ ἀρκέσσαι χατέουσιν.
of-men to-be-kind both and to-help the-needing

πόντῳ γὰρ τρηχεῖαι ἐπιβρίσασαι ἄελλαι
on-sea for rough having-fallen-on storms
νηὸς ἀεικελίης διὰ δούρατα πάντ' ἐκέδασσαν,
of-ship wretched asunder the-timbers all scattered
†ᾗ ἔνι τειρόμενοι ἅμ' ἐπὶ χρέος ἐμβεβαῶτες.†
(corrupt)-which in distressed together on business having-embarked(corrupt)
τούνεκα νῦν ὑμέας γουναζόμεθ', αἴ κε πίθησθε,
therefore now you we-supplicate if — you-obey
δοῦναι ὅσον τ' εἶλυμα περὶ χροός, ἠδὲ κομίσσαι
to-give as-much-as — covering about skin and to-tend
ἀνέρας οἰκτείραντας ὁμήλικας ἐν κακότητι.
men pitying of-equal-age in misery
ἀλλ' ἱκέτας ξείνους Διὸς εἵνεκεν αἰδέσσασθε
but suppliants strangers of-Zeus for-the-sake respect
Ξεινίου Ἱκεσίου τε· Διὸς δ' ἄμφω ἱκέται τε
of-the-Hospitable of-the-Suppliants and of-Zeus and both suppliants and
καὶ ξεῖνοι· ὁ δέ που καὶ ἐπόψιος ἄμμι τέτυκται."
and strangers he and surely also beholder over-us is
Τὸν δ' αὖτ' Αἴσονος υἱὸς ἐπιφραδέως ἐρέεινεν,
Him and in-turn of-Aeson son wisely questioned
μαντοσύνας Φινῆος ὀισσάμενος τελέεσθαι·
the-prophecies of-Phineus thinking to-be-fulfilled
"Ταῦτα μὲν αὐτίκα πάντα παρέξομεν εὐμενέοντες.
These-things indeed at-once all we-will-give being-kind
ἀλλ' ἄγε μοι κατάλεξον ἐτήτυμον, ὁππόθι γαίης
but come to-me tell truly where of-earth
ναίετε, καὶ χρέος οἷον ὑπεὶρ ἅλα νεῖσθαι ἀνώγει,
you-dwell and need what over sea to-go bids
αὐτῶν θ' ὑμείων ὄνομα κλυτόν, ἠδὲ γενέθλην."
of-yourselves both your name famous and lineage

Τὸν δ' Ἄργος προσέειπεν ἀμηχανέων κακότητι·
Him and Argus addressed helpless at-the-evil
"Αἰολίδην Φρίξον τιν' ἀφ' Ἑλλάδος Αἶαν ἱκέσθαι
son-of-Aeolus Phrixus one from Hellas Aea to-have-reached
ἀτρεκέως δοκέω που ἀκούετε καὶ πάρος αὐτοί,
truly I-think surely you-hear even before yourselves
Φρίξον, ὅτις πτολίεθρον ἀνήλυθεν Αἰήταο,
Phrixus who city went-up of-Aeetes
κριοῦ ἐπεμβεβαώς, τόν ῥα χρύσειον ἔθηκεν
of-ram having-mounted which then golden made
Ἑρμείας· κῶας δὲ καὶ εἰσέτι νῦν κεν ἴδοισθε.
Hermes the-fleece and also still now — you-could-see
τὸν μὲν ἔπειτ' ἔρρεξεν ἑῆς ὑποθημοσύνῃσιν
it indeed then he-sacrificed by-its-own instructions
Φυξίῳ ἐκ πάντων Κρονίδῃ Διί. καί μιν ἔδεκτο
to-the-God-of-Flight from all to-son-of-Cronus to-Zeus and him received
Αἰήτης μεγάρῳ, κούρην τέ οἱ ἐγγυάλιξεν
Aeetes in-hall daughter and to-him gave
Χαλκιόπην ἀνάεδνον ἐυφροσύνῃσι νόοιο.
Chalciope without-bride-price in-gladness of-mind
τῶν ἐξ ἀμφοτέρων εἰμὲν γένος. ἀλλ' ὁ μὲν ἤδη
of-them from both we-are race but he indeed already
γηραιὸς θάνε Φρίξος ἐν Αἰήταο δόμοισιν·
aged died Phrixus in of-Aeetes house
ἡμεῖς δ' αὐτίκα πατρὸς ἐφετμάων ἀλέγοντες
we and at-once of-father the-commands heeding
νεύμεθ' ἐς Ὀρχομενὸν κτεάνων Ἀθάμαντος ἕκητι.
go to Orchomenus of-the-possessions of-Athamas for-the-sake
εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις δεδαῆσθαι,
if and also name indeed you-desire to-learn

τῷδε Κυτίσσωρος πέλει οὔνομα, τῷ δέ τε Φρόντις,
this-one Cytissorus is name that-one and — Phrontis
τῷ δὲ Μέλας· ἐμὲ δ' αὐτὸν ἐπικλείοιτέ κεν Ἄργον."
that-one and Melas me and myself you-may-call — Argus
Ὣς φάτ'· ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο,
So he-spoke chieftains and at-the-meeting rejoiced
καί σφεας ἀμφίεπον περιθαμβέες. αὐτὰρ Ἰήσων
and them tended marveling but Jason
ἐξαῦτις κατὰ μοῖραν ἀμείψατο τοῖσδ' ἐπέεσσιν·
again in fitting answered with-these words
" Ἦ ἄρα δὴ γνωτοὶ πατρώιοι ἄμμιν ἐόντες
Truly then indeed kinsmen paternal to-us being
λίσσεσθ' εὐμενέοντας ἐπαρκέσσαι κακότητα.
you-beseech the-kindly to-ward-off the-misery
Κρηθεὺς γάρ ῥ' Ἀθάμας τε κασίγνητοι γεγάασιν.
Cretheus for then Athamas and brothers were-born
Κρηθῆος δ' υἱωνὸς ἐγὼ σὺν τοισίδ' ἑταίροις
of-Cretheus and grandson I with these comrades
Ἑλλάδος ἐξ αὐτῆς νέομ' ἐς πόλιν Αἰήταο.
Hellas from itself go to city of-Aeetes
ἀλλὰ τὰ μὲν καὶ ἐσαῦτις ἐνίψομεν ἀλλήλοισιν.
but these-things indeed also hereafter we-will-tell one-another
νῦν δ' ἕσσασθε πάροιθεν· ὑπ' ἐννεσίῃσι δ' ὀίω
now and clothe-yourselves first by the-promptings and I-think
ἀθανάτων ἐς χεῖρας ἐμὰς χατέοντας ἱκέσθαι."
of-immortals into hands my needing to-have-come
Ἦ ῥα, καὶ ἐκ νηὸς δῶκέ σφισιν εἵματα δῦναι.
He-spoke then and from ship gave them garments to-put-on
πασσυδίῃ δ᾽ ἔπειτα κίον μετὰ νηὸν Ἄρηος,
in-all-haste then went to temple of-Ares

μῆλ᾽ ἱερευσόμενοι· περὶ δ᾽ ἐσχάρῃ ἐστήσαντο
sheep to-be-going-to-sacrifice around and the-altar stood
ἐσσυμένως, ἥ τ᾽ ἐκτὸς ἀνηρεφέος πέλε νηοῦ
hastily which — outside roofless was temple
στιάων· εἴσω δὲ μέγας λίθος ἠρήρειστο
of-pebbles within and great stone was-fixed
ἱερός, ᾧ ποτε πᾶσαι Ἀμαζόνες εὐχετόωντο.
sacred to-which once all Amazons prayed
οὐδέ σφιν θέμις ἦεν, ὅτ᾽ ἀντιπέρηθεν ἵκοιντο,
nor for-them right was when from-the-opposite-coast they-came
μήλων τ᾽ ἠδὲ βοῶν τῇδ᾽ ἐσχάρῃ ἱερὰ καίειν·
of-sheep both and of-oxen on-this altar offerings to-burn
ἀλλ᾽ ἵππους δαίτρευον, ἐπηετανὸν κομέουσαι.
but horses they-slaughtered all-year-round having-kept
αὐτὰρ ἐπεὶ ῥέξαντες ἐπαρτέα δαῖτ᾽ ἐπάσαντο,
but when having-sacrificed ready feast they-tasted
δὴ τότ᾽ ἄρ᾽ Αἰσονίδης μετεφώνεεν, ἦρχέ τε μύθων·
indeed then then son-of-Aeson spoke-among began and of-words
Ζεὺς αὐτὸς τὰ ἕκαστ᾽ ἐπιδέρκεται· οὐδέ μιν ἄνδρες
Zeus himself the each-thing beholds nor him men
λήθομεν ἔμπεδον, οἵ τε θεουδέες ἠδὲ δίκαιοι.
we-escape-notice steadfastly who — god-fearing and just
ὡς μὲν γὰρ πατέρ᾽ ὑμὸν ὑπεξείρυτο φόνοιο
as indeed for father your he-rescued from-murder
μητρυιῆς, καὶ νόσφιν ἀπειρέσιον πόρεν ὄλβον·
of-stepmother and apart boundless gave wealth

ὣς δὲ καὶ ὑμέας αὖτις ἀπήμονας ἐξεσάωσεν
so and also you again unharmed he-saved
χείματος οὐλομένοιο. πάρεστι δὲ τῆσδ' ἐπὶ νηὸς
from-storm baneful it-is-possible and this on ship
ἔνθα καὶ ἔνθα νέεσθαι, ὅππῃ φίλον, εἴτε μετ' Αἶαν,
here and there to-go where dear whether to Aea
εἴτε μετ' ἀφνειὴν θείου πόλιν Ὀρχομενοῖο.
or to rich of-divine city of-Orchomenus
τὴν γὰρ Ἀθηναίη τεχνήσατο, καὶ τάμε χαλκῷ
it for Athena built and cut with-bronze
δούρατα Πηλιάδος κορυφῆς πέρι· σὺν δέ οἱ Ἄργος
timbers of-Pelian peak around with and her Argus
τεῦξεν. ἀτὰρ κείνην γε κακὸν διὰ κῦμ' ἐκέδασσεν,
built but that indeed evil asunder wave scattered
πρὶν καὶ πετράων σχεδὸν ἐλθεῖν, αἵ τ' ἐνὶ πόντῳ
before even of-the-rocks near to-come which — in sea
στεινωπῷ συνίασι πανήμεροι ἀλλήλῃσιν.
in-narrow come-together all-day one-another
ἀλλ' ἄγεθ' ὧδε καὶ αὐτοὶ ἐς Ἑλλάδα μαιομένοισιν
but come thus also yourselves to Hellas to-the-eager
κῶας ἄγειν χρύσειον ἐπίρροθοι ἄμμι πέλεσθε
fleece to-bring golden helpers to-us be
καὶ πλόου ἡγεμονῆες, ἐπεὶ Φρίξοιο θυηλὰς
and of-voyage guides since of-Phrixus the-sacrifices
στέλλομαι ἀμπλήσων, Ζηνὸς χόλον Αἰολίδῃσιν."
I-set-out to-be-going-to-fulfill of-Zeus wrath for-sons-of-Aeolus

Ἴσκε παρηγορέων· οἱ δ' ἔστυγον εἰσαΐοντες.
He-spoke consoling they and shuddered hearing
οὐ γὰρ ἔφαν τεύξεσθαι ἐνηέος Αἰήταο
not for they-said to-be-going-to-meet of-kindly Aeetes
κῶας ἄγειν κριοῖο μεμαότας, ὧδε δ' ἔειπεν
fleece to-bring of-ram eager thus and spoke
Ἄργος, ἀτεμβόμενος τοῖον στόλον ἀμφιπένεσθαι·
Argus blaming such expedition to-undertake
" Ὦ φίλοι, ἡμέτερον μὲν ὅσον σθένος, οὔποτ' ἀρωγῆς
O friends our indeed as-much-as strength never from-help
σχήσεται, οὐδ' ἠβαιόν, ὅτε χρειώ τις ἵκηται.
will-be-held-back not-even little when need some come
ἀλλ' αἰνῶς ὀλοῇσιν ἀπηνείῃσιν ἄρηρεν
but terribly with-baneful with-harshness is-armed
Αἰήτης· τῶ καὶ περιδείδια ναυτίλλεσθαι.
Aeetes therefore also I-greatly-fear to-sail
στεῦται δ' Ἠελίου γόνος ἔμμεναι· ἀμφὶ δὲ Κόλχων
he-avers and of-Helios offspring to-be around and of-Colchians
ἔθνεα ναιετάουσιν ἀπείρονα· καὶ δέ κεν Ἄρει
tribes dwell boundless and and — with-Ares
σμερδαλέην ἐνοπὴν μέγα τε σθένος ἰσοφαρίζοι.
terrible war-cry great and strength be-might-rival
οὐ μὰν οὐδ' ἀπάνευθεν ἑλεῖν δέρος Αἰήταο
not indeed nor apart to-take fleece of-Aeetes
ῥηΐδιον, τοῖός μιν ὄφις περί τ' ἀμφί τ' ἔρυται
easy such it serpent around both about and guards
ἀθάνατος καὶ ἄυπνος, ὃν αὐτὴ Γαῖ' ἀνέφυσεν
immortal and sleepless whom herself Earth brought-forth
Καυκάσου ἐν κνημοῖσι, Τυφαονίη ὅθι πέτρη,
of-Caucasus in glens Typhaonian where rock

ἔνθα Τυφάονά φασι Διὸς Κρονίδαο κεραυνῷ
there Typhaon they-say of-Zeus of-the-son-of-Cronus by-thunderbolt
βλήμενον, ὁππότε οἱ στιβαρὰς ἐπορέξατο χεῖρας,
struck when at-him sturdy he-reached hands
θερμὸν ἀπὸ κρατὸς στάξαι φόνον· ἵκετο δ᾽ αὖτως
hot from head to-have-dripped gore he-came and just-so
οὔρεα καὶ πεδίον Νυσήιον, ἔνθ᾽ ἔτι νῦν περ
mountains and plain Nysean where still now indeed
κεῖται ὑποβρύχιος Σερβωνίδος ὕδασι λίμνης.”
he-lies under-water Serbonian by-waters of-lake

Ὣς ἄρ᾽ ἔφη· πολέεσσι δ᾽ ἐπὶ χλόος εἶλε παρειὰς
So then he-spoke of-many and on paleness seized cheeks
αὐτίκα, τοῖον ἄεθλον ὅτ᾽ ἔκλυον. αἶψα δὲ Πηλεὺς
at-once such contest when they-heard quickly and Peleus
θαρσαλέοις ἐπέεσσιν ἀμείψατο, φώνησέν τε·
with-bold with-words answered spoke and

“Μηδ᾽ οὕτως, ἠθεῖε, λίην δειδίσσεο θυμῷ.
Not so friend excessively fear in-heart
οὔτε γὰρ ὧδ᾽ ἀλκὴν ἐπιδευόμεθ᾽, ὥστε χερείους
neither for so of-strength do-we-lack so-that worse
ἔμμεναι Αἰήταο σὺν ἔντεσι πειρηθῆναι.
to-be than-Aeetes with arms to-be-tested
ἀλλὰ καὶ ἡμέας οἴω ἐπισταμένους πολέμοιο
but also us I-think knowing of-war
κεῖσε μολεῖν, μακάρων σχεδὸν αἵματος ἐκγεγαῶτας.
there to-go of-the-blessed near of-blood born
τῶ εἰ μὴ φιλότητι δέρος χρύσειον ὀπάσσει,
therefore if not in-friendship fleece golden he-will-give
οὔ οἱ χραισμήσειν ἐπιέλπομαι ἔθνεα Κόλχων.”
not for-him to-be-going-to-avail I-expect tribes of-Colchians

Ὣς οἵγ' ἀλλήλοισιν ἀμοιβαδὸν ἠγορόωντο,
So they one-another in-turn were-speaking
μέσφ' αὖτις δόρποιο κορεσσάμενοι κατέδαρθεν.
until again with-supper sated they-slept
ἦρι δ' ἀνεγρομένοισιν ἐυκραὴς ἄεν οὖρος·
at-dawn and to-them-waking well-tempered blew wind
ἱστία δ' ἤειραν, τὰ δ' ὑπαὶ ῥιπῆς ἀνέμοιο
sails and they-raised they and under blast of-wind
τείνετο· ῥίμφα δὲ νῆσον ἀποπροέλειπον Ἄρηος.
were-stretched swiftly and island left-behind of-Ares
Νυκτὶ δ' ἐπιπλομένῃ Φιλυρηίδα νῆσον ἄμειβον·
By-night and coming Philyrean island they-passed
ἔνθα μὲν Οὐρανίδης Φιλύρῃ Κρόνος, εὖτ' ἐν Ὀλύμπῳ
there indeed son-of-Heaven with-Philyra Cronus when in Olympus
Τιτήνων ἤνασσεν, ὁ δὲ Κρηταῖον ὑπ' ἄντρον
over-Titans ruled he and Cretan under cave
Ζεὺς ἔτι Κουρήτεσσι μετετρέφετ' Ἰδαίοισιν,
Zeus still by-Curetes was-reared Idaean
Ῥείην ἐξαπαφών, παρελέξατο· τοὺς δ' ἐνὶ λέκτροις
Rhea deceiving lay-with them and in bed
τέτμε θεὰ μεσσηγύς· ὁ δ' ἐξ εὐνῆς ἀνορούσας
found the-goddess in-the-midst he and from bed having-leapt-up
ἔσσυτο χαιτήεντι φυὴν ἐναλίγκιος ἵππῳ·
rushed to-maned in-form like horse

ἡ δ' αἰδοῖ χῶρόν τε καὶ ἤθεα κεῖνα λιποῦσα
she and in-shame place both and haunts those having-left
Ὠκεανὶς Φιλύρη εἰς οὔρεα μακρὰ Πελασγῶν
daughter-of-Ocean Philyra to mountains long of-Pelasgians
ἦλθ', ἵνα δὴ Χείρωνα πελώριον, ἄλλα μὲν ἵππῳ,
came where indeed Chiron monstrous partly indeed to-horse
ἄλλα θεῷ ἀτάλαντον, ἀμοιβαίῃ τέκεν εὐνῇ.
partly to-god equal from-changed bore bed
Κεῖθεν δ' αὖ Μάκρωνας ἀπειρεσίην τε Βεχείρων
Thence and in-turn Macrones boundless and of-Becheiri
γαῖαν ὑπερφιάλους τε παρεξενέοντο Σάπειρας,
land overweening and passed Sapeires
Βύζηράς τ' ἐπὶ τοῖσιν· ἐπιπρὸ γὰρ αἰὲν ἔτεμνον
Byzeres and after them forward for ever they-cut
ἐσσυμένως, λιαροῖο φορεύμενοι ἐξ ἀνέμοιο.
hastily warm borne by wind
καὶ δὴ νισσομένοισι μυχὸς διεφαίνετο πόντου.
and indeed to-the-going-ones the-recess appeared of-the-sea
καὶ δὴ Καυκασίων ὀρέων ἀνέτελλον ἐρίπναι
and indeed of-Caucasian mountains rose crags
ἠλίβατοι, τόθι γυῖα περὶ στυφελοῖσι πάγοισιν
steep where limbs around hard rocks
ἰλλόμενος χαλκέῃσιν ἀλυκτοπέδῃσι Προμηθεὺς
bound in-bronze in-fetters Prometheus
αἰετὸν ἤπατι φέρβε παλιμπετὲς ἀίσσοντα.
eagle with-liver fed back-flying darting

τὸν μὲν ἐπ᾽ ἀκροτάτης ἴδον ἕσπερον ὀξέι ῥοίζῳ
it indeed on topmost they-saw at-evening with-sharp whir
νηὸς ὑπερπτάμενον νεφέων σχεδόν· ἀλλὰ καὶ ἔμπης
the-ship flying-over clouds near but even nevertheless
λαίφεα πάντ᾽ ἐτίναξε, παραιθύξας πτερύγεσσιν.
sails all shook fanning with-wings
οὐ γὰρ ὅγ᾽ αἰθερίοιο φυὴν ἔχεν οἰωνοῖο,
not for he of-airy form had of-bird
ἶσα δ᾽ ἐυξέστοις ὠκύπτερα πάλλεν ἐρετμοῖς. 1255
equal and to-well-polished long-feathers he-plied to-oars
δηρὸν δ᾽ οὐ μετέπειτα πολύστονον ἄιον αὐδὴν
long and not afterward much-groaning they-heard voice
ἥπαρ ἀνελκομένοιο Προμηθέος· ἔκτυπε δ᾽ αἰθὴρ
liver of-being-torn-out of-Prometheus rang and air
οἰμωγῇ, μέσφ᾽ αὖτις ἀπ᾽ οὔρεος ἀίσσοντα
with-wailing until again from mountain darting
αἰετὸν ὠμηστὴν αὐτὴν ὁδὸν εἰσενόησαν.
eagle raw-eating the-same way they-saw
ἐννύχιοι δ᾽ Ἄργοιο δαημοσύνῃσιν ἵκοντο 1260
by-night and of-Argus by-the-skill they-came
Φᾶσίν τ᾽ εὐρὺ ῥέοντα, καὶ ἔσχατα πείρατα πόντου.
Phasis both broad flowing and farthest ends of-sea
Αὐτίκα δ᾽ ἱστία μὲν καὶ ἐπίκριον ἔνδοθι κοίλης
At-once and sails indeed and yard within hollow
ἱστοδόκης στείλαντες ἐκόσμεον· ἐν δὲ καὶ αὐτὸν
mast-crutch having-furled they-stowed in and also itself
ἱστὸν ἄφαρ χαλάσαντο παρακλιδόν· ὦκα δ᾽ ἐρετμοῖς
mast at-once they-lowered sideways quickly and with-oars

εἰσέλασαν ποταμοῖο μέγαν ῥόον· αὐτὰρ ὁ πάντῃ
rowed-into of-river great stream but it everywhere
καχλάζων ὑπόεικεν. ἔχον δ' ἐπ' ἀριστερὰ χειρῶν
bubbling gave-way they-had and on left of-hands
Καύκασον αἰπήεντα Κυταίδα τε πτόλιν Αἴης,
Caucasus steep Cytaean and city of-Aea
ἔνθεν δ' αὖ πεδίον τὸ Ἀρήιον ἱερά τ' ἄλση
thence and in-turn plain the of-Ares sacred and groves
τοῖο θεοῦ, τόθι κῶας ὄφις εἴρυτο δοκεύων
of-that god where fleece serpent guarded watching
πεπτάμενον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσιν.
spread shaggy on of-oak branches
αὐτὸς δ' Αἰσονίδης χρυσέῳ ποταμόνδε κυπέλλῳ
himself and son-of-Aeson from-golden into-the-river from-cup
οἴνου ἀκηρασίοιο μελισταγέας χέε λοιβὰς
of-wine unmixed honey-sweet poured libations
Γαίῃ τ' ἐνναέταις τε θεοῖς ψυχαῖς τε καμόντων
to-Earth both to-the-native and gods to-souls and of-the-dead
ἡρώων· γουνοῦτο δ' ἀπήμονας εἶναι ἀρωγοὺς
heroes he-besought and harmless to-be helpers
εὐμενέως, καὶ νηὸς ἐναίσιμα πείσματα δέχθαι.
kindly and of-ship auspicious cables to-receive
αὐτίκα δ' Ἀγκαῖος τοῖον μετὰ μῦθον ἔειπεν·
at-once and Ancaeus such among word spoke
"Κολχίδα μὲν δὴ γαῖαν ἱκάνομεν ἠδὲ ῥέεθρα
Colchian indeed truly land we-reach and streams
Φάσιδος· ὥρη δ' ἦμιν ἐνὶ σφίσι μητιάασθαι,
of-Phasis time and for-us among ourselves to-take-counsel

εἴτ᾽ οὖν μειλιχίῃ πειρησόμεθ᾽ Αἰήταο,
whether then in-gentle we-will-make-trial of-Aeetes
εἴτε καὶ ἀλλοίη τις ἐπήβολος ἔσσεται ὁρμή.᾽᾽
or also other some effective will-be attempt
῾Ως ἔφατ᾽· Ἄργου δ᾽ αὖτε παρηγορίῃσιν Ἰήσων
So he-spoke of-Argus and in-turn by-the-advice Jason
ὑψόθι νῆ᾽ ἐκέλευσεν ἐπ᾽ εὐναίῃσιν ἐρύσσαι
on-high ship bade at anchors to-draw
δάσκιον εἰσελάσαντας ἕλος· τὸ δ᾽ ἐπισχεδὸν ἦεν
shady having-rowed-into marsh it and near was
νισσομένων, ἔνθ᾽ οἵγε διὰ κνέφας ηὐλίζοντο.
to-the-going-ones there they through night bivouacked
ἠὼς δ᾽ οὐ μετὰ δηρὸν ἐελδομένοις ἐφαάνθη.
dawn and not after long to-the-longing appeared

BOOK III

III.1 · HERA, ATHENA, AND APHRODITE

The poet calls on Erato to tell how Jason brought the fleece back by Medea's love. Hera and Athena go to Aphrodite and ask her to make Aeetes' daughter love Jason. Aphrodite agrees and finds Eros playing knucklebones with Ganymede; she promises him a golden ball if he will shoot Medea.

Εἰ δ' ἄγε νῦν, Ἐρατώ, παρά θ' ἵστασο, καί μοι ἔνισπε,
If and come now Erato by both stand and to-me tell
ἔνθεν ὅπως ἐς Ἰωλκὸν ἀνήγαγε κῶας Ἰήσων
thence how to Iolcus brought fleece Jason
Μηδείης ὑπ' ἔρωτι. σὺ γὰρ καὶ Κύπριδος αἶσαν
of-Medea through love you for also of-Cypris the-lot
ἔμμορες, ἀδμῆτας δὲ τεοῖς μελεδήμασι θέλγεις
share unwed and with-your with-cares you-charm
παρθενικάς· τῶ καί τοι ἐπήρατον οὔνομ' ἀνῆπται. 5
maidens therefore also to-you lovely name is-attached

Ὣς οἱ μὲν πυκινοῖσιν ἀνωίστως δονάκεσσιν
So they indeed in-thick unseen in-reeds
μίμνον ἀριστῆες λελοχημένοι· αἱ δ' ἐνόησαν
remained chieftains lying-in-wait they and perceived
Ἥρη Ἀθηναίη τε, Διὸς δ' αὐτοῖο καὶ ἄλλων
Hera Athena and of-Zeus and himself and of-other
ἀθανάτων ἀπονόσφι θεῶν θάλαμόνδε κιοῦσαι
immortal apart gods to-a-chamber having-gone
βούλευον· πείραζε δ' Ἀθηναίην πάρος Ἥρη· 10
took-counsel tested and Athena first Hera

"Αὐτὴ νῦν προτέρη, θύγατερ Διός, ἄρχεο βουλῆς.
Yourself now first daughter of-Zeus begin of-counsel
τί χρέος; ἠὲ δόλον τινὰ μήσεαι, ᾧ κεν ἑλόντες
what to-do or guile some will-you-devise by-which — having-taken
χρύσεον Αἰήταο μεθ' Ἑλλάδα κῶας ἄγοιντο,
golden of-Aeetes to Hellas fleece they-may-bring
ἦ καὶ τόνγ' ἐπέεσσι παραιφάμενοι πεπίθοιεν
or even him with-words beguiling they-may-persuade
μειλιχίοις; ἦ γὰρ ὅγ' ὑπερφίαλος πέλει αἰνῶς.
gentle truly for he overweening is terribly
ἔμπης δ' οὔτινα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν."
nevertheless and no attempt to-shun befits
ὣς φάτο· τὴν δὲ παρᾶσσον Ἀθηναίη προσέειπεν·
so she-spoke her and at-once Athena addressed
"Καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετὰ φρεσὶν ὁρμαίνουσαν,
And and myself me such in mind pondering
Ἥρη, ἀπηλεγέως ἐξείρεαι. ἀλλά τοι οὔπω
Hera bluntly you-ask but to-you not-yet
φράσσασθαι νοέω τοῦτον δόλον, ὅστις ὀνήσει
to-devise I-think this guile which will-profit
θυμὸν ἀριστήων· πολέας δ' ἐπεδοίασα βουλάς."
heart of-chiefs many and I-wavered-over counsels
Ἦ, καὶ ἐπ' οὔδεος αἴγε ποδῶν πάρος ὄμματ' ἔπηξαν,
She-spoke and on ground they of-feet before eyes fixed
ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν· αὐτίκα δ' Ἥρη
apart brooding in themselves at-once and Hera
τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον·
thus devising first spoke word

"Δεῦρ' ἴομεν μετὰ Κύπριν· ἐπιπλόμεναι δέ μιν ἄμφω
Here let-us-go to Cypris coming-to and her both
παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν, αἴ κε πίθηται
to-son her-own to-tell let-us-urge if — he-obey
κούρην Αἰήτεω πολυφάρμακον οἷσι βέλεσσιν
maiden of-Aeetes of-many-drugs with-his arrows
θέλξαι ὀιστεύσας ἐπ' Ἰήσονι. τὸν δ' ἂν ὀίω
to-charm having-shot for Jason him and — I-think
κείνης ἐννεσίῃσιν ἐς Ἑλλάδα κῶας ἀνάξειν."
her by-the-counsels to Hellas fleece to-be-going-to-bring
Ὣς ἄρ' ἔφη· πυκινὴ δὲ συνεύαδε μῆτις Ἀθήνῃ,
So then she-spoke shrewd and pleased plan Athena
καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν·
and her then again answered with-gentle
"Ἥρη, νήιδα μέν με πατὴρ τέκε τοῖο βολάων,
Hera unknowing indeed me father begot of-his darts
οὐδέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
nor any need charm-working do-I-know of-desire
εἰ δέ σοι αὐτῇ μῦθος ἐφανδάνει, ἦ τ' ἂν ἔγωγε
if and to-you yourself word pleases truly — — I
ἑσποίμην· σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα."
would-follow you and — would-speak word meeting
Ἦ, καὶ ἀναΐξασαι ἐπὶ μέγα δῶμα νέοντο
She-spoke and having-sprung-up to great house went
Κύπριδος, ὅ ῥά τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις,
of-Cypris which then — for-her built husband lame-in-both-feet
ὁππότε μιν τὰ πρῶτα παραὶ Διὸς ἦγεν ἄκοιτιν.
when her the first from Zeus he-led wife

ἕρκεα δ᾽ εἰσελθοῦσαι ὑπ᾽ αἰθούσῃ θαλάμοιο
courts and having-entered under porch of-chamber
ἔσταν, ἵν᾽ ἐντύνεσκε θεὰ λέχος Ἡφαίστοιο.
stood where made-ready goddess bed of-Hephaestus
ἀλλ᾽ ὁ μὲν ἐς χαλκεῶνα καὶ ἄκμονας ἦρι βεβήκει,
but he indeed to forge and anvils at-dawn had-gone
νήσοιο πλαγκτῆς εὐρὺν μυχόν, ᾧ ἔνι πάντα
of-island wandering broad recess which in all
δαίδαλα χάλκευεν ῥιπῇ πυρός· ἡ δ᾽ ἄρα μούνη
cunning-works he-forged by-blast of-fire she and then alone
ἧστο δόμῳ δινωτὸν ἀνὰ θρόνον, ἄντα θυράων.
sat in-house inlaid on throne facing doors
λευκοῖσιν δ᾽ ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις
on-white and on-either-side hair having-let-fall on-shoulders
κόσμει χρυσείῃ διὰ κερκίδι, μέλλε δὲ μακροὺς
she-combed golden with comb was-about and long
πλέξασθαι πλοκάμους· τὰς δὲ προπάροιθεν ἰδοῦσα
to-braid tresses them and before seeing
ἔσχεθεν, εἴσω τέ σφ᾽ ἐκάλει, καὶ ἀπὸ θρόνου ὦρτο,
stopped within both them called and from throne rose
εἶσέ τ᾽ ἐνὶ κλισμοῖσιν· ἀτὰρ μετέπειτα καὶ αὐτὴ
seated and on chairs but afterward also herself
ἵζανεν, ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
sat uncombed and with-hands bound-up hair
τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν·
such and smiling addressed wily

“ Ἠθεῖαι, τίς δεῦρο νόος χρειώ τε κομίζει
Dear-ones what here purpose need and brings
δηναιὰς αὖτως; τί δ’ ἰκάνετον, οὔτι πάρος γε
after-long-time just-so why and come-you not-at-all before indeed
λίην φοιτίζουσαι, ἐπεὶ περίεστε θεάων;”
very visiting since you-are-foremost of-goddesses
Τὴν δ’ Ἥρη τοίοισιν ἀμειβομένη προσέειπεν· 55
Her and Hera with-such answering addressed
“Κερτομέεις· νῶιν δὲ κέαρ συνορίνεται ἄτῃ.
You-mock to-us-two and heart is-stirred by-ruin
ἤδη γὰρ ποταμῷ ἐνὶ Φάσιδι νῆα κατίσχει
already for river in Phasis ship moors
Αἰσονίδης, ἠδ’ ἄλλοι ὅσοι μετὰ κῶας ἕπονται.
son-of-Aeson and others as-many-as after fleece follow
τῶν ἤτοι πάντων μέν, ἐπεὶ πέλας ἔργον ὄρωρεν,
of-them truly all indeed since near work has-arisen
δείδιμεν ἐκπάγλως, περὶ δ’ Αἰσονίδαο μάλιστα. 60
we-fear terribly beyond and the-son-of-Aeson most
τὸν μὲν ἐγών, εἰ καί περ ἐς Ἄιδα ναυτίλληται
him indeed I if even indeed to Hades should-sail
λυσόμενος χαλκέων Ἰξίονα νειόθι δεσμῶν,
to-be-going-to-loose bronze Ixion beneath from-bonds
ῥύσομαι, ὅσσον ἐμοῖσιν ἐνὶ σθένος ἔπλετο γυίοις,
will-rescue as-much-as my in strength is limbs
ὄφρα μὴ ἐγγελάσῃ Πελίης κακὸν οἶτον ἀλύξας,
so-that not may-laugh Pelias evil fate having-escaped
ὅς μ’ ὑπερηνορέῃ θυέων ἀγέραστον ἔθηκεν. 65
who me in-arrogance of-sacrifices without-honor made

καὶ δ᾽ ἄλλως ἔτι καὶ πρὶν ἐμοὶ μέγα φίλατ᾽ Ἰήσων
and and otherwise still also before to-me greatly was-loved Jason
ἐξότ᾽ ἐπὶ προχοῇσιν ἅλις πλήθοντος Ἀναύρου
since at the-mouths fully swelling of-Anaurus
ἀνδρῶν εὐνομίης πειρωμένῃ ἀντεβόλησεν
of-men the-righteousness testing he-met
θήρης ἐξανιών· νιφετῷ δ᾽ ἐπαλύνετο πάντα
from-the-hunt returning with-snow and were-sprinkled all
οὔρεα καὶ σκοπιαὶ περιμήκεες, οἱ δὲ κατ᾽ αὐτῶν
mountains and peaks very-high they and down them
χείμαρροι καναχηδὰ κυλινδόμενοι φορέοντο.
torrents roaring rolling were-borne
γρηὶ δέ μ᾽ εἰσαμένην ὀλοφύρατο, καί μ᾽ ἀναείρας
to-an-old-woman and me likened he-pitied and me lifting
αὐτὸς ἑοῖς ὤμοισι διὲκ προαλὲς φέρεν ὕδωρ.
himself on-his-own shoulders through steep carried water
τῷ νύ μοι ἄλληκτον περιτίεται· οὐδέ κε λώβην
therefore now to-me unceasingly he-is-honored nor — the-outrage
τίσειεν Πελίης, εἰ μὴ σύ γε νόστον ὀπάσσεις."
would-pay Pelias if not you indeed return grant
Ὣς ηὔδα· Κύπριν δ᾽ ἐνεοστασίη λάβε μύθων.
So she-spoke Cypris and speechlessness seized of-words
ἄζετο δ᾽ ἀντομένην Ἥρην ἔθεν εἰσορόωσα,
she-was-awed and meeting Hera her seeing
καί μιν ἔπειτ᾽ ἀγανοῖσι προσέννεπεν ἧγ᾽ ἐπέεσσιν·
and her then with-gentle addressed she with-words

"Πότνα θεά, μή τοί τι κακώτερον ἄλλο πέλοιτο
Queen goddess not to-you any worse other may-be
Κύπριδος, εἰ δὴ σεῖο λιλαιομένης ἀθερίζω
than-Cypris if indeed you desiring I-slight
ἠ ἔπος ἠέ τι ἔργον, ὅ κεν χέρες αἴγε κάμοιεν
either word or any deed which — hands these may-work
ἠπεδαναί· καὶ μή τις ἀμοιβαίη χάρις ἔστω."
feeble and not any return favor let-be
Ὣς ἔφαθ'· Ἥρη δ' αὖτις ἐπιφραδέως ἀγόρευσεν·
So she-spoke Hera and in-turn wisely spoke
"Οὔτι βίης χατέουσαι ἱκάνομεν, οὐδέ τι χειρῶν.
Not-at-all of-force needing we-come nor any of-hands
ἀλλ' αὕτως ἀκέουσα τεῷ ἐπικέκλεο παιδὶ
but just-so quietly to-your give-command son
παρθένον Αἰήτεω θέλξαι πόθῳ Αἰσονίδαο.
the-maiden of-Aeetes to-charm with-desire for-the-son-of-Aeson
εἰ γάρ οἱ κείνη συμφράσσεται εὐμενέουσα,
if for to-him she shall-help being-kind
ῥηιδίως μιν ἑλόντα δέρος χρύσειον ὀίω
easily him having-taken fleece golden I-think
νοστήσειν ἐς Ἰωλκόν, ἐπεὶ δολόεσσα τέτυκται."
to-be-going-to-return to Iolcus since crafty she-is
Ὣς ἄρ' ἔφη· Κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν·
So then she-spoke Cypris and to both spoke
" Ἥρη, Ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα,
Hera Athena and he-would-obey — you rather

ἢ ἐμοί. ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι
than me of-you for to-shameless though being
τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν· αὐτὰρ ἐμεῖο
little indeed shame will-be in eyes but of-me
οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.
not he-heeds very and ever provoking slights
καὶ δή οἱ μενέηνα, περισχομένη κακότητι,
and indeed for-him I-was-eager overcome by-the-evil
αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀιστοὺς
with-very bow ill-sounding to-break arrows
ἀμφαδίην. τοῖον γὰρ ἐπηπείλησε χαλεφθείς,
openly such for he-threatened angered
εἰ μὴ τηλόθι χεῖρας, ἕως ἔτι θυμὸν ἐρύκει,
if not far hands while still heart he-restrains
ἕξω ἐμάς, μετέπειτά γ' ἀτεμβοίμην ἑοῖ αὐτῇ."
I-will-keep my afterward indeed I-should-blame my- -self
Ὣς φάτο· μείδησαν δὲ θεαί, καὶ ἐσέδρακον ἄντην
So she-spoke smiled and the-goddesses and looked opposite
ἀλλήλαις. ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν·
at-one-another she and again grieving addressed
" Ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει· οὐδέ τί με χρὴ
To-others pains my laughter is nor any me it-befits
μυθεῖσθαι πάντεσσιν· ἅλις εἰδυῖα καὶ αὐτή.
to-tell to-all enough knowing also myself
νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσιν,
now and since to-you dear this indeed is to-both
πειρήσω, καί μιν μειλίξομαι, οὐδ' ἀπιθήσει."
I-will-try and him I-will-coax nor will-he-disobey

Ὣς φάτο· τὴν δ᾽ Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρός,
So she-spoke her and Hera slender took hand
ἦκα δὲ μειδιόωσα παραβλήδην προσέειπεν·
gently and smiling in-reply addressed
“Οὕτω νῦν, Κυθέρεια, τόδε χρέος, ὡς ἀγορεύεις,
So now Cytherea this need as you-say
ἔρξον ἄφαρ· καὶ μή τι χαλέπτεο, μηδ᾽ ἐρίδαινε
do at-once and not at-all be-angry nor contend
χωομένη σῷ παιδί· μεταλλήξει γὰρ ὀπίσσω.” 110
raging with-your son he-will-cease for hereafter
Ἦ ῥα, καὶ ἔλλιπε θῶκον· ἐφωμάρτησε δ᾽ Ἀθήνη·
She-spoke then and left seat accompanied and Athena
ἐκ δ᾽ ἴσαν ἄμφω ταίγε παλίσσυτοι. ἡ δὲ καὶ αὐτὴ
out and went both they back she and also herself
βῆ ῥ᾽ ἴμεν Οὐλύμποιο κατὰ πτύχας, εἴ μιν ἐφεύροι.
went then to-go of-Olympus through folds if him she-might-find
εὗρε δὲ τόνγ᾽ ἀπάνευθε Διὸς θαλερῇ ἐν ἀλωῇ,
found and him apart-from of-Zeus blooming in orchard
οὐκ οἷον, μετὰ καὶ Γανυμήδεα, τόν ῥά ποτε Ζεὺς 115
not alone with also Ganymede whom then once Zeus
οὐρανῷ ἐγκατένασσεν ἐφέστιον ἀθανάτοισιν,
in-heaven settled sharing-the-hearth with-the-immortals
κάλλεος ἱμερθείς. ἀμφ᾽ ἀστραγάλοισι δὲ τώγε
with-beauty smitten around knucklebones and the-two
χρυσείοις, ἅ τε κοῦροι ὁμήθεες, ἐψιόωντο.
golden as — boys of-like-mind played
καί ῥ᾽ ὁ μὲν ἤδη πάμπαν ἐνίπλεον ᾧ ὑπὸ μαζῷ
and then he indeed already wholly full which under breast
μάργος Ἔρως λαιῆς ὑποΐσχανε χειρὸς ἀγοστόν, 120
greedy Eros of-left held-up of-hand palm

ὀρθὸς ἐφεστηώς· γλυκερὸν δέ οἱ ἀμφὶ παρειὰς
upright standing sweet and for-him about cheeks
χροιῇ θάλλεν ἔρευθος. ὁ δ' ἐγγύθεν ὀκλαδὸν ἧστο
in-skin bloomed blush he and near squatting sat
σῖγα κατηφιόων· δοιὼ δ' ἔχεν, ἄλλον ἔτ' αὖτως
silently downcast two and he-had another still just-so
ἄλλῳ ἐπιπροϊείς, κεχόλωτο δὲ καγχαλόωντι.
on-other throwing was-angry and at-the-laughing
καὶ μὴν τούσγε παρᾶσσον ἐπὶ προτέροισιν ὀλέσσας
and truly them at-once on former having-lost
βῆ κενεαῖς σὺν χερσὶν ἀμήχανος, οὐδ' ἐνόησεν
went empty with hands helpless nor did-he-notice
Κύπριν ἐπιπλομένην. ἡ δ' ἀντίη ἵστατο παιδός,
Cypris approaching she and opposite stood of-son
καί μιν ἄφαρ γναθμοῖο κατασχομένη προσέειπεν·
and him at-once by-chin holding addressed
"Τίπτ' ἐπιμειδιάᾳς, ἄφατον κακόν; ἦέ μιν αὖτως
Why do-you-smile unspeakable evil truly him just-so
ἤπαφες, οὐδὲ δίκῃ περιέπλεο νῆιν ἐόντα;
you-cheated nor with-justice did-you-win innocent being
εἰ δ' ἄγε μοι πρόφρων τέλεσον χρέος, ὅττι κεν εἴπω·
if and come for-me gladly fulfill task whatever — I-tell
καί κέν τοι ὀπάσαιμι Διὸς περικαλλὲς ἄθυρμα
and — to-you I-would-give of-Zeus very-beautiful plaything
κεῖνο, τό οἱ ποίησε φίλη τροφὸς Ἀδρήστεια
that which for-him made dear nurse Adrastea
ἄντρῳ ἐν Ἰδαίῳ ἔτι νήπια κουρίζοντι,
cave in Idaean still childish-things being-a-child

σφαῖραν ἐυτρόχαλον, τῆς οὐ σύγε μείλιον ἄλλο
ball well-running than-which not you sweet other
χειρῶν Ἡφαίστοιο κατακτεατίσσῃ ἄρειον.
from-the-hands of-Hephaestus will-win better
χρύσεα μέν οἱ κύκλα τετεύχαται· ἀμφὶ δ' ἑκάστῳ
golden indeed for-it circles are-made around and each
διπλόαι ἀψῖδες περιηγέες εἰλίσσονται·
double seams curving wind
κρυπταὶ δὲ ῥαφαί εἰσιν· ἕλιξ δ' ἐπιδέδρομε πάσαις
hidden and stitches are spiral and runs-over all
κυανέη. ἀτὰρ εἴ μιν ἑαῖς ἐνὶ χερσὶ βάλοιο,
dark-blue but if it your in hands you-cast
ἀστὴρ ὥς, φλεγέθοντα δι' ἠέρος ὁλκὸν ἴησιν.
star like flaming through air track it-sends
τήν τοι ἐγὼν ὀπάσω· σὺ δὲ παρθένον Αἰήταο
it to-you I will-give you and maiden of-Aeetes
θέλξον ὀιστεύσας ἐπ' Ἰήσονι· μηδέ τις ἔστω
charm having-shot for Jason nor any let-be
ἀμβολίη. δὴ γάρ κεν ἀφαυροτέρη χάρις εἴη."
delay indeed for — feebler thanks would-be
Ὣς φάτο· τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαίοντι.
So she-spoke to-him and welcome word was hearing
μείλια δ' ἔκβαλε πάντα, καὶ ἀμφοτέρῃσι χιτῶνος
toys and he-threw-down all and with-both of-tunic
νωλεμὲς ἔνθα καὶ ἔνθα θεᾶς ἔχεν ἀμφιμεμαρπώς.
unceasingly here and there of-goddess held clinging

λίσσετο δ' αἶψα πορεῖν αὐτοσχεδόν· ἡ δ' ἀγανοῖσιν
begged and at-once to-give straightway she and with-gentle
ἀντομένη μύθοισιν, ἐπειρύσσασα παρειάς,
meeting with-words drawing-toward cheeks
κύσσε ποτισχομένη, καὶ ἀμείβετο μειδιόωσα·
kissed holding-him and answered smiling
" Ἴστω νῦν τόδε σεῖο φίλον κάρη ἠδ' ἐμὸν αὐτῆς,
Let-witness now this your dear head and my of-myself
ἦ μέν τοι δῶρόν γε παρέξομαι, οὐδ' ἀπατήσω,
truly indeed to-you gift indeed I-will-give nor will-I-deceive
εἴ κεν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο."
if — you-strike-into in-the-maiden arrow of-Aeetes
Φῆ· ὁ δ' ἄρ' ἀστραγάλους συναμήσατο, κὰδ δὲ φαεινῷ
She-spoke he and then knucklebones gathered down and in-shining
μητρὸς ἑῆς εὖ πάντας ἀριθμήσας βάλε κόλπῳ.
of-mother his-own well all having-counted threw in-lap
αὐτίκα δ' ἰοδόκην χρυσέῃ περικάτθετο μίτρῃ
at-once and quiver with-golden put-around with-band
πρέμνῳ κεκλιμένην· ἀνὰ δ' ἀγκύλον εἵλετο τόξον.
against-trunk leaning up and curved took bow
βῆ δὲ διὲκ μεγάροιο Διὸς πάγκαρπον ἀλωήν.
went and through of-hall of-Zeus all-fruitful orchard
αὐτὰρ ἔπειτα πύλας ἐξήλυθεν Οὐλύμποιο
but then gates went-out of-Olympus
αἰθερίας· ἔνθεν δὲ καταιβάτις ἐστὶ κέλευθος
heavenly thence and descending is path

οὐρανίη· δοιὼ δὲ πόλοι ἀνέχουσι κάρηνα
heavenly two and poles hold-up heads
οὐρέων ἠλιβάτων, κορυφαὶ χθονός, ᾗχί τ' ἀερθεὶς
of-mountains steep peaks of-earth where and raised
ἠέλιος πρώτῃσιν ἐρεύθεται ἀκτίνεσσιν.
sun with-first reddens with-rays
νειόθι δ' ἄλλοτε γαῖα φερέσβιος ἄστεά τ' ἀνδρῶν
below and sometimes earth life-giving towns and of-men
φαίνετο καὶ ποταμῶν ἱεροὶ ῥόοι, ἄλλοτε δ' αὖτε
appeared and of-rivers sacred streams sometimes and in-turn
ἄκριες, ἀμφὶ δὲ πόντος ἀν' αἰθέρα πολλὸν ἰόντι.
peaks around and sea through air far going

III.2 · JASON GOES TO AEETES

Jason proposes to go to Aeetes and ask for the fleece with gentle words, taking the sons of Phrixus, Telamon, and Augeas. They pass through the plain of Circe, where corpses hang from willows, and Hera hides them in a mist as they pass through the town. They come to the palace of Aeetes and Chalciope embraces her returned sons.

Ἥρωες δ' ἀπάνευθεν ἑῆς ἐπὶ σέλμασι νηὸς
Heroes and apart of-their-own on benches of-ship
ἐν ποταμῷ καθ' ἕλος λελοχημένοι ἠγορόωντο.
in river in marsh lying-in-wait held-assembly
αὐτὸς δ' Αἰσονίδης μετεφώνεεν· οἱ δ' ὑπάκουον
himself and son-of-Aeson spoke-among they and listened
ἠρέμας ᾗ ἐνὶ χώρῃ ἐπισχερὼ ἑδριόωντες·
quietly his-own in place in-order sitting

" Ὦ φίλοι, ἤτοι ἐγὼ μὲν ὅ μοι ἐπιανδάνει αὐτῷ
O friends truly I indeed what to-me pleases myself
ἐξερέω· τοῦ δ' ὔμμι τέλος κρηῆναι ἔοικεν.
will-tell of-it and for-you the-end to-accomplish befits
ξυνὴ γὰρ χρειώ, ξυνοὶ δέ τε μῦθοι ἔασιν
common for the-need common and — words are
πᾶσιν ὁμῶς· ὁ δὲ σῖγα νόον βουλήν τ' ἀπερύκων
to-all alike he and silently thought counsel and withholding
ἴστω καὶ νόστου τόνδε στόλον οἷος ἀπούρας.
let-him-know also of-return this expedition alone robbing
ὤλλοι μὲν κατὰ νῆα σὺν ἔντεσι μίμνεθ' ἕκηλοι·
the-others indeed by ship with arms remain quietly
αὐτὰρ ἐγὼν ἐς δώματ' ἐλεύσομαι Αἰήταο,
but I to the-house will-go of-Aeetes
υἷας ἑλὼν Φρίξοιο δύω δ' ἐπὶ τοῖσιν ἑταίρους.
sons having-taken of-Phrixus two and besides them comrades
πειρήσω δ' ἐπέεσσι παροίτερον ἀντιβολήσας,
I-will-try and with-words first meeting
εἴ κ' ἐθέλοι φιλότητι δέρος χρύσειον ὀπάσσαι,
if — he-would-wish in-friendship fleece golden to-give
ἦε καὶ οὔ, πίσυνος δὲ βίῃ μετιόντας ἀτίσσει.
or also not trusting and in-force the-comers he-will-slight
ὧδε γὰρ ἐξ αὐτοῖο πάρος κακότητα δαέντες
so for from himself first the-evil having-learned
φρασσόμεθ', εἴτ' ἄρηι συνοισόμεθ', εἴτε τις ἄλλη
we-will-consider whether in-war we-will-engage or some other
μῆτις ἐπίρροθος ἔσται ἐργομένοισιν ἀυτῆς.
plan helpful will-be to-us-refraining from-the-battle-cry
μηδ' αὔτως ἀλκῇ, πρὶν ἔπεσσί γε πειρηθῆναι,
nor just-so by-strength before with-words indeed to-make-trial

τόνδ᾽ ἀπαμείρωμεν σφέτερον κτέρας. ἀλλὰ πάροιθεν
this let-us-rob his-own possession but before
λωίτερον μύθῳ μιν ἀρέσσασθαι μετιόντας.
better with-word him to-win going-to
πολλάκι τοι ῥέα μῦθος, ὅ κεν μόλις ἐξανύσειεν
often you-know easily a-word what — hardly would-accomplish
ἠνορέη, τόδ᾽ ἔρεξε κατὰ χρέος, ἦπερ ἐῴκει
manliness this accomplished in need as was-fitting
πρηΰνας. ὁ δὲ καί ποτ᾽ ἀμύμονα Φρίξον ἔδεκτο
having-soothed he and also once blameless Phrixus received
μητρυιῆς φεύγοντα δόλον πατρός τε θυηλάς.
of-stepmother fleeing the-guile of-father and the-sacrifices
πάντες ἐπεὶ πάντῃ καὶ ὅτις μάλα κύντατος ἀνδρῶν,
all since everywhere even whoever very most-shameless of-men
Ξεινίου αἰδεῖται Ζηνὸς θέμιν ἠδ᾽ ἀλεγίζει.”
of-the-Hospitable respects of-Zeus the-law and heeds
Ὣς φάτ᾽· ἐπῄνησαν δὲ νέοι ἔπος Αἰσονίδαο
So he-spoke approved and the-young-men the-word of-the-son-of-Aeson
πασσυδίῃ, οὐδ᾽ ἔσκε παρὲξ ὅτις ἄλλο κελεύοι.
all-together nor was apart-from who other would-urge
καὶ τότ᾽ ἄρ᾽ υἱῆας Φρίξου Τελαμῶνά θ᾽ ἕπεσθαι
and then then the-sons of-Phrixus Telamon and to-follow
ὦρσε καὶ Αὐγείην· αὐτὸς δ᾽ ἕλεν Ἑρμείαο
roused and Augeas himself and took of-Hermes
σκῆπτρον· ἄφαρ δ᾽ ἄρα νηὸς ὑπὲρ δόνακάς τε καὶ ὕδωρ
staff at-once and then from-ship over reeds both and water
χέρσονδ᾽ ἐξαπέβησαν ἐπὶ θρωσμοῦ πεδίοιο.
to-the-land they-stepped-out to rising of-plain

Κιρκαῖον τόδε που κικλήσκεται· ἔνθα δὲ πολλαὶ
Circaean this surely is-called where and many
ἐξείης πρόμαλοί τε καὶ ἰτέαι ἐκπεφύασιν,
in-order tamarisks both and willows have-grown
τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται
of-which also on topmost corpses by-ropes hang
δέσμιοι. εἰσέτι νῦν γὰρ ἄγος Κόλχοισιν ὄρωρεν
bound still now for an-abomination for-Colchians it-is
ἀνέρας οἰχομένους πυρὶ καιέμεν· οὐδ' ἐνὶ γαίῃ
men departed with-fire to-burn nor in earth
ἔστι θέμις στείλαντας ὕπερθ' ἐπὶ σῆμα χέεσθαι,
it-is lawful having-laid above on mound to-heap
ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις
but in untanned having-wrapped ox-hides
δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος. ἠέρι δ' ἴσην
from-trees to-hang far of-town to-air and equal
καὶ χθὼν ἔμμορεν αἶσαν, ἐπεὶ χθονὶ ταρχύουσιν
also earth has-share portion since in-earth they-bury
θηλυτέρας· ἡ γάρ τε δίκη θεσμοῖο τέτυκται.
women this for — the-justice of-custom is
Τοῖσι δὲ νισσομένοις Ἥρη φίλα μητιόωσα
To-them and going Hera friendly devising
ἠέρα πουλὺν ἐφῆκε δι' ἄστεος, ὄφρα λάθοιεν
mist much sent through town so-that they-might-escape-notice
Κόλχων μυρίον ἔθνος ἐς Αἰήταο κιόντες.
of-Colchians countless nation to of-Aeetes going
ὦκα δ' ὅτ' ἐκ πεδίοιο πόλιν καὶ δώματ' ἵκοντο
quickly and when from plain city and house they-came
Αἰήτεω, τότε δ' αὖτις ἀπεσκέδασεν νέφος Ἥρη.
of-Aeetes then and again scattered cloud Hera

ἔσταν δ᾽ ἐν προμολῇσι τεθηπότες ἔρκε᾽ ἄνακτος
they-stood and in entrance marveling-at the-courts of-the-king
εὐρείας τε πύλας καὶ κίονας, οἳ περὶ τοίχους
broad both gates and columns which around walls
ἑξείης ἄνεχον· θριγκὸς δ᾽ ἐφύπερθε δόμοιο
in-order rose coping and above of-the-house
λαΐνεος χαλκέῃσιν ἐπὶ γλυφίδεσσιν ἀρήρει.
stone bronze on triglyphs was-fitted
εὔκηλοι δ᾽ ὑπὲρ οὐδὸν ἔπειτ᾽ ἔβαν. ἄγχι δὲ τοῖο
quietly and over threshold then they-went near and it
ἠμερίδες χλοεροῖσι καταστεφέες πετάλοισιν
garden-vines with-green crowned with-leaves
ὑψοῦ ἀειρόμεναι μέγ᾽ ἐθήλεον. αἱ δ᾽ ὑπὸ τῇσιν
high rising greatly flourished they and under them
ἀέναοι κρῆναι πίσυρες ῥέον, ἃς ἐλάχηνεν
ever-flowing springs four flowed which dug
Ἥφαιστος. καί ῥ᾽ ἡ μὲν ἀναβλύεσκε γάλακτι,
Hephaestus and then the-one indeed gushed with-milk
ἡ δ᾽ οἴνῳ, τριτάτη δὲ θυώδεϊ νᾶεν ἀλοιφῇ·
the-other and with-wine third and with-fragrant flowed oil
ἡ δ᾽ ἄρ᾽ ὕδωρ προρέεσκε, τὸ μέν ποθι δυομένῃσιν
the-other and then water flowed-forth it indeed surely at-setting
θέρμετο Πληιάδεσσιν, ἀμοιβηδὶς δ᾽ ἀνιούσαις
grew-warm at-the-Pleiades in-turn and at-rising
κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης.
to-crystal like from-hollow bubbled-up rock
τοῖ᾽ ἄρ᾽ ἐνὶ μεγάροισι Κυταιέος Αἰήταο
such then in halls of-Cytaean Aeetes
τεχνήεις Ἥφαιστος ἐμήσατο θέσκελα ἔργα.
skillful Hephaestus devised wondrous works

καί οἱ χαλκόποδας ταύρους κάμε, χάλκεα δέ σφεων
and for-him bronze-footed bulls he-wrought bronze and their
ἦν στόματ', ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκον·
were mouths from and of-fire dread flame breathed-out
πρὸς δὲ καὶ αὐτόγυον στιβαροῦ ἀδάμαντος ἄροτρον
besides and also of-one-piece of-sturdy adamant plow
ἤλασεν, Ἠελίῳ τίνων χάριν, ὅς ῥά μιν ἵπποις
forged for-Helios paying thanks who then him with-horses
δέξατο, Φλεγραίῃ κεκμηότα δηιοτῆτι.
received at-Phlegraean worn-out in-battle
ἔνθα δὲ καὶ μέσσαυλος ἐλήλατο· τῇ δ' ἐπὶ πολλαὶ
there and also inner-court had-been-built it and on many
δικλίδες εὐπηγεῖς θάλαμοί τ' ἔσαν ἔνθα καὶ ἔνθα·
folding-doors well-fitted chambers and were here and there
δαιδαλέη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο.
cunning and colonnade along on-either-side was-made
λέχρις δ' αἰπύτεροι δόμοι ἕστασαν ἀμφοτέρωθεν.
crosswise and higher houses stood on-both-sides
τῶν ἤτοι ἄλλῳ μέν, ὅτις καὶ ὑπείροχος ἦεν,
of-them truly in-one indeed whichever also loftiest was
κρείων Αἰήτης σὺν ἑῇ ναίεσκε δάμαρτι·
lord Aeetes with his-own dwelt wife
ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάις Αἰήταο.
in-another and Apsyrtus dwelt son of-Aeetes
τὸν μὲν Καυκασίη νύμφη τέκεν Ἀστερόδεια
him indeed Caucasian nymph bore Asterodeia
πρίν περ κουριδίην θέσθαι Εἰδυῖαν ἄκοιτιν,
before indeed wedded to-take Idyia wife
Τηθύος Ὠκεανοῦ τε πανοπλοτάτην γεγαυῖαν.
of-Tethys of-Ocean and youngest being

καί μιν Κόλχων υἷες ἐπωνυμίην Φαέθοντα
and him of-Colchians sons by-name Phaethon
ἔκλεον, οὕνεκα πᾶσι μετέπρεπεν ἠιθέοισιν.
called because among-all he-was-conspicuous young-men
τοὺς δ' ἔχον ἀμφίπολοί τε καὶ Αἰήταο θύγατρες
them and held handmaids both and of-Aeetes daughters
ἄμφω, Χαλκιόπη Μήδειά τε. τὴν μὲν ἄρ' οἵγε
both Chalciope Medea and her indeed then they
ἐκ θαλάμου θάλαμόνδε κασιγνήτην μετιοῦσαν —
from chamber to-chamber sister visiting
Ἥρη γάρ μιν ἔρυκε δόμῳ· πρὶν δ' οὔτι θάμιζεν
Hera for her kept in-house before and not-at-all came-often
ἐν μεγάροις, Ἑκάτης δὲ πανήμερος ἀμφεπονεῖτο
in hall of-Hecate and all-day busied-herself-about
νηόν, ἐπεί ῥα θεᾶς αὐτὴ πέλεν ἀρήτειρα —
temple since then of-the-goddess herself was priestess
καί σφεας ὡς ἴδεν ἆσσον, ἀνίαχεν· ὀξὺ δ' ἄκουσεν
and them when she-saw near cried-out sharply and heard
Χαλκιόπη· δμωαὶ δὲ ποδῶν προπάροιθε βαλοῦσαι
Chalciope maidservants and of-feet before having-thrown
νήματα καὶ κλωστῆρας ἀολλέες ἔκτοθι πᾶσαι
threads and spindles in-a-throng outside all
ἔδραμον. ἡ δ' ἅμα τοῖσιν ἑοὺς υἱῆας ἰδοῦσα
ran she and with them her-own sons seeing
ὑψοῦ χάρματι χεῖρας ἀνέσχεθεν· ὣς δὲ καὶ αὐτοὶ
high for-joy hands raised so and also themselves
μητέρα δεξιόωντο, καὶ ἀμφαγάπαζον ἰδόντες
mother greeted and embraced seeing
γηθόσυνοι· τοῖον δὲ κινυρομένη φάτο μῦθον·
glad such and lamenting she-spoke word

" Ἔμπης οὐκ ἄρ' ἐμέλλετ' ἀκηδείῃ με λιπόντες
Nevertheless not then you-were-to in-heedlessness me leaving
τηλόθι πλάγξασθαι· μετὰ δ' ὑμέας ἔτραπεν αἶσα.
far to-wander back and you turned fate
δειλὴ ἐγώ, οἷον πόθον Ἑλλάδος ἔκποθεν ἄτης
wretched I what longing for-Hellas from-somewhere of-ruin
λευγαλέης Φρίξοιο ἐφημοσύνῃσιν ἕλεσθε
grievous of-Phrixus by-the-behests you-took
πατρός. ὁ μὲν θνήσκων στυγερὰς ἐπετείλατ' ἀνίας
of-father he indeed dying hateful enjoined sorrows
ἡμετέρῃ κραδίῃ. τί δέ κεν πόλιν Ὀρχομενοῖο,
on-our heart why and — city of-Orchomenus
ὅστις ὅδ' Ὀρχομενός, κτεάνων Ἀθάμαντος ἕκητι
whatever this Orchomenus of-possessions of-Athamas for-the-sake
μητέρ' ἑὴν ἀχέουσαν ἀποπρολιπόντες, ἵκοισθε;"
mother your grieving leaving you-would-go
Ὣς ἔφατ'· Αἰήτης δὲ πανύστατος ὦρτο θύραζε,
So she-spoke Aeetes and last rose to-the-door
ἐκ δ' αὐτὴ Εἰδυῖα δάμαρ κίεν Αἰήταο,
out and herself Idyia wife came of-Aeetes
Χαλκιόπης ἀίουσα· τὸ δ' αὐτίκα πᾶν ὁμάδοιο
of-Chalciope hearing the and at-once all with-throng
ἔρκος ἐπεπλήθει. τοὶ μὲν μέγαν ἀμφιπένοντο
court was-filled they indeed great tended
ταῦρον ἅλις δμῶες· τοὶ δὲ ξύλα κάγκανα χαλκῷ
bull abundantly servants others and wood dry with-bronze
κόπτον· τοὶ δὲ λοετρὰ πυρὶ ζέον· οὐδέ τις ἦεν,
cut others and baths with-fire boiled nor any was
ὃς καμάτου μεθίεσκεν, ὑποδρήσσων βασιλῆι.
who from-toil slackened serving for-the-king

Eros, unseen, shoots Medea, who is struck with sudden love for Jason. At the feast Argus tells Aeetes why the strangers have come, and Aeetes, enraged, suspects his grandsons of treachery. Jason answers gently, and Aeetes sets him the contest: to yoke the fire-breathing bulls, plow the field of Ares, sow the serpent's teeth, and cut down the armed men who spring from them, all in one day. Jason accepts.

Τόφρα δ' Ἔρως πολιοῖο δι' ἠέρος ἶξεν ἄφαντος,
So-long and Eros gray through air came unseen
τετρηχώς, οἷόν τε νέαις ἐπὶ φορβάσιν οἶστρος
fierce as — young on heifers gadfly
τέλλεται, ὅν τε μύωπα βοῶν κλείουσι νομῆες.
rises which — horsefly of-oxen call herdsmen
ὦκα δ' ὑπὸ φλιὴν προδόμῳ ἔνι τόξα τανύσσας
quickly and under doorpost the-porch in bow having-strung
ἰοδόκης ἀβλῆτα πολύστονον ἐξέλετ' ἰόν.
from-quiver unshot much-groaning took-out arrow
ἐκ δ' ὅγε καρπαλίμοισι λαθὼν ποσὶν οὐδὸν ἄμειψεν
out and he with-swift unseen with-feet threshold crossed
ὀξέα δενδίλλων· αὐτῷ δ' ὑπὸ βαιὸς ἐλυσθεὶς
sharply glancing himself and under small crouching
Αἰσονίδῃ γλυφίδας μέσσῃ ἐνικάτθετο νευρῇ,
the-son-of-Aeson notches in-middle placed on-string
ἰθὺς δ' ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν
straight and with-both parting hands
ἧκ' ἐπὶ Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν.
shot at Medea her and speechlessness seized heart

αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
he-himself and high-roofed backward from hall
καγχαλόων ἤιξε· βέλος δ' ἐνεδαίετο κούρῃ
exulting darted the-arrow and burned-within in-the-maiden
νέρθεν ὑπὸ κραδίῃ, φλογὶ εἴκελον· ἀντία δ' αἰεὶ
deep under heart to-flame like opposite and ever
βάλλεν ὑπ' Αἰσονίδην ἀμαρύγματα, καί οἱ ἄηντο
she-cast toward the-son-of-Aeson glances and for-her were-blown
στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες, οὐδέ τιν' ἄλλην
breast from shrewd with-pain mind nor any other
μνῆστιν ἔχεν, γλυκερῇ δὲ κατείβετο θυμὸν ἀνίῃ.
thought had with-sweet and melted heart with-grief
ὡς δὲ γυνὴ μαλερῷ περὶ κάρφεα χεύατο δαλῷ
as and woman burning around twigs heaps brand
χερνῆτις, τῇπερ ταλασήια ἔργα μέμηλεν,
a-spinner to-whom wool-working tasks are-a-care
ὥς κεν ὑπωρόφιον νύκτωρ σέλας ἐντύναιτο,
so-that — under-the-roof by-night light she-may-make
ἄγχι μάλ' ἐγρομένη· τὸ δ' ἀθέσφατον ἐξ ὀλίγοιο
near very waking it and wondrous from little
δαλοῦ ἀνεγρόμενον σὺν κάρφεα πάντ' ἀμαθύνει·
brand rising together twigs all consumes
τοῖος ὑπὸ κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ
such under heart wrapped burned secretly
οὖλος Ἔρως· ἁπαλὰς δὲ μετετρωπᾶτο παρειὰς
baneful Eros tender and changed cheeks
ἐς χλόον, ἄλλοτ' ἔρευθος, ἀκηδείῃσι νόοιο.
to pallor at-another-time redness in-the-distraction of-mind

Δμῶες δ᾽ ὁππότε δή σφιν ἐπαρτέα θῆκαν ἐδωδήν,
Servants and when indeed for-them ready they-set food
αὐτοί τε λιαροῖσιν ἐφαιδρύναντο λοετροῖς,
themselves and with-warm had-cleansed-themselves with-baths
ἀσπασίως δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσσαν.
gladly with-supper both drink and heart satisfied
ἐκ δὲ τοῦ Αἰήτης σφετέρης ἐρέεινε θυγατρὸς
from and that Aeetes of-his-own questioned daughter
υἱῆας τοίοισι παρηγορέων ἐπέεσσιν·
sons with-such consoling with-words
"Παιδὸς ἐμῆς κοῦροι Φρίξοιό τε, τὸν περὶ πάντων
Of-daughter my sons of-Phrixus and whom above all
ξείνων ἡμετέροισιν ἐνὶ μεγάροισιν ἔτισα,
strangers our in halls I-honored
πῶς Αἰάνδε νέεσθε παλίσσυτοι; ἦε τίς ἄτη
how to-Aea do-you-come back or some ruin
σωομένους μεσσηγὺς ἐνέκλασεν; οὐ μὲν ἐμεῖο
speeding in-the-midst broke-off not indeed me
πείθεσθε προφέροντος ἀπείρονα μέτρα κελεύθου.
you-obeyed declaring boundless measures of-path
ᾔδειν γάρ ποτε πατρὸς ἐν ἅρμασιν Ἠελίοιο
I-knew for once of-father in chariot of-Helios
δινεύσας, ὅτ᾽ ἐμεῖο κασιγνήτην ἐκόμιζεν
having-whirled when my sister he-carried
Κίρκην ἑσπερίης εἴσω χθονός, ἐκ δ᾽ ἱκόμεσθα
Circe of-western into land out and we-came
ἀκτὴν ἠπείρου Τυρσηνίδος, ἔνθ᾽ ἔτι νῦν περ
shore of-mainland Tyrrhenian where still now indeed
ναιετάει, μάλα πολλὸν ἀπόπροθι Κολχίδος αἴης.
she-dwells very far away from-Colchian land

ἀλλὰ τί μύθων ἦδος; ἃ δ' ἐν ποσὶν ὔμιν ὄρωρεν,
but what of-words pleasure the-things and in feet for-you has-arisen
εἴπατ' ἀριφραδέως, ἠδ' οἵτινες οἵδ' ἐφέπονται
tell clearly and who these follow
ἀνέρες, ὅππῃ τε γλαφυρῆς ἐκ νηὸς ἔβητε."
men where and hollow from ship you-went
Τοιά μιν ἐξερέοντα κασιγνήτων προπάροιθεν
Such him asking of-the-brothers before
Ἄργος ὑποδδείσας ἀμφὶ στόλῳ Αἰσονίδαο
Argus fearing about expedition of-the-son-of-Aeson
μειλιχίως προσέειπεν, ἐπεὶ προγενέστερος ἦεν·
gently addressed since older he-was
"Αἰήτη, κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι
Aeetes that indeed at-once scattered storms
ζαχρηείς· αὐτοὺς δ' ὑπὸ δούρασι πεπτηῶτας
violent ourselves and under timbers crouching
νήσου Ἐνυαλίοιο ποτὶ ξερὸν ἔκβαλε κῦμα
of-island of-Enyalius to dry cast-up wave
λυγαίῃ ὑπὸ νυκτί· θεὸς δέ τις ἄμμ' ἐσάωσεν.
dark in night god and some us saved
οὐδὲ γὰρ αἳ τὸ πάροιθεν ἐρημαίην κατὰ νῆσον
not-even for which the before lonely on island
ἠὐλίζοντ' ὄρνιθες Ἀρήιαι, οὐδ' ἔτι κείνας
roosted birds of-Ares not-even longer them
εὕρομεν. ἀλλ' οἵγ' ἄνδρες ἀπήλασαν, ἐξαποβάντες
we-found but these men drove-away having-landed
νηὸς ἑῆς προτέρῳ ἐνὶ ἤματι· καί σφ' ἀπέρυκεν
of-ship their-own former on day and them held-off
ἡμέας οἰκτείρων Ζηνὸς νόος, ἠέ τις αἶσα,
us pitying of-Zeus mind or some fate

αὐτίκ᾽ ἐπεὶ καὶ βρῶσιν ἅλις καὶ εἵματ᾽ ἔδωκαν,
at-once since also food enough and garments gave
οὔνομά τε Φρίξοιο περικλεὲς εἰσαΐοντες
name and of-Phrixus famous hearing
ἠδ᾽ αὐτοῖο σέθεν· μετὰ γὰρ τεὸν ἄστυ νέονται.
and of-yourself of-you to for your town they-go
χρειὼ δ᾽ ἦν ἐθέλῃς ἐξίδμεναι, οὔ σ᾽ ἐπικεύσω.
need and if you-wish to-know not you I-will-hide
τόνδε τις ἱέμενος πάτρης ἀπάνευθεν ἐλάσσαι
this-man one eager from-fatherland far to-drive
καὶ κτεάνων βασιλεὺς περιώσιον, οὕνεκεν ἀλκῇ
and from-possessions king exceedingly because in-strength
σφωιτέρῃ πάντεσσι μετέπρεπεν Αἰολίδῃσιν,
his-own among-all was-conspicuous sons-of-Aeolus
πέμπει δεῦρο νέεσθαι ἀμήχανον· οὐδ᾽ ὑπαλύξειν
sends here to-go helpless nor to-be-going-to-escape
στεῦται ἀμειλίκτοιο Διὸς θυμαλγέα μῆνιν
he-avers of-implacable of-Zeus heart-grieving wrath
καὶ χόλον, οὐδ᾽ ἄτλητον ἄγος Φρίξοιό τε ποινὰς
and anger nor unbearable pollution of-Phrixus and the-penalties
Αἰολιδέων γενεήν, πρὶν ἐς Ἑλλάδα κῶας ἱκέσθαι.
of-Aeolids the-race before to Hellas fleece to-come
νῆα δ᾽ Ἀθηναίη Παλλὰς κάμεν, οὐ μάλα τοίην,
ship and Athena Pallas built not very such
οἷαί περ Κόλχοισι μετ᾽ ἀνδράσι νῆες ἔασιν,
as indeed Colchians among men ships are

τάων αἰνοτάτης ἐπεκύρσαμεν. ἤλιθα γάρ μιν
of-them the-most-wretched we-met utterly for it
λάβρον ὕδωρ πνοιή τε διέτμαγεν· ἡ δ' ἐνὶ γόμφοις
furious water blast and split it and in bolts
ἴσχεται, ἢν καὶ πᾶσαι ἐπιβρίσωσιν ἄελλαι.
is-held if even all should-fall-on storms
ἶσον δ' ἐξ ἀνέμοιο θέει καὶ ὅτ' ἀνέρες αὐτοὶ
equally and from wind it-runs and when men themselves
νωλεμέως χείρεσσιν ἐπισπέρχωσιν ἐρετμοῖς.
unceasingly with-hands urge with-oars
τῇ δ' ἐναγειράμενος Παναχαίδος εἴ τι φέριστον
in-it and having-gathered of-Panachaean if anything best
ἡρώων, τεὸν ἄστυ μετήλυθε, πόλλ' ἐπαληθεὶς
of-heroes your town he-has-come much having-wandered
ἄστεα καὶ πελάγη στυγερῆς ἁλός, εἴ οἱ ὀπάσσαις.
towns and seas of-hateful sea if to-him you-should-give
αὐτῷ δ' ὥς κεν ἄδῃ, τὼς ἔσσεται· οὐ γὰρ ἱκάνει
to-yourself and as — it-please so it-will-be not for he-comes
χερσὶ βιησόμενος· μέμονεν δέ τοι ἄξια τίσειν
with-hands to-be-going-to-force he-desires and to-you worthy to-pay
δωτίνης, ἀίων ἐμέθεν μέγα δυσμενέοντας
of-the-gift having-heard from-me greatly hostile
Σαυρομάτας, τοὺς σοῖσιν ὑπὸ σκήπτροισι δαμάσσει.
Sauromatae whom your under scepters he-will-subdue
εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις γενεήν τε
if and also name indeed you-desire lineage and
ἴδμεναι, οἵτινές εἰσιν, ἕκαστά γε μυθησαίμην.
to-know who they-are each-thing indeed I-would-tell
τόνδε μέν, οἷό περ οὕνεκ' ἀφ' Ἑλλάδος ὦλλοι ἄγερθεν,
this-one indeed whose indeed for-the-sake from Hellas others gathered

κλείουσ᾽ Αἴσονος υἱὸν Ἰήσονα Κρηθείδαο.
they-call of-Aeson son Jason of-the-son-of-Cretheus
εἰ δ᾽ αὐτοῦ Κρηθῆος ἐτήτυμόν ἐστι γενέθλης,
if and himself of-Cretheus truly he-is of-the-lineage
οὕτω κεν γνωτὸς πατρώιος ἄμμι πέλοιτο.
so — kinsman paternal to-us he-would-be
ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ᾽ ἔσαν Αἰόλου υἷες·
both for Cretheus Athamas and were of-Aeolus sons
Φρίξος δ᾽ αὖτ᾽ Ἀθάμαντος ἔην πάις Αἰολίδαο.
Phrixus and in-turn of-Athamas was son of-the-son-of-Aeolus
τόνδε δ᾽ ἄρ᾽, Ἠελίου γόνον ἔμμεναι εἴ τιν᾽ ἀκούεις,
this-one and then of-Helios offspring to-be if any you-hear
δέρκεαι Αὐγείην· Τελαμὼν δ᾽ ὅγε, κυδίστοιο
you-see Augeas Telamon and he of-most-glorious
Αἰακοῦ ἐκγεγαώς· Ζεὺς δ᾽ Αἰακὸν αὐτὸς ἔτικτεν.
of-Aeacus sprung Zeus and Aeacus himself begot
ὣς δὲ καὶ ὤλλοι πάντες, ὅσοι συνέπονται ἑταῖροι,
so and also others all as-many-as follow comrades
ἀθανάτων υἷές τε καὶ υἱωνοὶ γεγάασιν.”
of-immortals sons both and grandsons are-born

Τοῖα παρέννεπεν Ἄργος· ἄναξ δ᾽ ἐπεχώσατο μύθοις
Such-things spoke Argus the-lord and was-angered at-the-words
εἰσαΐων· ὑψοῦ δὲ χόλῳ φρένες ἠερέθοντο.
hearing high and with-wrath heart was-raised
φῆ δ᾽ ἐπαλαστήσας· μενέαινε δὲ παισὶ μάλιστα
he-spoke and indignant was-enraged and with-sons most
Χαλκιόπης· τῶν γάρ σφε μετελθέμεν οὕνεκ᾽ ἐώλπει·
of-Chalciope of-them for them to-have-come for-the-sake he-thought
ἐκ δέ οἱ ὄμματ᾽ ἔλαμψεν ὑπ᾽ ὀφρύσιν ἱεμένοιο·
out and his eyes flashed under brows in-his-eagerness

"Οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀπόπροθι, λωβητῆρες,
Not at-once from-eyes my away outragers
νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης,
go with-your-very wiles back out-of land
πρίν τινα λευγαλέον τε δέρος καὶ Φρίξον ἰδέσθαι;
before someone grievous both fleece and Phrixus to-see
αὐτίχ' ὁμαρτήσαντες ἀφ' Ἑλλάδος, οὐκ ἐπὶ κῶας,
at-once having-come-together from Hellas not for fleece
σκῆπτρα δὲ καὶ τιμὴν βασιληίδα δεῦρο νέεσθε.
scepters and also honor royal here you-come
εἰ δέ κε μὴ προπάροιθεν ἐμῆς ἥψασθε τραπέζης,
if and — not before my you-had-touched table
ἦ τ' ἂν ἀπὸ γλώσσας τε ταμὼν καὶ χεῖρε κεάσσας
truly — — from tongues both having-cut and hands having-chopped
ἀμφοτέρας, οἷοισιν ἐπιπροέηκα πόδεσσιν,
both with-only I-would-have-sent-forth feet
ὥς κεν ἐρητύοισθε καὶ ὕστερον ὁρμηθῆναι,
so-that — you-might-be-restrained even later to-set-out
οἷα δὲ καὶ μακάρεσσιν ἐπεψεύσασθε θεοῖσιν."
such-things and also against-the-blessed you-have-lied gods
Φῆ ῥα χαλεψάμενος· μέγα δὲ φρένες Αἰακίδαο
He-spoke then enraged greatly and the-heart of-the-son-of-Aeacus
νειόθεν οἰδαίνεσκον· ἐέλδετο δ' ἔνδοθι θυμὸς
from-below swelled longed and within heart
ἀντιβίην ὀλοὸν φάσθαι ἔπος· ἀλλ' ἀπέρυκεν
in-opposition baneful to-speak word but held-back
Αἰσονίδης· πρὸ γὰρ αὐτὸς ἀμείψατο μειλιχίοισιν·
son-of-Aeson before for himself answered with-gentle

"Αἰήτη, σχέο μοι τῷδε στόλῳ. οὔτι γὰρ αὔτως
Aeetes bear for-me with-this with-expedition not-at-all for just-so
ἄστυ τεὸν καὶ δώμαθ' ἱκάνομεν, ὥς που ἔολπας,
town your and halls we-come as surely you-expect
οὐδὲ μὲν ἱέμενοι. τίς δ' ἂν τόσον οἶδμα περῆσαι
nor indeed eager who and — so-great swell to-cross
τλαίη ἑκὼν ὀθνεῖον ἐπὶ κτέρας; ἀλλά με δαίμων
would-dare willingly foreign for possession but me deity
καὶ κρυερὴ βασιλῆος ἀτασθάλου ὦρσεν ἐφετμή.
and chilly of-king of-reckless roused command
δὸς χάριν ἀντομένοισι· σέθεν δ' ἐγὼ Ἑλλάδι πάσῃ
give favor to-the-supplicating of-you and I to-Hellas all
θεσπεσίην οἴσω κληηδόνα· καὶ δέ τοι ἤδη
divine will-bring fame and and to-you already
πρόφρονές εἰμεν ἄρηι θοὴν ἀποτῖσαι ἀμοιβήν,
eager we-are in-war swift to-pay requital
εἴτ' οὖν Σαυρομάτας γε λιλαίεαι, εἴτε τιν' ἄλλον
whether then Sauromatae indeed you-desire or some other
δῆμον σφωιτέροισιν ὑπὸ σκήπτροισι δαμάσσαι."
people your-own under scepters to-subdue
Ἴσκεν ὑποσσαίνων ἀγανῇ ὀπί· τοῖο δὲ θυμὸς
He-spoke fawning with-gentle voice his and heart
διχθαδίην πόρφυρεν ἐνὶ στήθεσσι μενοινήν,
twofold pondered in breast purpose
ἤ σφεας ὁρμηθεὶς αὐτοσχεδὸν ἐξεναρίζοι,
whether them rushing straightway he-should-slay
ἦ ὅγε πειρήσαιτο βίης. τό οἱ εἴσατ' ἄρειον
or he should-make-trial of-strength it to-him seemed better
φραζομένῳ· καὶ δή μιν ὑποβλήδην προσέειπεν·
considering and indeed him in-reply addressed

"Ξεῖνε, τί κεν τὰ ἕκαστα διηνεκέως ἀγορεύοις;
Stranger why — the each-thing at-length would-you-tell
εἰ γὰρ ἐτήτυμόν ἐστε θεῶν γένος, ἠὲ καὶ ἄλλως
if for truly you-are of-gods race or also otherwise
οὐδὲν ἐμεῖο χέρηες ἐπ' ὀθνείοισιν ἔβητε,
not-at-all than-me inferior for foreign you-came
δώσω τοι χρύσειον ἄγειν δέρος, αἴ κ' ἐθέλῃσθα,
I-will-give to-you golden to-take fleece if — you-wish
πειρηθείς. ἐσθλοῖς γὰρ ἐπ' ἀνδράσιν οὔτι μεγαίρω,
having-made-trial noble for at men not-at-all I-grudge
ὡς αὐτοὶ μυθεῖσθε τὸν Ἑλλάδι κοιρανέοντα.
as yourselves tell the-one in-Hellas ruling
πεῖρα δέ τοι μένεός τε καὶ ἀλκῆς ἔσσετ' ἄεθλος,
trial and to-you of-strength both and of-valor will-be contest
τόν ῥ' αὐτὸς περίειμι χεροῖν ὀλοόν περ ἐόντα.
which then myself I-surpass with-hands baneful though being
δοιώ μοι πεδίον τὸ Ἀρήιον ἀμφινέμονται
two to-me plain the of-Ares graze
ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντες·
bulls bronze-footed with-mouth flame breathing
τοὺς ἐλάω ζεύξας στυφελὴν κατὰ νειὸν Ἄρηος
them I-drive having-yoked hard through fallow of-Ares
τετράγυον, τὴν αἶψα ταμὼν ἐπὶ τέλσον ἀρότρῳ
of-four-acres it quickly cutting to the-end with-plow
οὐ σπόρον ὁλκοῖσιν Δηοῦς ἐνιβάλλομαι ἀκτήν,
not seed in-furrows of-Deo I-cast grain

ἀλλ᾽ ὄφιος δεινοῖο μεταλδήσκοντας ὀδόντας
but of-serpent dread growing-up teeth
ἀνδράσι τευχηστῇσι δέμας. τοὺς δ᾽ αὖθι δαΐζων
into-men armed in-form them and there slaying
κείρω ἐμῷ ὑπὸ δουρὶ περισταδὸν ἀντιόωντας.
I-cut-down my under spear standing-around opposing
ἠέριος ζεύγνυμι βόας, καὶ δείελον ὥρην
at-dawn I-yoke the-oxen and at-evening hour
παύομαι ἀμήτοιο. σὺ δ᾽, εἰ τάδε τοῖα τελέσσεις,
I-cease from-harvest you and if these such you-accomplish
αὐτῆμαρ τόδε κῶας ἀποίσεαι εἰς βασιλῆος·
on-the-same-day this fleece you-will-carry-off to of-the-king
πρὶν δέ κεν οὐ δοίην, μηδ᾽ ἔλπεο. δὴ γὰρ ἀεικὲς
before and — not I-would-give nor expect indeed for shameful
ἄνδρ᾽ ἀγαθὸν γεγαῶτα κακωτέρῳ ἀνέρι εἶξαι.”
man good being to-a-worse to-man to-yield
Ὣς ἄρ᾽ ἔφη· ὁ δὲ σῖγα ποδῶν πάρος ὄμματα πήξας
So then he-spoke he and silently of-feet before eyes fixing
ἧστ᾽ αὔτως ἄφθογγος, ἀμηχανέων κακότητι.
sat just-so speechless helpless at-the-evil
βουλὴν δ᾽ ἀμφὶ πολὺν στρώφα χρόνον, οὐδέ πῃ εἶχεν
counsel and about long turned time nor anyhow was-be-able
θαρσαλέως ὑποδέχθαι, ἐπεὶ μέγα φαίνετο ἔργον·
boldly to-accept since great appeared the-task
ὀψὲ δ᾽ ἀμειβόμενος προσελέξατο κερδαλέοισιν·
late and answering addressed with-crafty

"Αἰήτη, μάλα τοί με δίκῃ περιπολλὸν ἐέργεις.
Aeetes very you-know me with-justice exceedingly you-hem-in
τῶ καὶ ἐγὼ τὸν ἄεθλον ὑπερφίαλόν περ ἐόντα
therefore also I the contest overweening though being
τλήσομαι, εἰ καί μοι θανέειν μόρος. οὐ γὰρ ἔτ' ἄλλο
will-dare if even for-me to-die fate not for still other
ῥίγιον ἀνθρώποισι κακῆς ἐπικείσετ' ἀνάγκης,
more-chilling for-men than-evil will-lie-upon necessity
ἥ με καὶ ἐνθάδε νεῖσθαι ἐπέχραεν ἐκ βασιλῆος."
which me also here to-come fell-on from king
Ὣς φάτ' ἀμηχανίῃ βεβολημένος· αὐτὰρ ὁ τόνγε
So he-spoke in-helplessness smitten but he him
σμερδαλέοις ἐπέεσσι προσέννεπεν ἀσχαλόωντα·
with-terrible with-words addressed distressed
"Ἴρχεο νῦν μεθ' ὅμιλον, ἐπεὶ μέμονάς γε πόνοιο·
Go now to the-throng since you-are-eager indeed for-labor
εἰ δὲ σύγε ζυγὰ βουσὶν ὑποδδείσαις ἐπαεῖραι,
if and you yokes for-the-oxen should-fear to-lift
ἠὲ καὶ οὐλομένου μεταχάσσεαι ἀμήτοιο,
or also of-baneful should-shrink-from harvest
αὐτῷ κεν τὰ ἕκαστα μέλοιτό μοι, ὄφρα καὶ ἄλλος
myself — the each-thing would-be-a-care to-me so-that also other
ἀνὴρ ἐρρίγῃσιν ἀρείονα φῶτα μετελθεῖν."
man may-shudder better man to-go-after

As Jason leaves, Medea's thoughts follow him. Argus proposes to seek Medea's help through his mother, and a dove fleeing a hawk falls into Jason's lap, which Mopsus reads as an omen. Idas protests, but the heroes approve, and Aeetes, in assembly, threatens to burn the Argo and its crew.

Ἴσκεν ἀπηλεγέως· ὁ δ' ἀπὸ θρόνου ὦρνυτ' Ἰήσων,
He-spoke bluntly he and from throne rose Jason
Αὐγείης Τελαμών τε παρασχεδόν· εἵπετο δ' Ἄργος
Augeas Telamon and at-once followed and Argus
οἷος, ἐπεὶ μεσσηγὺς ἔτ' αὐτόθι νεῦσε λιπέσθαι
alone since in-the-midst still there he-nodded to-be-left
αὐτοκασιγνήτοις· οἱ δ' ἤισαν ἐκ μεγάροιο.
to-his-own-brothers they and went from hall
θεσπέσιον δ' ἐν πᾶσι μετέπρεπεν Αἴσονος υἱὸς
wondrously and among all was-conspicuous of-Aeson son
κάλλεϊ καὶ χαρίτεσσιν· ἐπ' αὐτῷ δ' ὄμματα κούρη
in-beauty and in-graces on him and eyes the-maiden
λοξὰ παρὰ λιπαρὴν σχομένη θηεῖτο καλύπτρην,
askance beside shining holding gazed veil
κῆρ ἄχεϊ σμύχουσα· νόος δέ οἱ ἠύτ' ὄνειρος
heart with-grief smoldering mind and her like dream
ἑρπύζων πεπότητο μετ' ἴχνια νισσομένοιο.
creeping fluttered after the-tracks of-him-going
καί ῥ' οἱ μέν ῥα δόμων ἐξήλυθον ἀσχαλόωντες.
and then they indeed then from-the-house went-out distressed
Χαλκιόπη δὲ χόλον πεφυλαγμένη Αἰήταο
Chalciope and the-wrath guarding-against of-Aeetes
καρπαλίμως θάλαμόνδε σὺν υἱάσιν οἷσι βεβήκει.
swiftly to-chamber with sons her had-gone

αὕτως δ' αὖ Μήδεια μετέστιχε· πολλὰ δὲ θυμῷ
just-so and in-turn Medea followed much and in-heart
ὥρμαιν', ὅσσα τ' Ἔρωτες ἐποτρύνουσι μέλεσθαι.
pondered as-many-as — Loves urge to-care-for
προπρὸ δ' ἄρ' ὀφθαλμῶν ἔτι οἱ ἰνδάλλετο πάντα,
before and then eyes still to-her appeared all-things
αὐτός θ' οἷος ἦεν, οἵοισί τε φάρεσιν ἕστο,
himself and what-sort he-was in-what and robes he-was-clad
οἷά τ' ἔειφ', ὥς θ' ἕζετ' ἐπὶ θρόνου, ὥς τε θύραζε
what and he-said how and he-sat on throne how and to-the-door
ἴμεν· οὐδέ τιν' ἄλλον ὀίσσατο πορφύρουσα
he-went nor any other she-thought pondering
ἔμμεναι ἀνέρα τοῖον· ἐν οὔασι δ' αἰὲν ὀρώρει
to-be man such in ears and ever rang
αὐδή τε μῦθοί τε μελίφρονες, οὓς ἀγόρευσεν.
voice both words and honey-sweet which he-spoke
τάρβει δ' ἀμφ' αὐτῷ, μή μιν βόες ἠὲ καὶ αὐτὸς
she-feared and about him lest him oxen or also himself
Αἰήτης φθίσειεν· ὀδύρετο δ' ἠύτε πάμπαν
Aeetes should-destroy she-lamented and as wholly
ἤδη τεθνειῶτα, τέρεν δέ οἱ ἀμφὶ παρειὰς
already dead tender and her about cheeks
δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέε κηδοσύνῃσιν·
tear in-most-dread in-pity flowed in-her-grief
ἦκα δὲ μυρομένη λιγέως ἀνενείκατο μῦθον·
gently and weeping clearly she-raised word
"Τίπτε με δειλαίην τόδ' ἔχει ἄχος; εἴθ' ὅγε πάντων
Why me wretched this holds grief whether he of-all
φθίσεται ἡρώων προφερέστατος, εἴτε χερείων,
will-perish of-heroes most-excellent or worse

ἐρρέτω. ἦ μὲν ὄφελλεν ἀκήριος ἐξαλέασθαι.
let-him-go truly indeed would-that-he unharmed to-escape
ναὶ δὴ τοῦτό γε, πότνα θεὰ Περσηί, πέλοιτο,
yes indeed this indeed lady goddess daughter-of-Perses may-it-be
οἴκαδε νοστήσειε φυγὼν μόρον· εἰ δέ μιν αἶσα
homeward may-he-return having-escaped fate if and him fate
δμηθῆναι ὑπὸ βουσί, τόδε προπάροιθε δαείη,
to-be-subdued by oxen this before may-he-learn
οὕνεκεν οὔ οἱ ἔγωγε κακῇ ἐπαγαίομαι ἄτῃ.” 470
that not for-him I in-evil rejoice ruin
Ἡ μὲν ἄρ’ ὣς ἐόλητο νόον μελεδήμασι κούρη.
She indeed then so was-troubled in-mind by-cares the-maiden
οἱ δ’ ἐπεὶ οὖν δήμου τε καὶ ἄστεος ἐκτὸς ἔβησαν
they and when then of-people both and of-town outside went
τὴν ὁδόν, ἣν τὸ πάροιθεν ἀνήλυθον ἐκ πεδίοιο,
the road which the before they-went-up from plain
δὴ τότ’ Ἰήσονα τοῖσδε προσέννεπεν Ἄργος ἔπεσσιν·
indeed then Jason with-these addressed Argus with-words
“Αἰσονίδη, μῆτιν μὲν ὀνόσσεαι, ἥντιν’ ἐνίψω· 475
Son-of-Aeson the-plan indeed you-will-blame which I-will-tell
πείρης δ’ οὐ μάλ’ ἔοικε μεθιέμεν ἐν κακότητι.
of-trial but not very befits to-let-go in misery
κούρην δή τινα πρόσθεν ὑπέκλυες αὐτὸς ἐμεῖο
maiden indeed some before you-heard yourself from-me
φαρμάσσειν Ἑκάτης Περσηίδος ἐννεσίῃσιν.
to-use-drugs of-Hecate daughter-of-Perses by-the-promptings

τὴν εἴ κεν πεπίθοιμεν, ὀίομαι, οὐκέτι τάρβος
her if — we-should-persuade I-think no-longer fear
ἔσσετ' ἀεθλεύοντι δαμήμεναι· ἀλλὰ μάλ' αἰνῶς
will-be for-the-contending to-be-subdued but very terribly
δείδω, μή πως οὔ μοι ὑποσταίη τόγε μήτηρ.
I-fear lest somehow not for-me undertake this mother
ἔμπης δ' ἐξαῦτις μετελεύσομαι ἀντιβολήσων,
nevertheless and again I-will-go to-be-going-to-entreat
ξυνὸς ἐπεὶ πάντεσσιν ἐπικρέμαθ' ἡμιν ὄλεθρος."
common since on-all hangs over-us destruction
Ἴσκεν ἐυφρονέων· ὁ δ' ἀμείβετο τοῖσδ' ἐπέεσσιν·
He-spoke kindly he and answered with-these words
" Ὦ πέπον, εἴ νύ τοι αὐτῷ ἐφανδάνει, οὔτι μεγαίρω.
O friend if now to-you yourself it-pleases not-at-all I-grudge
βάσκ' ἴθι καὶ πυκινοῖσι τεὴν παρὰ μητέρα μύθοις
go come and with-shrewd your beside mother words
ὄρνυθι λισσόμενος· μελέη γε μὲν ἡμιν ὄρωρεν
rouse beseeching wretched indeed indeed for-us has-arisen
ἐλπωρή, ὅτε νόστον ἐπετραπόμεσθα γυναιξίν."
hope when return we-entrusted to-women
ὣς ἔφατ'· ὦκα δ' ἕλος μετεκίαθον. αὐτὰρ ἑταῖροι
so he-spoke quickly and marsh they-reached but comrades
γηθόσυνοι ἐρέεινον, ὅπως παρεόντας ἴδοντο·
glad asked when present they-saw
τοῖσιν δ' Αἰσονίδης τετιημένος ἔκφατο μῦθον·
to-them and son-of-Aeson grieved spoke word

“ Ὦ φίλοι, Αἰήταο ἀπηνέος ἄμμι φίλον κῆρ
O friends of-Aeetes of-cruel toward-us dear heart
ἀντικρὺ κεχόλωται, ἕκαστα γὰρ οὔ νύ τι τέκμωρ
openly is-angered each-thing for not now any end
οὔτ᾽ ἐμοί, οὔτε κεν ὔμμι διειρομένοισι πέλοιτο.
neither for-me nor — for-you asking would-be
φῆ δὲ δύω πεδίον τὸ Ἀρήιον ἀμφινέμεσθαι
he-said and two plain the of-Ares graze
ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντας.
bulls bronze-footed with-mouth flame breathing
τετράγυον δ᾽ ἐπὶ τοῖσιν ἐφίετο νειὸν ἀρόσσαι·
four-acre and on them he-enjoined fallow to-plow
δώσειν δ᾽ ἐξ ὄφιος γενύων σπόρον, ὅς ῥ᾽ ἀνίῃσιν
to-be-going-to-give and from serpent jaws seed which then sends-up
γηγενέας χαλκέοις σὺν τεύχεσιν· ἤματι δ᾽ αὐτῷ
earthborn bronze with arms on-day and same
χρειὼ τούσγε δαΐξαι. ὃ δή νύ οἱ — οὔτι γὰρ ἄλλο
need them to-slay which indeed now to-him not-at-all for other
βέλτερον ἦν φράσσασθαι — ἀπηλεγέως ὑποέστην.”
better was to-consider bluntly I-undertook
Ὣς ἄρ᾽ ἔφη· πάντεσσι δ᾽ ἀνήνυτος εἴσατ᾽ ἄεθλος,
So then he-spoke to-all and impossible seemed the-contest
δὴν δ᾽ ἄνεῳ καὶ ἄναυδοι ἐς ἀλλήλους ὁρόωντο,
long and silent and speechless at one-another they-looked
ἄτῃ ἀμηχανίῃ τε κατηφέες· ὀψὲ δὲ Πηλεὺς
in-ruin in-helplessness and downcast late and Peleus
θαρσαλέως μετὰ πᾶσιν ἀριστήεσσιν ἔειπεν·
boldly among all chieftains spoke

“ Ὥρη μητιάασθαι ὅ κ᾽ ἔρξομεν. οὐ μὲν ἔολπα
Time to-take-counsel what — we-shall-do not indeed I-expect
βουλῆς εἶναι ὄνειαρ, ὅσον τ᾽ ἐπὶ κάρτεϊ χειρῶν.
of-counsel to-be help as-much-as — in strength of-hands
εἰ μέν νυν τύνη ζεῦξαι βόας Αἰήταο,
if indeed now you to-yoke the-oxen of-Aeetes
ἥρως Αἰσονίδη, φρονέεις, μέμονάς τε πόνοιο,
hero son-of-Aeson you-think are-eager and for-the-labor
ἦ τ᾽ ἂν ὑποσχεσίην πεφυλαγμένος ἐντύναιο·
truly — — the-promise guarding you-would-make-ready
εἰ δ᾽ οὔ τοι μάλα θυμὸς ἐῇ ἐπὶ πάγχυ πέποιθεν
if and not to-you very heart your in wholly trusts
ἠνορέῃ, μήτ᾽ αὐτὸς ἐπείγεο, μήτε τιν᾽ ἄλλον
manliness neither yourself press nor any other
τῶνδ᾽ ἀνδρῶν πάπταινε παρήμενος. οὐ γὰρ ἔγωγε
of-these men look-around sitting-by not for I
σχήσομ᾽, ἐπεὶ θάνατός γε τὸ κύντατον ἔσσεται ἄλγος.”
will-hold-back since death indeed the most-dreadful will-be pain
Ὣς ἔφατ᾽ Αἰακίδης· Τελαμῶνι δὲ θυμὸς ὀρίνθη·
So he-spoke son-of-Aeacus in-Telamon and heart was-stirred
σπερχόμενος δ᾽ ἀνόρουσε θοῶς· ἐπὶ δὲ τρίτος Ἴδας
hastening and he-sprang-up swiftly on and third Idas
ὦρτο μέγα φρονέων, ἐπὶ δ᾽ υἱέε Τυνδαρέοιο·
rose greatly minded on and the-two-sons of-Tyndareus
σὺν δὲ καὶ Οἰνεΐδης ἐναρίθμιος αἰζηοῖσιν
with and also son-of-Oeneus numbered-among the-young
ἀνδράσιν, οὐδέ περ ὅσσον ἐπανθιόωντας ἰούλους
men not-even indeed as-much-as blooming first-beards
ἀντέλλων· τοίῳ οἱ ἀείρετο κάρτεϊ θυμός.
growing such to-him was-lifted with-strength heart

οἱ δ' ἄλλοι εἴξαντες ἀκὴν ἔχον. αὐτίκα δ' Ἄργος
they and others yielding silence kept at-once and Argus
τοῖον ἔπος μετέειπεν ἐελδομένοισιν ἀέθλου·
such word spoke-among to-the-eager for-the-contest
"Ὦ φίλοι, ἤτοι μὲν τόδε λοίσθιον. ἀλλά τιν' οἴω
O friends truly indeed this last but some I-think
μητρὸς ἐμῆς ἔσσεσθαι ἐναίσιμον ὔμμιν ἀρωγήν.
of-mother my to-be-going-to-be timely for-you help
τῶ καί περ μεμαῶτες, ἐρητύοισθ' ἐνὶ νηὶ
therefore even though eager keep-back in ship
τυτθὸν ἔθ', ὡς τὸ πάροιθεν, ἐπεὶ καὶ ἐπισχέμεν ἔμπης
a-little still as the before since also to-hold-back nevertheless
λώιον, ἢ κακὸν οἶτον ἀφειδήσαντας ἑλέσθαι.
better than evil fate having-been-reckless to-choose
κούρη τις μεγάροισιν ἐνιτρέφετ' Αἰήταο,
maiden some in-halls is-reared of-Aeetes
τὴν Ἑκάτη περίαλλα θεὰ δάε τεχνήσασθαι
whom Hecate exceedingly goddess taught to-make
φάρμαχ', ὅσ' ἤπειρός τε φύει καὶ νήχυτον ὕδωρ,
drugs as-many-as mainland both produces and flowing water
τοῖσι καὶ ἀκαμάτοιο πυρὸς μειλίσσετ' ἀυτμή,
with-them even of-untiring fire is-soothed the-blast
καὶ ποταμοὺς ἵστησιν ἄφαρ κελαδεινὰ ῥέοντας,
and rivers she-stays at-once loudly flowing
ἄστρα τε καὶ μήνης ἱερῆς ἐπέδησε κελεύθους.
stars both and of-moon holy binds paths
τῆς μὲν ἀπὸ μεγάροιο κατὰ στίβον ἐνθάδ' ἰόντες
of-her indeed from hall along path here coming
μνησάμεθ', εἴ κε δύναιτο, κασιγνήτη γεγαυῖα,
we-thought if — she-could sister being

μήτηρ ὑμετέρη πεπιθεῖν ἐπαρῆξαι ἀέθλῳ.
mother your to-persuade to-help in-the-contest
εἰ δὲ καὶ αὐτοῖσιν τόδ' ἐφανδάνει, ἦ τ' ἂν ἱκοίμην
if and also to-yourselves this pleases truly — — I-would-go
ἤματι τῷδ' αὐτῷ πάλιν εἰς δόμον Αἰήταο
on-day this same again to house of-Aeetes
πειρήσων· τάχα δ' ἂν σὺν δαίμονι πειρηθείην."
to-be-going-to-try soon and — with deity I-would-try
Ὣς φάτο· τοῖσι δὲ σῆμα θεοὶ δόσαν εὐμενέοντες.
So he-spoke to-them and sign the-gods gave being-kind
τρηρὼν μὲν φεύγουσα βίην κίρκοιο πελειὰς
timid indeed fleeing the-violence of-hawk dove
ὑψόθεν Αἰσονίδεω πεφοβημένη ἔμπεσε κόλποις·
from-above of-the-son-of-Aeson frightened fell into-lap
κίρκος δ' ἀφλάστῳ περικάππεσεν. ὦκα δὲ Μόψος
hawk and on-the-stern-ornament fell-down quickly and Mopsus
τοῖον ἔπος μετὰ πᾶσι θεοπροπέων ἀγόρευσεν·
such word among all prophesying spoke
"Υ̓́μμι, φίλοι, τόδε σῆμα θεῶν ἰότητι τέτυκται·
For-you friends this sign of-the-gods by-the-will is-made
οὐδέ πῃ ἄλλως ἐστὶν ὑποκρίνασθαι ἄρειον,
nor in-any-way otherwise is to-interpret better
παρθενικὴν δ' ἐπέεσσι μετελθέμεν ἀμφιέποντας
the-maiden and with-words to-go-after attending
μήτι παντοίῃ. δοκέω δέ μιν οὐκ ἀθερίζειν,
by-device of-every-kind I-think and her not to-slight

εἰ ἐτεὸν Φινεύς γε θεᾷ ἐνὶ Κύπριδι νόστον
if truly Phineus indeed goddess in Cypris return
πέφραδεν ἔσσεσθαι. κείνης δ' ὅγε μείλιχος ὄρνις
declared to-be-going-to-be of-her and this gentle bird
πότμον ὑπεξήλυξε· κέαρ δέ μοι ὡς ἐνὶ θυμῷ
fate escaped heart and to-me as in heart
τόνδε κατ' οἰωνὸν προτιόσσεται, ὣς δὲ πέλοιτο.
this in-accordance-with bird foresees so and may-it-be
ἀλλά, φίλοι, Κυθέρειαν ἐπικλείοντες ἀμύνειν,
but friends Cytherea calling-on to-help
ἤδη νῦν Ἄργοιο παραιφασίῃσι πίθεσθε."
already now of-Argus to-the-counsels obey
Ἴσκεν· ἐπήνησαν δὲ νέοι, Φινῆος ἐφετμὰς
He-spoke approved and the-young-men of-Phineus the-commands
μνησάμενοι· μοῦνος δ' Ἀφαρήιος ἄνθορεν Ἴδας,
remembering alone and son-of-Aphareus leapt-up Idas
δείν' ἐπαλαστήσας μεγάλῃ ὀπί, φώνησέν τε·
terribly indignant with-great voice spoke and
" Ὤ πόποι, ἦ ῥα γυναιξὶν ὁμόστολοι ἐνθάδ' ἔβημεν,
Oh for-shame truly then with-women fellow-voyagers here did-we-come
οἳ Κύπριν καλέουσιν ἐπίρροθον ἄμμι πέλεσθαι,
who Cypris call helper to-us to-be
οὐκέτ' Ἐνυαλίοιο μέγα σθένος; ἐς δὲ πελείας
no-longer of-Enyalius the-great might at and doves
καὶ κίρκους λεύσσοντες ἐρητύεσθε ἀέθλων;
and hawks looking you-are-held-back from-the-contests
ἔρρετε, μηδ' ὔμμιν πολεμήια ἔργα μέλοιτο,
away-with-you nor to-you warlike works let-be-a-care
παρθενικὰς δὲ λιτῇσιν ἀνάλκιδας ἠπεροπεύειν."
maidens and with-prayers feeble to-cajole

Ὣς ηὔδα μεμαώς· πολέες δ' ὁμάδησαν ἑταῖροι
So he-spoke eager many and murmured comrades
ἦκα μάλ', οὐδ' ἄρα τις οἱ ἐναντίον ἔκφατο μῦθον.
gently very nor then any to-him opposite spoke word
χωόμενος δ' ὅγ' ἔπειτα καθέζετο· τοῖσι δ' Ἰήσων
angered and he then sat-down to-them and Jason
αὐτίκ' ἐποτρύνων τὸν ἑὸν νόον ὧδ' ἀγόρευεν·
at-once urging the his mind thus spoke
"Ἄργος μὲν παρὰ νηός, ἐπεὶ τόδε πᾶσιν ἔαδεν,
Argus indeed from ship since this to-all pleased
στελλέσθω· ἀτὰρ αὐτοὶ ἐπὶ χθονὸς ἐκ ποταμοῖο
let-him-set-out but ourselves on land from river
ἀμφαδὸν ἤδη πείσματ' ἀνάψομεν. ἦ γὰρ ἔοικεν
openly now cables let-us-fasten truly for it-befits
μηκέτι δὴν κρύπτεσθαι ὑποπτήσσοντας ἀυτήν."
no-longer long to-hide cowering-at the-battle-cry
Ὣς ἄρ' ἔφη· καὶ τὸν μὲν ἄφαρ προΐαλλε νέεσθαι
So then he-spoke and him indeed at-once he-sent-forth to-go
καρπαλίμως ἐξαῦτις ἀνὰ πτόλιν· οἱ δ' ἐπὶ νηὸς
swiftly again through city they and on ship
εὐναίας ἐρύσαντες ἐφετμαῖς Αἰσονίδαο
anchors having-drawn-up by-the-commands of-the-son-of-Aeson
τυτθὸν ὑπὲξ ἕλεος χέρσῳ ἐπέκελσαν ἐρετμοῖς.
a-little out-of marsh on-land put-in with-oars
Αὐτίκα δ' Αἰήτης ἀγορὴν ποιήσατο Κόλχων
At-once and Aeetes assembly made of-Colchians
νόσφιν ἑοῖο δόμου, τόθι περ καὶ πρόσθε κάθιζον,
apart-from his-own house where indeed also before they-sat
ἀτλήτους Μινύῃσι δόλους καὶ κήδεα τεύχων.
unbearable for-the-Minyae wiles and woes contriving

στεῦτο δ', ἐπεί κεν πρῶτα βόες διαδηλήσωνται
he-avowed and when — first the-oxen should-tear-apart
ἄνδρα τόν, ὅς ῥ' ὑπέδεκτο βαρὺν καμέεσθαι ἄεθλον,
man that who then undertook heavy to-toil contest
δρυμὸν ἀναρρήξας λασίης καθύπερθε κολώνης
oak-thicket tearing-up of-shaggy above hill
αὔτανδρον φλέξειν δόρυ νήιον, ὄφρ' ἀλεγεινὴν
with-its-men to-be-going-to-burn timber ship's so-that grievous
ὕβριν ἀποφλύξωσιν ὑπέρβια μηχανόωντες.
insolence they-might-belch-out overweening-things contriving
οὐδὲ γὰρ Αἰολίδην Φρίξον μάλα περ χατέοντα
not-even for son-of-Aeolus Phrixus very though needing
δέχθαι ἐνὶ μεγάροισιν ἐφέστιον, ὃς περὶ πάντων
to-receive in halls sharing-the-hearth who above all
ξείνων μειλιχίῃ τε θεουδείῃ τ' ἐκέκαστο,
strangers in-gentleness both in-god-fearing and excelled
εἰ μή οἱ Ζεὺς αὐτὸς ἀπ' οὐρανοῦ ἄγγελον ἧκεν
if not for-him Zeus himself from heaven messenger sent
Ἑρμείαν, ὥς κεν προσκηδέος ἀντιάσειεν·
Hermes so-that — friendly he-should-meet
μὴ καὶ ληιστῆρας ἑὴν ἐς γαῖαν ἰόντας
not also robbers his-own into land coming
ἔσσεσθαι δηναιὸν ἀπήμονας, οἷσι μέμηλεν
to-be-going-to-be long unharmed to-whom it-is-a-care
ὀθνείοις ἐπὶ χεῖρα ἑὴν κτεάτεσσιν ἀείρειν,
foreign upon hand their-own possessions to-lift
κρυπταδίους τε δόλους τεκταινέμεν, ἠδὲ βοτήρων
secret both wiles to-contrive and of-herdsmen
αὔλια δυσκελάδοισιν ἐπιδρομίῃσι δαΐξαι.
folds with-ill-sounding with-raids to-ravage

νόσφι δὲ οἱ αὐτῷ φάτ᾽ ἐοικότα μείλια τίσειν
apart and for-him- -self he-said fitting amends to-be-going-to-pay
υἱῆας Φρίξοιο, κακορρέκτῃσιν ὀπηδοὺς
sons of-Phrixus to-evil-doing companions
ἀνδράσι νοστήσαντας ὁμιλαδόν, ὄφρα ἑ τιμῆς
men returning in-a-body so-that him from-honor
καὶ σκήπτρων ἐλάσειαν ἀκηδέες· ὥς ποτε βάξιν
and from-scepters they-might-drive recklessly as once a-report
λευγαλέην οὗ πατρὸς ἐπέκλυεν Ἠελίοιο,
grievous of-his father he-heard of-Helios
χρειώ μιν πυκινόν τε δόλον βουλάς τε γενέθλης
needful him shrewd both guile counsels and of-offspring
σφωιτέρης ἄτην τε πολύτροπον ἐξαλέασθαι·
of-his-own ruin and manifold to-escape
τῶ καὶ ἐελδομένους πέμπειν ἐς Ἀχαιΐδα γαῖαν
therefore also eager to-send to Achaean land
πατρὸς ἐφημοσύνῃ, δολιχὴν ὁδόν. οὐδὲ θυγατρῶν
of-father at-the-bidding long road nor from-daughters
εἶναί οἱ τυτθόν γε δέος, μή πού τινα μῆτιν
to-be to-him little indeed fear lest surely some plan
φράσσωνται στυγερήν, οὐδ᾽ υἱέος Ἀψύρτοιο·
they-devise hateful nor from-son Apsyrtus
ἀλλ᾽ ἐνὶ Χαλκιόπης γενεῇ τάδε λυγρὰ τετύχθαι.
but in of-Chalciope offspring these sad to-have-been-made
καί ῥ᾽ ὁ μὲν ἄσχετα ἔργα πιφαύσκετο δημοτέροισιν
and then he indeed outrageous deeds declared to-the-people
χωόμενος· μέγα δέ σφιν ἀπείλεε νῆά τ᾽ ἔρυσθαι
angered greatly and to-them threatened ship and to-guard
ἠδ᾽ αὐτούς, ἵνα μήτις ὑπὲκ κακότητος ἀλύξῃ.
and themselves so-that none from-out-of evil should-escape

Argus goes to his mother, and Medea, sleeping, dreams of Jason. She wakes and goes to her sister's door, but turns back in shame. Chalciope comes to her and begs her to save her sons, and Medea, glad of the pretext, promises to bring the charm.

Τόφρα δὲ μητέρ' ἑήν, μετιὼν δόμον Αἰήταο,
So-long and mother his-own going-to house of-Aeetes
Ἄργος παντοίοισι παρηγορέεσκ' ἐπέεσσιν,
Argus with-all-kinds urged with-words
Μήδειαν λίσσεσθαι ἀμυνέμεν· ἡ δὲ καὶ αὐτὴ
Medea to-beseech to-help she and also herself
πρόσθεν μητιάασκε· δέος δέ μιν ἴσχανε θυμόν,
before was-devising fear and her held-back heart
μή πως ἠὲ παρ' αἶσαν ἐτώσια μειλίξαιτο
lest somehow either beyond fate in-vain she-should-appease
πατρὸς ἀτυζομένην ὀλοὸν χόλον, ἠὲ λιτῇσιν
of-father dismayed baneful wrath or by-prayers
ἑσπομένης ἀρίδηλα καὶ ἀμφαδὰ ἔργα πέλοιτο.
following manifest and open deeds should-be
Κούρην δ' ἐξ ἀχέων ἀδινὸς κατελώφεεν ὕπνος
the-Maiden and from griefs deep released sleep
λέκτρῳ ἀνακλινθεῖσαν. ἄφαρ δέ μιν ἠπεροπῆες,
on-bed having-reclined at-once and her deceiving
οἷά τ' ἀκηχεμένην, ὀλοοὶ ἐρέθεσκον ὄνειροι.
as-of-one — grieving baneful troubled dreams
τὸν ξεῖνον δ' ἐδόκησεν ὑφεστάμεναι τὸν ἄεθλον,
the stranger and she-thought to-have-undertaken the contest
οὔτι μάλ' ὁρμαίνοντα δέρος κριοῖο κομίσσαι,
not-at-all very eager fleece of-ram to-bring

οὐδέ τι τοῖο ἔκητι μετὰ πτόλιν Αἰήταο
nor anything of-it for-the-sake to city of-Aeetes
ἐλθέμεν, ὄφρα δέ μιν σφέτερον δόμον εἰσαγάγοιτο
to-have-come so-that and her his-own house he-might-lead
κουριδίην παράκοιτιν· ὀίετο δ' ἀμφὶ βόεσσιν
wedded wife she-thought and about oxen
αὐτὴ ἀεθλεύουσα μάλ' εὐμαρέως πονέεσθαι·
herself contending very easily to-toil
σφωιτέρους δὲ τοκῆας ὑποσχεσίης ἀθερίζειν,
her-own and parents the-promise to-slight
οὕνεκεν οὐ κούρῃ ζεῦξαι βόας, ἀλλά οἱ αὐτῷ
because not to-the-maiden to-yoke oxen but to-him himself
προύθεσαν· ἐκ δ' ἄρα τοῦ νεῖκος πέλεν ἀμφήριστον
they-proposed from and then this strife arose disputed
πατρί τε καὶ ξείνοις· αὐτῇ δ' ἐπιέτρεπον ἄμφω
to-father both and strangers to-her and entrusted both
τὼς ἔμεν, ὥς κεν ἑῇσι μετὰ φρεσὶν ἰθύσειεν.
so to-be as — her-own in mind she-should-incline
ἡ δ' ἄφνω τὸν ξεῖνον, ἀφειδήσασα τοκήων,
she and suddenly the stranger unsparing of-parents
εἵλετο· τοὺς δ' ἀμέγαρτον ἄχος λάβεν, ἐκ δ' ἐβόησαν
chose them and unenviable grief seized out and they-cried
χωόμενοι· τὴν δ' ὕπνος ἅμα κλαγγῇ μεθέηκεν.
angered her and sleep with shriek released
παλλομένη δ' ἀνόρουσε φόβῳ, περί τ' ἀμφί τε τοίχους
quivering and she-sprang-up in-fear around both about and walls
πάπτηνεν θαλάμοιο· μόλις δ' ἐσαγείρατο θυμὸν
looked of-chamber hardly and gathered heart
ὡς πάρος ἐν στέρνοις, ἀδινὴν δ' ἀνενείκατο φωνήν·
as before in breast thick and raised voice

"Δειλὴ ἐγών, οἷόν με βαρεῖς ἐφόβησαν ὄνειροι.
Wretched I how me heavy terrified dreams
δείδια, μὴ μέγα δή τι φέρῃ κακὸν ἥδε κέλευθος
I-fear lest great indeed some bring evil this journey
ἡρώων. περί μοι ξείνῳ φρένες ἠερέθονται.
of-heroes around me for-the-stranger heart flutters
μνάσθω ἑὸν κατὰ δῆμον Ἀχαιΐδα τηλόθι κούρην·
let-him-woo his-own among people Achaean far-away maiden
ἄμμι δὲ παρθενίη τε μέλοι καὶ δῶμα τοκήων.
to-us and maidenhood both may-be-a-care and house of-parents
ἔμπα γε μὴν θεμένη κύνεον κέαρ, οὐκέτ' ἄνευθεν
nevertheless indeed truly having-made shameless heart no-longer apart
αὐτοκασιγνήτης πειρήσομαι, εἴ κέ μ' ἀέθλῳ
of-my-own-sister I-will-try if — me in-the-contest
χραισμεῖν ἀντιάσῃσιν, ἐπὶ σφετέροις ἀχέουσα
to-help she-may-entreat for her-own grieving
παισί· τό κέν μοι λυγρὸν ἐνὶ κραδίῃ σβέσαι ἄλγος."
sons this — to-me grievous in heart would-quench pain
Ἦ ῥα, καὶ ὀρθωθεῖσα θύρας ὤιξε δόμοιο,
She-spoke then and having-risen doors opened of-house
νήλιπος, οἰέανος· καὶ δὴ λελίητο νέεσθαι
barefoot in-one-robe and indeed was-eager to-go
αὐτοκασιγνήτηνδε, καὶ ἕρκεος οὐδὸν ἄμειψεν.
to-her-own-sister and of-the-court threshold crossed
δὴν δὲ καταυτόθι μίμνεν ἐνὶ προδόμῳ θαλάμοιο,
long and there remained in porch of-chamber

αἰδοῖ ἐεργομένη· μετὰ δ' ἐτράπετ' αὖτις ὀπίσσω
by-shame held-back after and turned again back
στρεφθεῖσ'· ἐκ δὲ πάλιν κίεν ἔνδοθεν, ἄψ τ' ἀλέεινεν
having-turned out and again came within back and shrank
εἴσω· τηΰσιοι δὲ πόδες φέρον ἔνθα καὶ ἔνθα·
inward vain and feet bore here and there
ἤτοι ὅτ' ἰθύσειεν, ἔρυκέ μιν ἔνδοθεν αἰδώς·
truly when she-rushed held-back her within shame
αἰδοῖ δ' ἐργομένην θρασὺς ἵμερος ὀτρύνεσκεν.
by-shame and held-back bold desire urged
τρὶς μὲν ἐπειρήθη, τρὶς δ' ἔσχετο, τέτρατον αὖτις
thrice indeed she-tried thrice and stopped fourth again
λέκτροισιν πρηνὴς ἐνικάππεσεν εἰλιχθεῖσα.
on-bed face-down fell-down writhing
ὡς δ' ὅτε τις νύμφη θαλερὸν πόσιν ἐν θαλάμοισιν
as and when some bride vigorous husband in chambers
μύρεται, ᾧ μιν ὄπασσαν ἀδελφεοὶ ἠδὲ τοκῆες,
weeps to-whom her gave brothers and parents
οὐδέ τί πω πάσαις ἐπιμίσγεται ἀμφιπόλοισιν
nor any yet with-all mingles handmaids
αἰδοῖ ἐπιφροσύνῃ τε· μυχῷ δ' ἀχέουσα θαάσσει·
in-shame in-modesty and in-the-recess and grieving sits
τὸν δέ τις ὤλεσε μοῖρα, πάρος ταρπήμεναι ἄμφω
him and some destroyed fate before to-delight both
δήνεσιν ἀλλήλων· ἡ δ' ἔνδοθι δαιομένη περ
in-the-wisdom of-one-another she and within burning though
σῖγα μάλα κλαίει χῆρον λέχος εἰσορόωσα,
silently very weeps widowed bed seeing
μή μιν κερτομέουσαι ἐπιστοβέωσι γυναῖκες·
lest her mocking reproach women

τῇ ἰκέλη Μήδεια κινύρετο. τὴν δέ τις ἄφνω
to-her like Medea lamented her and some suddenly
μυρομένην μεσσηγὺς ἐπιπρομολοῦσ᾽ ἐνόησεν
weeping in-the-midst coming-forward noticed
δμωάων, ἥ οἱ ἑπέτις πέλε κουρίζουσα·
of-maidservants who to-her attendant was being-a-girl
Χαλκιόπῃ δ᾽ ἤγγειλε παρασχεδόν· ἡ δ᾽ ἐνὶ παισὶν
to-Chalciope and announced at-once she and among sons
ἧστ᾽ ἐπιμητιόωσα κασιγνήτην ἀρέσασθαι.
sat devising her-sister to-win-over
ἀλλ᾽ οὐδ᾽ ὣς ἀπίθησεν, ὅτ᾽ ἔκλυεν ἀμφιπόλοιο
but not-even so disobeyed when she-heard of-the-handmaid
μῦθον ἀνώιστον· διὰ δ᾽ ἔσσυτο θαμβήσασα
word unexpected through and rushed amazed
ἐκ θαλάμου θάλαμόνδε διαμπερές, ᾧ ἔνι κούρη
from chamber to-chamber right-through which in the-maiden
κέκλιτ᾽ ἀκηχεμένη, δρύψεν δ᾽ ἑκάτερθε παρειάς·
lay grieving tore and on-either-side cheeks
ὡς δ᾽ ἴδε δάκρυσιν ὄσσε πεφυρμένα, φώνησέν μιν·
as and she-saw with-tears eyes defiled addressed her
“ Ὤι μοι ἐγώ, Μήδεια, τί δὴ τάδε δάκρυα λείβεις;
Ah me I Medea why indeed these tears do-you-shed
τίπτ᾽ ἔπαθες; τί τοι αἰνὸν ὑπὸ φρένας ἵκετο πένθος;
why have-you-suffered what to-you dread under heart came grief
ἤ νύ σε θευμορίη περιδέδρομεν ἄψεα νοῦσος,
or now you heaven-sent has-run-over limbs disease

ἦέ τιν᾽ οὐλομένην ἐδάης ἐκ πατρὸς ἐνιπὴν
or some baneful you-learned from father threat
ἀμφί τ᾽ ἐμοὶ καὶ παισίν; ὄφελλέ με μήτε τοκήων
about both me and sons would-that me neither of-parents
δῶμα τόδ᾽ εἰσοράαν, μηδὲ πτόλιν, ἀλλ᾽ ἐπὶ γαίης
house this to-see nor city but at of-earth
680 πείρασι ναιετάειν, ἵνα μηδέ περ οὔνομα Κόλχων.”
ends to-dwell where not-even indeed name of-Colchians
Ὣς φάτο· τῆς δ᾽ ἐρύθηνε παρήια· δὴν δέ μιν αἰδὼς
So she-spoke of-her and reddened cheeks long and her shame
παρθενίη κατέρυκεν ἀμείψασθαι μεμαυῖαν.
maidenly held-back to-answer eager
μῦθος δ᾽ ἄλλοτε μέν οἱ ἐπ᾽ ἀκροτάτης ἀνέτελλεν
word and at-one-time indeed for-her on topmost rose
γλώσσης, ἄλλοτ᾽ ἔνερθε κατὰ στῆθος πεπότητο.
of-tongue at-another below in breast fluttered
685 πολλάκι δ᾽ ἱμερόεν μὲν ἀνὰ στόμα θυῖεν ἐνισπεῖν·
often and lovely indeed through mouth rushed to-tell
φθογγῇ δ᾽ οὐ προύβαινε παροιτέρω· ὀψὲ δ᾽ ἔειπεν
with-voice but not went-forth further late and she-spoke
τοῖα δόλῳ· θρασέες γὰρ ἐπεκλονέεσκον Ἔρωτες·
such with-guile bold for were-urging Loves
“Χαλκιόπη, περί μοι παίδων σέο θυμὸς ἄηται,
Chalciope about for-me sons of-you heart is-blown
μή σφε πατὴρ ξείνοισι σὺν ἀνδράσιν αὐτίκ᾽ ὀλέσσῃ.
lest them father strangers with men at-once destroy

τοῖα κατακνώσσουσα μινυθαδίῳ νέον ὕπνῳ
such slumbering in-brief newly sleep
λεύσσω ὀνείρατα λυγρά, τά τις θεὸς ἀκράαντα
I-see dreams grievous which some god unaccomplished
θείη, μηδ' ἀλεγεινὸν ἐφ' υἱάσι κῆδος ἕλοιο."
may-make nor grievous over sons grief may-you-take
Φῆ ῥα, κασιγνήτης πειρωμένη, εἴ κέ μιν αὐτὴ
She-spoke then of-sister making-trial if — her herself
ἀντιάσειε πάροιθεν ἑοῖς τεκέεσσιν ἀμύνειν.
she-should-entreat first her-own children to-help
τὴν δ' αἰνῶς ἄτλητος ἐπέκλυσε θυμὸν ἀνίη
her and terribly unbearable flooded heart grief
δείματι, τοῖ' ἐσάκουσεν· ἀμείβετο δ' ὧδ' ἐπέεσσιν·
for-fear such she-heard answered and thus with-words
"Καὶ δ' αὐτὴ τάδε πάντα μετήλυθον ὁρμαίνουσα,
And and myself these all I-came pondering
εἴ τινα συμφράσσαιο καὶ ἀρτύνειας ἀρωγήν.
if any you-might-devise and may-prepare help
ἀλλ' ὄμοσον Γαῖάν τε καὶ Οὐρανόν, ὅττι τοι εἴπω
but swear by-Earth both and Heaven whatever to-you I-say
σχήσειν ἐν θυμῷ, σύν τε δρήστειρα πέλεσθαι.
to-be-going-to-keep in heart with and helper to-be
λίσσομ' ὑπὲρ μακάρων σέο τ' αὐτῆς ἠδὲ τοκήων,
I-beseech by the-blessed of-you both yourself and parents
μή σφε κακῇ ὑπὸ κηρὶ διαρραισθέντας ἰδέσθαι
not them evil by doom destroyed to-see
λευγαλέως· ἢ σοίγε φίλοις σὺν παισὶ θανοῦσα
grievously or you dear with sons having-died
εἴην ἐξ Ἀίδεω στυγερὴ μετόπισθεν Ἐρινύς."
may-I-be from Hades hateful hereafter Fury

Ὣς ἄρ᾽ ἔφη, τὸ δὲ πολλὸν ὑπεξέχυτ᾽ αὐτίκα δάκρυ·
So then she-spoke the and much poured-out at-once tear
νειόθι θ᾽ ἀμφοτέρῃσι περίσχετο γούνατα χερσίν,
below and with-both clasped knees with-hands
σὺν δὲ κάρη κόλποις περικάββαλεν. ἔνθ᾽ ἐλεεινὸν
with and head on-lap cast-down there piteous
ἄμφω ἐπ᾽ ἀλλήλῃσι θέσαν γόον· ὦρτο δ᾽ ἰωὴ
both on one-another made lament rose and cry
λεπταλέη διὰ δώματ᾽ ὀδυρομένων ἀχέεσσιν.
thin through house of-the-wailing with-griefs
τὴν δὲ πάρος Μήδεια προσέννεπεν ἀσχαλόωσα·
her and first Medea addressed distressed
"Δαιμονίη, τί νύ τοι ῥέξω ἄκος, οἷ᾽ ἀγορεύεις,
Strange-one what now for-you shall-I-do cure such-as you-speak
ἀράς τε στυγερὰς καὶ Ἐρινύας; αἰ γὰρ ὄφελλεν
curses both hateful and Furies would-that for it-were
ἔμπεδον εἶναι ἐπ᾽ ἄμμι τεοὺς υἱῆας ἔρυσθαι.
steadfastly to-be on us your sons to-save
ἴστω Κόλχων ὅρκος ὑπέρβιος ὅντιν᾽ ὀμόσσαι
let-know of-Colchians oath overweening which to-swear
αὐτὴ ἐποτρύνεις, μέγας Οὐρανός, ἥ θ᾽ ὑπένερθεν
yourself you-urge great Heaven she and below
Γαῖα, θεῶν μήτηρ, ὅσσον σθένος ἐστὶν ἐμεῖο,
Earth of-gods mother as-much-as strength is of-me
μή σ᾽ ἐπιδευήσεσθαι, ἀνυστά περ ἀντιόωσαν."
not you to-be-going-to-lack possible-things indeed beseeching

Φῆ ἄρα· Χαλκιόπη δ' ἠμείβετο τοῖσδ' ἐπέεσσιν·
She-spoke then Chalciope and answered with-these words
"Οὐκ ἂν δὴ ξείνῳ τλαίης χατέοντι καὶ αὐτῷ
Not — indeed for-the-stranger would-you-dare needing also himself
ἢ δόλον, ἤ τινα μῆτιν ἐπιφράσσασθαι ἀέθλου,
either guile or some plan to-devise for-the-contest
παίδων εἵνεκ' ἐμεῖο; καὶ ἐκ κείνοιο δ' ἱκάνει
of-sons for-the-sake of-mine and from him and comes
Ἄργος, ἐποτρύνων με τεῆς πειρῆσαι ἀρωγῆς·
Argus urging me your to-try help
μεσσηγὺς μὲν τόνγε δόμῳ λίπον ἐνθάδ' ἰοῦσα."
in-the-midst indeed him in-house I-left here coming
Ὣς φάτο· τῇ δ' ἔντοσθεν ἀνέπτατο χάρματι θυμός,
So she-spoke her and within flew-up with-joy heart
φοινίχθη δ' ἄμυδις καλὸν χρόα, κὰδ δέ μιν ἀχλὺς
reddened and together fair skin down and her mist
εἷλεν ἰαινομένην, τοῖον δ' ἐπὶ μῦθον ἔειπεν·
seized warmed such and upon word spoke
"Χαλκιόπη, ὡς ὔμμι φίλον τερπνόν τε τέτυκται,
Chalciope as to-you dear pleasing and is
ὣς ἔρξω. μὴ γάρ μοι ἐν ὀφθαλμοῖσι φαείνοι
so I-will-do not for to-me in eyes may-shine
ἠώς, μηδέ με δηρὸν ἔτι ζώουσαν ἴδοιο,
dawn nor me long longer living may-you-see
εἴ γέ τι σῆς ψυχῆς προφερέστερον, ἠέ τι παίδων
if indeed anything than-your life more-important or anything than-sons
σῶν θείην, οἳ δή μοι ἀδελφειοὶ γεγάασιν,
your I-set who indeed to-me brothers are

κηδεμόνες τε φίλοι καὶ ὁμήλικες. ὣς δὲ καὶ αὐτὴ
guardians both dear and of-equal-age so and also myself
φημὶ κασιγνήτη τε σέθεν κούρη τε πέλεσθαι,
I-say sister both of-you daughter and to-be
ἶσον ἐπεὶ κείνοις με τεῷ ἐπαείραο μαζῷ
equally since with-them me at-your you-raised breast
νηπυτίην, ὡς αἰὲν ἐγώ ποτε μητρὸς ἄκουον.
an-infant as always I once from-mother heard
ἀλλ᾽ ἴθι, κεῦθε δ᾽ ἐμὴν σιγῇ χάριν, ὄφρα τοκῆας
but go hide and my in-silence favor so-that the-parents
λήσομαι ἐντύνουσα ὑπόσχεσιν· ἦρι δὲ νηὸν
I-may-escape-notice preparing the-promise at-dawn and temple
οἴσομαι εἰς Ἑκάτης θελκτήρια φάρμακα ταύρων.”
I-will-bring to of-Hecate charm drugs for-the-bulls
Ὣς ἥγ᾽ ἐκ θαλάμοιο πάλιν κίε, παισί τ᾽ ἀρωγὴν
So she from chamber back went to-the-sons and help
αὐτοκασιγνήτης διεπέφραδε. †τὴν δέ μιν† αὖτις
of-her-own-sister declared (corrupt)-her and her(corrupt) again
αἰδώς τε στυγερόν τε δέος λάβε μουνωθεῖσαν,
shame both hateful and fear seized alone
τοῖα παρὲξ οὗ πατρὸς ἐπ᾽ ἀνέρι μητιάασθαι.
such-things beside of-her father for man to-devise

Alone through the night Medea wrestles with herself, ready to take poison from her casket rather than betray her father or face the shame. The fear of death holds her back, and, turned by Hera, she resolves to help Jason and longs for the dawn.

Νὺξ μὲν ἔπειτ' ἐπὶ γαῖαν ἄγεν κνέφας· οἱ δ' ἐνὶ πόντῳ
Night indeed then over earth brought darkness they and on sea
ναῦται εἰς Ἑλίκην τε καὶ ἀστέρας Ὠρίωνος
sailors to Helice both and stars of-Orion
ἔδρακον ἐκ νηῶν· ὕπνοιο δὲ καί τις ὁδίτης
looked from ships of-sleep and also some wayfarer
ἤδη καὶ πυλαωρὸς ἐέλδετο· καί τινα παίδων
already and gatekeeper longed and some of-children
μητέρα τεθνεώτων ἀδινὸν περὶ κῶμ' ἐκάλυπτεν·
mother dead deep around slumber covered
οὐδὲ κυνῶν ὑλακὴ ἔτ' ἀνὰ πτόλιν, οὐ θρόος ἦεν
nor of-dogs barking still through city not murmur was
ἠχήεις· σιγὴ δὲ μελαινομένην ἔχεν ὄρφνην.
echoing silence and darkening held gloom
ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπὶ γλυκερὸς λάβεν ὕπνος.
but very not Medea on sweet took sleep
πολλὰ γὰρ Αἰσονίδαο πόθῳ μελεδήματ' ἔγειρεν
many for of-the-son-of-Aeson in-longing cares roused
δειδυῖαν ταύρων κρατερὸν μένος, οἷσιν ἔμελλεν
fearing of-bulls strong might by-which he-was-to
φθίσθαι ἀεικελίῃ μοίρῃ κατὰ νειὸν Ἄρηος.
to-perish by-unseemly by-fate in fallow of-Ares
πυκνὰ δέ οἱ κραδίη στηθέων ἔντοσθεν ἔθυιεν,
thick and her heart breast within throbbed

ἠελίου ὥς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη
of-sun as some — in-house quivers gleam
ὕδατος ἐξανιοῦσα, τὸ δὴ νέον ἠὲ λέβητι
from-water rising which indeed newly either in-cauldron
ἠέ που ἐν γαυλῷ κέχυται· ἡ δ' ἔνθα καὶ ἔνθα
or somewhere in pail is-poured it and here and there
ὠκείῃ στροφάλιγγι τινάσσεται ἀίσσουσα·
with-swift with-whirl is-shaken darting
ὣς δὲ καὶ ἐν στήθεσσι κέαρ ἐλελίζετο κούρης.
so and also in breast heart quivered of-the-maiden
δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν· ἔνδοθι δ' αἰεὶ
tear and from eyes in-pity flowed within and ever
τεῖρ' ὀδύνη σμύχουσα διὰ χροός, ἀμφί τ' ἀραιὰς
wore pain smoldering through flesh around and fine
ἶνας καὶ κεφαλῆς ὑπὸ νείατον ἰνίον ἄχρις,
nerves and of-head under lowest nape as-far-as
ἔνθ' ἀλεγεινότατον δύνει ἄχος, ὁππότ' ἀνίας
where most-grievous enters grief when sorrows
ἀκάματοι πραπίδεσσιν ἐνισκίμψωσιν Ἔρωτες.
untiring in-the-heart strike Loves
φῆ δέ οἱ ἄλλοτε μὲν θελκτήρια φάρμακα ταύρων
she-said and to-herself at-one-time indeed charm drugs of-the-bulls
δωσέμεν, ἄλλοτε δ' οὔτι· καταφθίσθαι δὲ καὶ αὐτή·
to-be-going-to-give at-another and not-at-all to-perish and also herself
αὐτίκα δ' οὔτ' αὐτὴ θανέειν, οὐ φάρμακα δώσειν,
at-once and neither herself to-die nor drugs to-be-going-to-give
ἀλλ' αὕτως εὔκηλος ἑὴν ὀτλησέμεν ἄτην.
but just-so quietly her-own to-be-going-to-endure ruin
ἑζομένη δἤπειτα δοάσσατο, φώνησέν τε·
seated then she-wavered spoke and

"Δειλὴ ἐγώ, νῦν ἔνθα κακῶν ἢ ἔνθα γένωμαι;
Wretched I now here of-evils or there shall-I-be
πάντῃ μοι φρένες εἰσὶν ἀμήχανοι· οὐδέ τις ἀλκὴ
everywhere for-me minds are helpless nor any help
πήματος· ἀλλ' αὔτως φλέγει ἔμπεδον. ὡς ὄφελόν γε
of-woe but just-so it-burns steadfastly would-that I-had indeed
Ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι,
of-Artemis by-swift before by-arrows to-be-subdued
πρὶν τόνγ' εἰσιδέειν, πρὶν Ἀχαιΐδα γαῖαν ἱκέσθαι
before him to-see before Achaean land to-reach
Χαλκιόπης υἷας. τοὺς μὲν θεὸς ἤ τις Ἐρινὺς
of-Chalciope sons them indeed a-god or some Fury
ἄμμι πολυκλαύτους δεῦρ' ἤγαγε κεῖθεν ἀνίας.
to-us much-lamented here brought thence sorrows
φθίσθω ἀεθλεύων, εἴ οἱ κατὰ νειὸν ὀλέσθαι
let-him-perish contending if for-him in fallow to-die
μοῖρα πέλει. πῶς γάρ κεν ἐμοὺς λελάθοιμι τοκῆας
fate is how for — my might-I-escape parents
φάρμακα μησαμένη; ποῖον δ' ἐπὶ μῦθον ἐνίψω;
drugs having-devised what and upon word shall-I-tell
τίς δὲ δόλος, τίς μῆτις ἐπίκλοπος ἔσσετ' ἀρωγῆς;
what and guile what plan secret will-be of-help
ἦ μιν ἄνευθ' ἑτάρων προσπτύξομαι οἷον ἰδοῦσα;
truly him apart-from comrades shall-I-greet alone seeing
δύσμορος· οὐ μὲν ἔολπα καταφθιμένοιό περ ἔμπης
ill-fated not indeed I-expect dead though nevertheless
λωφήσειν ἀχέων· τότε δ' ἂν κακὸν ἄμμι πέλοιτο,
to-be-going-to-cease from-griefs then and — evil for-us would-be
κεῖνος ὅτε ζωῆς ἀπαμείρεται. ἐρρέτω αἰδώς,
he when of-life is-bereft away-with shame

ἐρρέτω ἀγλαΐη· ὁ δ' ἐμῇ ἰότητι σαωθεὶς
away-with splendor he and by-my by-will saved
ἀσκηθής, ἵνα οἱ θυμῷ φίλον, ἔνθα νέοιτο.
unscathed where to-him to-heart dear there may-go
αὐτὰρ ἐγὼν αὐτῆμαρ, ὅτ' ἐξανύσειεν ἄεθλον,
but I that-very-day when he-accomplishes the-contest
τεθναίην, ἢ λαιμὸν ἀναρτήσασα μελάθρῳ,
may-I-die either neck hanging from-roof-beam
790 ἢ καὶ πασσαμένη ῥαιστήρια φάρμακα θυμοῦ.
or also having-tasted destructive drugs of-life
ἀλλὰ καὶ ὣς φθιμένῃ μοι ἐπιλλίξουσιν ὀπίσσω
but even so dead me will-wink-at hereafter
κερτομίας· τηλοῦ δὲ πόλις περὶ πᾶσα βοήσει
mockings far and city around all will-shout
πότμον ἐμόν· καί κέν με διὰ στόματος φορέουσαι
fate my and — me through mouth carrying
Κολχίδες ἄλλυδις ἄλλαι ἀεικέα μωμήσονται·
Colchian-women one-to-one-place another-to-another unseemly will-reproach
795 ἥτις κηδομένη τόσον ἀνέρος ἀλλοδαποῖο
who caring so-much for-a-man foreign
κάτθανεν, ἥτις δῶμα καὶ οὓς ᾐσχυνε τοκῆας,
died who house and her disgraced parents
μαργοσύνῃ εἴξασα. τί δ' οὐκ ἐμὸν ἔσσεται αἶσχος;
to-madness having-yielded what and not my will-be shame

ὤ μοι ἐμῆς ἄτης. ἦ τ' ἂν πολὺ κέρδιον εἴη
ah me of-my blindness truly — — much better would-be
τῇδ' αὐτῇ ἐν νυκτὶ λιπεῖν βίον ἐν θαλάμοισιν
in-this same in night to-leave life in chambers
πότμῳ ἀνωίστῳ, κάκ' ἐλέγχεα πάντα φυγοῦσαν,
by-fate unforeseen evil reproaches all having-escaped
πρὶν τάδε λωβήεντα καὶ οὐκ ὀνομαστὰ τελέσσαι."
before these shameful and not to-be-named to-accomplish
Ἦ, καὶ φωριαμὸν μετεκίαθεν, ᾗ ἔνι πολλὰ
She-spoke and casket went-to which in many
φάρμακά οἱ, τὰ μὲν ἐσθλά, τὰ δὲ ῥαιστήρι', ἔκειτο.
drugs to-her some indeed good others and destructive lay
ἐνθεμένη δ' ἐπὶ γούνατ' ὀδύρετο. δεῦε δὲ κόλπους
having-set and on knees she-wept wet and bosom
ἄλληκτον δακρύοισι, τὰ δ' ἔρρεεν ἀσταγὲς αὔτως,
unceasingly with-tears they and flowed in-torrents just-so
αἴν' ὀλοφυρομένης τὸν ἑὸν μόρον. ἵετο δ' ἥγε
terribly lamenting the her-own fate desired and she
φάρμακα λέξασθαι θυμοφθόρα, τόφρα πάσαιτο.
drugs to-choose soul-destroying so-that she-might-taste
ἤδη καὶ δεσμοὺς ἀνελύετο φωριαμοῖο,
already also bands was-loosing of-the-casket
ἐξελέειν μεμαυῖα, δυσάμμορος. ἀλλά οἱ ἄφνω
to-take-out eager ill-fated but her suddenly
δεῖμ' ὀλοὸν στυγεροῖο κατὰ φρένας ἦλθ' Ἀΐδαο.
fear baneful of-hateful into mind came of-Hades
ἔσχετο δ' ἀμφασίῃ δηρὸν χρόνον, ἀμφὶ δὲ πᾶσαι
she-was-held and in-speechlessness long time around and all
θυμηδεῖς βιότοιο μεληδόνες ἰνδάλλοντο.
heart-pleasing of-life cares appeared

μνήσατο μὲν τερπνῶν, ὅσ' ἐνὶ ζωοῖσι πέλονται,
she-remembered indeed of-delights as-many-as among living are
μνήσαθ' ὁμηλικίης περιγηθέος, οἷά τε κούρη·
she-remembered of-companionship cheerful as — a-girl
καί τέ οἱ ἠέλιος γλυκίων γένετ' εἰσοράασθαι,
and — to-her the-sun sweeter became to-behold
ἢ πάρος, εἰ ἐτεόν γε νόῳ ἐπεμαίεθ' ἕκαστα.
than before if truly indeed in-mind she-reached-for each-thing
καὶ τὴν μέν ῥα πάλιν σφετέρων ἀποκάτθετο γούνων,
and it indeed then again from-her-own put-down knees
Ἥρης ἐννεσίῃσι μετάτροπος, οὐδ' ἔτι βουλὰς
of-Hera by-the-promptings changed nor longer counsels
ἄλλῃ δοιάζεσκεν· ἐέλδετο δ' αἶψα φανῆναι
elsewhere she-wavered longed and at-once to-appear
ἠῶ τελλομένην, ἵνα οἱ θελκτήρια δοίη
dawn rising so-that to-him charm she-might-give
φάρμακα συνθεσίῃσι, καὶ ἀντήσειεν ἐς ὠπήν.
drugs by-the-compact and might-meet to face
πυκνὰ δ' ἀνὰ κληῖδας ἑῶν λύεσκε θυράων,
often and up bolts of-her loosed of-doors
αἴγλην σκεπτομένη· τῇ δ' ἀσπάσιον βάλε φέγγος
light watching to-her and welcome cast light
Ἠριγενής, κίνυντο δ' ἀνὰ πτολίεθρον ἕκαστοι.
Early-born-Dawn stirred and through city each
Ἔνθα κασιγνήτους μὲν ἔτ' αὐτόθι μεῖναι ἀνώγει
There brothers indeed still there to-remain bade
Ἄργος, ἵνα φράζοιντο νόον καὶ μήδεα κούρης·
Argus so-that they-might-observe the-mind and designs of-the-maiden
αὐτὸς δ' αὖτ' ἐπὶ νῆα κίεν προπάροιθε λιασθείς.
himself and in-turn to ship went before having-turned-away

At dawn Medea anoints herself and takes from her casket the charm of Prometheus, which grew from the ichor the eagle let drip. She drives with her handmaids to the temple of Hecate. Jason sets out with Argus and Mopsus, and a crow mocks Mopsus, since no maiden will speak words of love to a youth while others are with him; Mopsus sends Jason on alone.

Ἡ δ' ἐπεὶ οὖν τὰ πρῶτα φαεινομένην ἴδεν ἠῶ
She and when then the first shining saw dawn
παρθενική, ξανθὰς μὲν ἀνήψατο χερσὶν ἐθείρας,
the-maiden golden indeed bound-up with-hands hair
αἳ οἱ ἀτημελίῃ καταειμέναι ἠερέθοντο,
which for-her in-neglect hanging-down floated
αὐσταλέας δ' ἔψησε παρηίδας· αὐτὰρ ἀλοιφῇ
dry and wiped cheeks but with-unguent
νεκταρέῃ φαιδρύνετ' ἐπὶ χρόα· δῦνε δὲ πέπλον
nectarous anointed on skin put-on and robe
καλόν, ἐυγνάμπτοισιν ἀρηρέμενον περόνῃσιν·
fair with-well-bent fastened with-pins
ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην
ambrosial and above on-head cast veil
ἀργυφέην. αὐτοῦ δὲ δόμοις ἔνι δινεύουσα
silvery there and house in turning
στεῖβε πέδον λήθῃ ἀχέων, τά οἱ ἐν ποσὶν ἦεν
trod floor in-forgetfulness of-griefs which to-her at feet were
θεσπέσι', ἄλλα τ' ἔμελλεν ἀεξήσεσθαι ὀπίσσω.
wondrous others and were-to to-be-going-to-increase hereafter

κέκλετο δ' ἀμφιπόλοις, αἵ οἱ δυοκαίδεκα πᾶσαι
called and the-handmaids who to-her twelve all
ἐν προδόμῳ θαλάμοιο θυώδεος ηὐλίζοντο
in porch of-chamber fragrant slept
ἥλικες, οὔπω λέκτρα σὺν ἀνδράσι πορσύνουσαι,
of-like-age not-yet beds with men sharing
ἐσσυμένως οὐρῆας ὑποζεύξασθαι ἀπήνῃ,
hastily mules to-yoke-under to-wagon
οἵ κέ μιν εἰς Ἑκάτης περικαλλέα νηὸν ἄγοιεν.
which — her to of-Hecate very-beautiful temple might-bring
ἔνθ' αὖτ' ἀμφίπολοι μὲν ἐφοπλίζεσκον ἀπήνην·
there in-turn handmaids indeed made-ready wagon
ἡ δὲ τέως γλαφυρῆς ἐξείλετο φωριαμοῖο
she and meanwhile from-hollow took-out casket
φάρμακον, ὅ ῥά τέ φασι Προμήθειον καλέεσθαι.
drug which then — they-say Promethean to-be-called
τῷ εἴ κ' ἐννυχίοισιν ἀρεσσάμενος θυέεσσιν
with-it if — by-nightly having-appeased with-sacrifices
Κούρην μουνογένειαν ἑὸν δέμας ἰκμαίνοιτο,
the-Maiden only-begotten his-own body one-should-anoint
ἦ τ' ἂν ὅγ' οὔτε ῥηκτὸς ἔοι χαλκοῖο τυπῇσιν,
truly — — he neither breakable would-be of-bronze by-blows
οὔτε κεν αἰθομένῳ πυρὶ εἰκάθοι· ἀλλὰ καὶ ἀλκῇ
nor — to-blazing to-fire would-yield but also in-strength
λωίτερος κεῖν' ἦμαρ ὁμῶς κάρτει τε πέλοιτο.
better on-that day alike in-might and would-be

πρωτοφυὲς τόγ᾽ ἀνέσχε καταστάξαντος ἔραζε
first-grown it shot-up having-dripped to-the-ground
αἰετοῦ ὠμηστέω κνημοῖς ἔνι Καυκασίοισιν
of-the-eagle raw-eating glens in Caucasian
αἱματόεντ᾽ ἰχῶρα Προμηθῆος μογεροῖο.
bloody ichor of-Prometheus of-the-tortured
τοῦ δ᾽ ἤτοι ἄνθος μὲν ὅσον πήχυιον ὕπερθεν
of-it and truly flower indeed as-much-as a-cubit above
χροιῇ Κωρυκίῳ ἴκελον κρόκῳ ἐξεφαάνθη,
in-color to-Corycian like to-crocus appeared
καυλοῖσιν διδύμοισιν ἐπήορον· ἡ δ᾽ ἐνὶ γαίῃ
on-stalks on-twin raised it and in earth
σαρκὶ νεοτμήτῳ ἐναλιγκίη ἔπλετο ῥίζα.
to-flesh newly-cut like was root
τῆς οἵην τ᾽ ἐν ὄρεσσι κελαινὴν ἰκμάδα φηγοῦ
of-it such-as — in mountains dark juice of-oak
Κασπίῃ ἐν κόχλῳ ἀμήσατο φαρμάσσεσθαι,
Caspian in shell she-had-gathered to-make-drugs
ἑπτὰ μὲν ἀενάοισι λοεσσαμένη ὑδάτεσσιν,
seven-times indeed in-ever-flowing having-bathed in-waters
ἑπτάκι δὲ Βριμὼ κουροτρόφον ἀγκαλέσασα,
seven-times and Brimo nurse-of-youth calling-on
Βριμὼ νυκτιπόλον, χθονίην, ἐνέροισιν ἄνασσαν,
Brimo night-wandering of-the-underworld over-the-dead queen
λυγαίῃ ἐνὶ νυκτί, σὺν ὀρφναίοις φαρέεσσιν.
dark in night with dark robes
μυκηθμῷ δ᾽ ὑπένερθεν ἐρεμνὴ σείετο γαῖα,
with-bellowing and beneath black shook earth

ῥίζης τεμνομένης Τιτηνίδος· ἔστενε δ' αὐτὸς
of-the-root being-cut Titanian groaned and himself
Ἰαπετοῖο πάις ὀδύνῃ πέρι θυμὸν ἀλύων.
of-Iapetus son with-pain beyond in-heart distraught
τό ῥ' ἤγ' ἐξανελοῦσα θυώδεϊ κάτθετο μίτρῃ,
it then she having-taken-out in-fragrant put band
ἥ τέ οἱ ἀμβροσίοισι περὶ στήθεσσιν ἔερτο.
which — for-her ambrosial about breast was-girt
ἐκ δὲ θύραζε κιοῦσα θοῆς ἐπεβήσατ' ἀπήνης·
out and to-the-door going swift mounted wagon
σὺν δέ οἱ ἀμφίπολοι δοιαὶ ἑκάτερθεν ἔβησαν.
with and her handmaids two on-either-side mounted
αὐτὴ δ' ἡνί' ἔδεκτο καὶ εὐποίητον ἱμάσθλην
herself and reins took and well-made whip
δεξιτερῇ, ἔλαεν δὲ δι' ἄστεος· αἱ δὲ δὴ ἄλλαι
with-right drove and through town they and indeed other
ἀμφίπολοι, πείρινθος ἐφαπτόμεναι μετόπισθεν,
handmaids of-the-wagon-basket laying-hold behind
τρώχων εὐρεῖαν κατ' ἀμαξιτόν· ἂν δὲ χιτῶνας
ran broad along wagon-road up and tunics
λεπταλέους λευκῆς ἐπιγουνίδος ἄχρις ἄειρον.
fine of-white of-knee as-far-as raised
οἵη δὲ λιαροῖσιν ἐφ' ὕδασι Παρθενίοιο,
as and warm by waters of-Parthenius
ἠὲ καὶ Ἀμνισοῖο λοεσσαμένη ποταμοῖο
or also of-Amnisus having-bathed of-river
χρυσείοις Λητωὶς ἐφ' ἅρμασιν ἑστηυῖα
golden daughter-of-Leto on chariot standing
ὠκείαις κεμάδεσσι διεξελάσῃσι κολώνας,
with-swift with-deer drives-through hills

τηλόθεν ἀντιόωσα πολυκνίσου ἑκατόμβης·
from-afar coming of-rich-savored hecatomb
τῇ δ' ἅμα νύμφαι ἕπονται ἀμορβάδες, αἱ μὲν ἐπ' αὐτῆς
her and with nymphs follow attendants they indeed from very
ἀγρόμεναι πηγῆς Ἀμνισίδος, ἂν δὲ δὴ ἄλλαι
gathering spring Amnisian up and indeed others
ἄλσεα καὶ σκοπιὰς πολυπίδακας· ἀμφὶ δὲ θῆρες
groves and peaks many-fountained around and beasts
κνυζηθμῷ σαίνουσιν ὑποτρομέοντες ἰοῦσαν·
with-whining fawn trembling going
ὣς αἵγ' ἐσσεύοντο δι' ἄστεος· ἀμφὶ δὲ λαοὶ
so they rushed through town around and people
εἶκον, ἀλευάμενοι βασιληίδος ὄμματα κούρης.
yielded avoiding of-royal eyes of-the-maiden
αὐτὰρ ἐπεὶ πόλιος μὲν ἐυδμήτους λίπ' ἀγυιάς,
but when of-city indeed well-built she-left streets
νηὸν δ' εἰσαφίκανε διὲκ πεδίων ἐλάουσα,
temple and reached through plains driving
δὴ τότ' ἐυτροχάλοιο κατ' αὐτόθι βήσατ' ἀπήνης
indeed then of-well-running down there she-stepped from-wagon
ἱεμένη, καὶ τοῖα μετὰ δμωῇσιν ἔειπεν·
eager and such among maidservants spoke
"Ὦ φίλαι, ἦ μέγα δή τι παρήλιτον, οὐδ' ἐνόησα
O friends truly greatly indeed somehow I-erred nor did-I-notice
†μὴ ἴμεν† ἀλλοδαποῖσι μετ' ἀνδράσιν, οἵ τ' ἐπὶ γαῖαν
(corrupt)-not to-go(corrupt) foreign among men who — on land

ἡμετέρην στρωφῶσιν. ἀμηχανίῃ βεβόληται
our roam in-helplessness is-stricken
πᾶσα πόλις· τὸ καὶ οὔτις ἀνήλυθε δεῦρο γυναικῶν
all city therefore also no-one has-come here of-women
τάων, αἳ τὸ πάροιθεν ἐπημάτιαι ἀγέρονται.
of-those who the before daily gather
ἀλλ᾽ ἐπεὶ οὖν ἱκόμεσθα, καὶ οὔ νύ τις ἄλλος ἔπεισιν,
but since then we-have-come and not now any other comes
εἰ δ᾽ ἄγε μολπῇ θυμὸν ἀφειδείως κορέσωμεν
if and come with-song heart unsparingly let-us-fill
μειλιχίῃ, τὰ δὲ καλὰ τερείνης ἄνθεα ποίης
gentle the and fair of-tender flowers of-grass
λεξάμεναι τότ᾽ ἔπειτ᾽ αὐτὴν ἀπονισσόμεθ᾽ ὥρην.
having-gathered then then at-the-very let-us-return hour
καὶ δέ κε σὺν πολέεσσιν ὀνείασιν οἴκαδ᾽ ἵκοισθε
and and — with many good-things home you-would-come
ἤματι τῷ, εἴ μοι συναρέσσετε τήνδε μενοινήν.
on-day that if me you-gratify-in this desire
Ἄργος γάρ μ᾽ ἐπέεσσι παρατρέπει, ὣς δὲ καὶ αὐτὴ
Argus for me with-words tries-to-turn so and also herself
Χαλκιόπη· τὰ δὲ σῖγα νόῳ ἔχετ᾽ εἰσαΐουσαι
Chalciope these and silently in-mind keep hearing
ἐξ ἐμέθεν, μὴ πατρὸς ἐς οὔατα μῦθος ἵκηται.
from me lest of-father to ears word come
τὸν ξεῖνόν με κέλονται, ὅτις περὶ βουσὶν ὑπέστη,
the stranger me they-bid who about oxen undertook
δῶρ᾽ ἀποδεξαμένην ὀλοῶν ῥύσασθαι ἀέθλων.
gifts having-accepted from-baneful to-rescue contests

αὐτὰρ ἐγὼ τὸν μῦθον ἐπῄνεον, ἠδὲ καὶ αὐτὸν
but I the word approved and also himself
κέκλομαι εἰς ὠπὴν ἑτάρων ἄπο μοῦνον ἰκέσθαι,
I-bid to face of-comrades apart alone to-come
ὄφρα τὰ μὲν δασόμεσθα μετὰ σφίσιν, εἴ κεν ὀπάσσῃ
so-that them indeed we-may-divide among ourselves if — he-gives
δῶρα φέρων, τῷ δ' αὖτε κακώτερον ἄλλο πόρωμεν
gifts bringing to-him and in-turn worse other let-us-give
φάρμακον. ἀλλ' ἀπονόσφι πέλεσθέ μοι, εὖτ' ἂν ἵκηται."
drug but apart be for-me when — he-comes
Ὣς ηὔδα· πάσῃσι δ' ἐπίκλοπος ἤνδανε μῆτις.
So she-spoke to-all and crafty pleased plan
αὐτίκα δ' Αἰσονίδην ἑτάρων ἄπο μοῦνον ἐρύσσας
at-once and son-of-Aeson of-comrades apart alone drawing
Ἄργος, ὅτ' ἤδη τήνδε κασιγνήτων ἐσάκουσεν
Argus when now her from-the-brothers he-heard
ἠερίην Ἑκάτης ἱερὸν μετὰ νηὸν ἰοῦσαν,
at-dawn of-Hecate holy to temple going
ἦγε διὲκ πεδίου· ἅμα δέ σφισιν εἵπετο Μόψος
led through plain together and with-them followed Mopsus
Ἀμπυκίδης, ἐσθλὸς μὲν ἐπιπροφανέντας ἐνισπεῖν
son-of-Ampycus good indeed having-appeared to-declare
οἰωνούς, ἐσθλὸς δὲ σὺν εὖ φράσσασθαι ἰοῦσιν.
birds good and with well to-advise for-them-going
Ἔνθ' οὔπω τις τοῖος ἐπὶ προτέρων γένετ' ἀνδρῶν,
There never-yet anyone such among former was of-men
οὔθ' ὅσοι ἐξ αὐτοῖο Διὸς γένος, οὔθ' ὅσοι ἄλλων
neither as-many-as from himself Zeus race nor as-many-as of-other
ἀθανάτων ἥρωες ἀφ' αἵματος ἐβλάστησαν,
immortals heroes from blood sprang

οἷον Ἰήσονα θῆκε Διὸς δάμαρ ἤματι κείνῳ
as Jason made of-Zeus wife on-day that
ἠμὲν ἐσάντα ἰδεῖν, ἠδὲ προτιμυθήσασθαι.
both face-to-face to-see and to-converse-with
τὸν καὶ παπταίνοντες ἐθάμβεον αὐτοὶ ἑταῖροι
him even gazing marveled themselves comrades
λαμπόμενον χαρίτεσσιν· ἐγήθησεν δὲ κελεύθῳ
shining with-graces rejoiced and at-the-road
Ἀμπυκίδης, ἤδη που ὀισσάμενος τὰ ἕκαστα.
son-of-Ampycus already surely foreseeing the each-thing
Ἔστι δέ τις πεδίοιο κατὰ στίβον ἐγγύθι νηοῦ
There-is and a of-plain along path near temple
αἴγειρος φύλλοισιν ἀπειρεσίοις κομόωσα,
poplar with-leaves countless crowned
τῇ θαμὰ δὴ λακέρυζαι ἐπηυλίζοντο κορῶναι.
on-which often indeed chattering roosted crows
τάων τις μεσσηγὺς ἀνὰ πτερὰ κινήσασα
of-them one in-the-midst up wings moving
ὑψοῦ ἐπ᾽ ἀκρεμόνων Ἥρης ἠνίπαπε βουλάς·
high from branches of-Hera chid counsels
“ Ἀκλειὴς ὅδε μάντις, ὃς οὐδ᾽ ὅσα παῖδες ἴσασιν
Inglorious this seer who not-even as-many-as children know
οἶδε νόῳ φράσσασθαι, ὀθούνεκεν οὔτε τι λαρὸν
knows in-mind to-consider because neither anything sweet
οὔτ᾽ ἐρατὸν κούρη κεν ἔπος προτιμυθήσαιτο
nor lovely the-maiden — word would-say
ἠιθέῳ, εὖτ᾽ ἄν σφιν ἐπήλυδες ἄλλοι ἕπωνται.
to-a-youth when — them strangers others follow

ἔρροις, ὦ κακόμαντι, κακοφραδές· οὔτε σε Κύπρις,
away-with-you O evil-seer evil-minded neither you Cypris
οὔτ' ἀγανοὶ φιλέοντες ἐπιπνείουσιν Ἔρωτες."
nor gentle loving breathe-upon Loves
Ἴσκεν ἀτεμβομένη· μείδησε δὲ Μόψος ἀκούσας
She-spoke chiding smiled and Mopsus hearing
ὀμφὴν οἰωνοῖο θεήλατον, ὧδέ τ' ἔειπεν·
the-voice of-the-bird god-sent thus and spoke
"Τύνη μὲν νηόνδε θεᾶς ἴθι, τῷ ἔνι κούρην
You indeed to-temple of-goddess go which in the-maiden
δήεις, Αἰσονίδη· μάλα δ' ἠπίῃ ἀντιβολήσεις
you-will-find son-of-Aeson very and kindly you-will-meet
Κύπριδος ἐννεσίῃς, ἥ τοι συνέριθος ἀέθλων
of-Cypris by-the-promptings who to-you helper of-labors
ἔσσεται, ὡς δὴ καὶ πρὶν Ἀγηνορίδης φάτο Φινεύς.
will-be as indeed also before son-of-Agenor said Phineus
νῶι δ', ἐγὼν Ἄργος τε, δεδεγμένοι, εὖτ' ἂν ἵκηαι,
we-two and I Argus and waiting when — you-come
τῷδ' αὐτῷ ἐνὶ χώρῳ ἀπεσσόμεθ'· οἰόθι δ' αὐτὸς
in-this same in place will-be-away alone and yourself
λίσσεό μιν πυκινοῖσι παρατροπέων ἐπέεσσιν."
beseech her with-shrewd winning-over with-words

Medea waits in the temple until Jason appears. Jason asks her help, and she gives him the charm and tells him how to use it: to bathe at midnight, sacrifice to Hecate, anoint himself and his weapons, and throw a stone among the earthborn men. She asks him to remember her, and Jason tells her of Ariadne and promises to take her to Greece as his wife.

Ἦ ῥα περιφραδέως, ἐπὶ δὲ σχεδὸν ᾔνεον ἄμφω.
He-spoke then carefully on and at-once approved both
οὐδ' ἄρα Μηδείης θυμὸς τράπετ' ἄλλα νοῆσαι,
nor then of-Medea heart turned other-things to-think
μελπομένης περ ὅμως· πᾶσαι δέ οἱ, ἤντιν' ἀθύροι
singing though nevertheless all and for-her whatever she-might-play
μολπήν, οὐκ ἐπὶ δηρὸν ἐφήνδανεν ἑψιάασθαι.
song not for long pleased to-amuse
ἀλλὰ μεταλλήγεσκεν ἀμήχανος, οὐδέ ποτ' ὄσσε
but she-ceased helpless nor ever eyes
ἀμφιπόλων μεθ' ὅμιλον ἔχ' ἀτρέμας· ἐς δὲ κελεύθους
of-the-handmaids on throng kept still to and the-paths
τηλόσε παπταίνεσκε, παρακλίνουσα παρειάς.
far-off looked turning-aside cheeks
ἦ θαμὰ δὴ στηθέων ἐάγη κέαρ, ὁππότε δοῦπον
truly often indeed from-breast broke heart when thud
ἢ ποδὸς ἢ ἀνέμοιο παραθρέξαντα δοάσσαι.
either of-foot or of-wind running-past she-should-suspect
αὐτὰρ ὅγ' οὐ μετὰ δηρὸν ἐελδομένῃ ἐφαάνθη
but he not after long to-the-longing appeared
ὑψόσ' ἀναθρῴσκων ἅ τε Σείριος Ὠκεανοῖο,
high leaping as — Sirius from-Ocean

ὃς δή τοι καλὸς μὲν ἀρίζηλός τ᾽ ἐσιδέσθαι
which indeed you-know beautiful indeed conspicuous and to-see
ἀντέλλει, μήλοισι δ᾽ ἐν ἄσπετον ἧκεν ὀιζύν·
rises for-flocks and in boundless sends woe
ὣς ἄρα τῇ καλὸς μὲν ἐπήλυθεν εἰσοράασθαι
so then to-her beautiful indeed came to-behold
Αἰσονίδης, κάματον δὲ δυσίμερον ὦρσε φαανθείς.
son-of-Aeson weariness and lovesick roused appearing
ἐκ δ᾽ ἄρα οἱ κραδίη στηθέων πέσεν, ὄμματα δ᾽ αὔτως
out and then her heart from-breast fell eyes and just-so
ἤχλυσαν· θερμὸν δὲ παρηίδας εἷλεν ἔρευθος.
were-dimmed hot and cheeks seized redness
γούνατα δ᾽ οὔτ᾽ ὀπίσω οὔτε προπάροιθεν ἀεῖραι
knees and neither back nor forward to-lift
ἔσθενεν, ἀλλ᾽ ὑπένερθε πάγη πόδας. αἱ δ᾽ ἄρα τείως
she-was-able but below were-fixed feet they and then meanwhile
ἀμφίπολοι μάλα πᾶσαι ἀπὸ σφείων ἐλίασθεν.
handmaids very all from them withdrew
τὼ δ᾽ ἄνεῳ καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοισιν,
the-two and silent and speechless stood-near one-another
ἢ δρυσίν, ἢ μακρῇσιν ἐειδόμενοι ἐλάτῃσιν,
either to-oaks or to-tall like to-pines
αἵ τε παρᾶσσον ἔκηλοι ἐν οὔρεσιν ἐρρίζωνται,
which — side-by-side quietly in mountains are-rooted
νηνεμίῃ· μετὰ δ᾽ αὖτις ὑπὸ ῥιπῆς ἀνέμοιο
in-windlessness after and again under blast of-wind
κινύμεναι ὁμάδησαν ἀπείριτον· ὣς ἄρα τώγε
moved murmur endlessly so then they-two
μέλλον ἅλις φθέγξασθαι ὑπὸ πνοιῇσιν Ἔρωτος.
were-to fully to-speak under breaths of-Love

γνῶ δέ μιν Αἰσονίδης ἄτῃ ἐνιπεπτηυῖαν
knew and her son-of-Aeson into-ruin fallen
θευμορίῃ, καὶ τοῖον ὑποσσαίνων φάτο μῦθον·
heaven-sent and such fawning spoke word
"Τίπτε με, παρθενική, τόσον ἄζεαι, οἷον ἐόντα;
Why me maiden so-much do-you-dread alone being
οὔ τοι ἐγών, οἷοί τε δυσαυχέες ἄλλοι ἔασιν
not you-know I as — boastful others are
ἀνέρες, οὐδ' ὅτε περ πάτρῃ ἔνι ναιετάασκον,
men nor when indeed fatherland in I-dwelt
ἦα πάρος. τῶ μή με λίην ὑπεραίδεο, κούρη,
was before therefore not me too-much be-abashed-before maiden
ἤ τι παρεξερέεσθαι, ὅ τοι φίλον, ἠέ τι φάσθαι.
either anything to-ask what to-you dear or anything to-say
ἀλλ' ἐπεὶ ἀλλήλοισιν ἱκάνομεν εὐμενέοντες,
but since one-another we-have-come being-kind
χώρῳ ἐν ἠγαθέῳ, ἵνα τ' οὐ θέμις ἔστ' ἀλιτέσθαι,
place in holy where — not right is to-sin
ἀμφαδίην ἀγόρευε καὶ εἴρεο· μηδέ με τερπνοῖς
openly speak and ask nor me with-pleasing
φηλώσῃς ἐπέεσσιν, ἐπεὶ τὸ πρῶτον ὑπέστης
cheat with-words since the first you-promised
αὐτοκασιγνήτῃ μενοεικέα φάρμακα δώσειν.
to-your-own-sister satisfying drugs to-be-going-to-give
πρός σ' αὐτῆς Ἑκάτης μειλίσσομαι ἠδὲ τοκήων
by you herself of-Hecate I-beseech and of-parents
καὶ Διός, ὃς ξείνοις ἱκέτῃσί τε χεῖρ' ὑπερίσχει·
and of-Zeus who over-strangers over-suppliants and hand holds
ἀμφότερον δ', ἱκέτης ξεῖνός τέ τοι ἐνθάδ' ἱκάνω,
both and suppliant stranger and to-you here I-come

χρειοῖ ἀναγκαίῃ γουνούμενος. οὐ γὰρ ἄνευθεν
in-need in-compelling beseeching not for apart
ὑμείων στονόεντος ὑπέρτερος ἔσσομ᾽ ἀέθλου.
from-you of-the-grievous superior I-shall-be contest
σοὶ δ᾽ ἂν ἐγὼ τίσαιμι χάριν μετόπισθεν ἀρωγῆς, 990
to-you and — I would-pay thanks hereafter for-help
ἣ θέμις, ὡς ἐπέοικε διάνδιχα ναιετάοντας,
as right as befits apart dwelling
οὔνομα καὶ καλὸν τεύχων κλέος· ὣς δὲ καὶ ὤλλοι
name and fair making fame so and also the-others
ἥρωες κλήσουσιν ἐς Ἑλλάδα νοστήσαντες
heroes will-celebrate to Hellas having-returned
ἡρώων τ᾽ ἄλοχοι καὶ μητέρες, αἵ νύ που ἤδη
of-heroes and wives and mothers who now surely already
ἡμέας ἠιόνεσσιν ἐφεζόμεναι γοάουσιν· 995
us on-shores sitting lament
τάων ἀργαλέας κεν ἀποσκεδάσειας ἀνίας.
of-them grievous — you-would-scatter sorrows
δή ποτε καὶ Θησῆα κακῶν ὑπελύσατ᾽ ἀέθλων
indeed once also Theseus from-evil released contests
παρθενικὴ Μινωὶς ἐυφρονέουσ᾽ Ἀριάδνη,
maiden daughter-of-Minos being-kind Ariadne
ἥν ῥά τε Πασιφάη κούρη τέκεν Ἠελίοιο.
whom then — Pasiphae daughter bore of-Helios
ἀλλ᾽ ἡ μὲν καὶ νηός, ἐπεὶ χόλον εὖνασε Μίνως, 1000
but she indeed also ship when wrath lulled Minos

σὺν τῷ ἐφεζομένη πάτρην λίπε· τὴν δὲ καὶ αὐτοὶ
with him sitting fatherland left her and also themselves
ἀθάνατοι φίλαντο, μέσῳ δέ οἱ αἰθέρι τέκμαρ
immortals loved in-mid and for-her in-sky token
ἀστερόεις στέφανος, τόν τε κλείουσ᾽ Ἀριάδνης,
starry crown which — they-call of-Ariadne
πάννυχος οὐρανίοισιν ἑλίσσεται εἰδώλοισιν.
all-night among-heavenly rolls among-constellations
ὣς καὶ σοὶ θεόθεν χάρις ἔσσεται, εἴ κε σαώσῃς
so also to-you from-the-gods thanks will-be if — you-save
τόσσον ἀριστήων ἀνδρῶν στόλον. ἦ γὰρ ἔοικας
so-great of-chiefs of-men band truly for you-seem
ἐκ μορφῆς ἀγανῇσιν ἐπητείῃσι κεκάσθαι."
from form with-gentle with-courtesies to-excel
Ὣς φάτο κυδαίνων· ἡ δ᾽ ἐγκλιδὸν ὄσσε βαλοῦσα
So he-spoke honoring she and aside eyes casting
νεκτάρεον μείδησ᾽· ἐχύθη δέ οἱ ἔνδοθι θυμὸς
nectarous smiled was-melted and her within heart
αἴνῳ ἀειρομένης, καὶ ἀνέδρακεν ὄμμασιν ἄντην·
by-praise uplifted and she-looked-up with-eyes face-to-face
οὐδ᾽ ἔχεν ὅττι πάροιθεν ἔπος προτιμυθήσαιτο,
nor had-she what first word she-should-speak
ἀλλ᾽ ἄμυδις μενέαινεν ἀολλέα πάντ᾽ ἀγορεῦσαι.
but together she-was-eager all-at-once all-things to-tell
προπρὸ δ᾽ ἀφειδήσασα θυώδεος ἔξελε μίτρης
forward and unsparing from-fragrant took-out band
φάρμακον· αὐτὰρ ὅγ᾽ αἶψα χεροῖν ὑπέδεκτο γεγηθώς.
drug but he quickly with-hands received rejoicing

καί νύ κέ οἱ καὶ πᾶσαν ἀπὸ στηθέων ἀρύσασα
and now — to-him even all from breast drawing
ψυχὴν ἐγγυάλιξεν ἀγαιομένη χατέοντι·
soul she-would-have-given exulting to-the-needing
τοῖος ἀπὸ ξανθοῖο καρήατος Αἰσονίδαο
such from golden head of-the-son-of-Aeson
στράπτεν Ἔρως ἡδεῖαν ἀπὸ φλόγα· τῆς δ' ἀμαρυγὰς
flashed Eros sweet from flame her and gleams
ὀφθαλμῶν ἥρπαζεν· ἰαίνετο δὲ φρένας εἴσω
of-eyes he-snatched was-warmed and in-heart within
τηκομένη, οἷόν τε περὶ ῥοδέῃσιν ἐέρση
melting as — around roses dew
τήκεται ἠῴοισιν ἰαινομένη φαέεσσιν.
melts by-dawn's warmed by-lights
ἄμφω δ' ἄλλοτε μέν τε κατ' οὔδεος ὄμματ' ἔρειδον
both and at-one-time indeed — on ground eyes fixed
αἰδόμενοι, ὁτὲ δ' αὖτις ἐπὶ σφίσι βάλλον ὀπωπάς,
abashed at-another and again on each-other cast glances
ἱμερόεν φαιδρῇσιν ὑπ' ὀφρύσι μειδιόωντες.
lovely bright under brows smiling
ὀψὲ δὲ δὴ τοίοισι μόλις προσπτύξατο κούρη·
late and indeed with-such hardly greeted the-maiden
"Φράζεο νῦν, ὥς κέν τοι ἐγὼ μητίσομ' ἀρωγήν.
Consider now how — for-you I will-devise help
εὖτ' ἂν δὴ μετιόντι πατὴρ ἐμὸς ἐγγυαλίξῃ
when — indeed to-the-one-coming father my puts-in-hands
ἐξ ὄφιος γενύων ὀλοοὺς σπείρασθαι ὀδόντας,
from serpent jaws baneful to-sow teeth
δὴ τότε μέσσην νύκτα διαμμοιρηδὰ φυλάξας,
indeed then mid night in-two-parts having-watched-for

ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος ποταμοῖο,
of-untiring in-the-streams having-bathed of-river
οἷος ἄνευθ' ἄλλων ἐνὶ φάρεσι κυανέοισιν
alone apart-from others in robes dark
βόθρον ὀρύξασθαι περιηγέα· τῷ δ' ἔνι θῆλυν
pit to-dig round it and in female
ἀρνειὸν σφάζειν, καὶ ἀδαίετον ὠμοθετῆσαι,
ram to-slaughter and unseparated to-place-raw
αὐτῷ πυρκαϊὴν εὖ νηήσας ἐπὶ βόθρῳ.
itself pyre well having-heaped on pit
μουνογενῆ δ' Ἑκάτην Περσηίδα μειλίσσοιο,
only-begotten and Hecate daughter-of-Perses propitiate
λείβων ἐκ δέπαος σιμβλήια ἔργα μελισσέων.
pouring from cup hived works of-bees
ἔνθα δ' ἐπεί κε θεὰν μεμνημένος ἱλάσσηαι,
there and when — the-goddess mindful you-have-appeased
ἆψ ἀπὸ πυρκαϊῆς ἀναχάζεο· μηδέ σε δοῦπος
back from pyre retire nor you thud
ἠὲ ποδῶν ὄρσῃσι μεταστρεφθῆναι ὀπίσσω,
either of-feet should-rouse to-turn back
ἠὲ κυνῶν ὑλακή, μή πως τὰ ἕκαστα κολούσας
or of-dogs barking lest somehow the each-thing having-maimed
οὐδ' αὐτὸς κατὰ κόσμον ἑοῖς ἑτάροισι πελάσσῃς.
nor yourself in order to-your comrades should-come

ἦρι δὲ μυδήνας τόδε φάρμακον, ἠύτ᾽ ἀλοιφῇ
at-dawn and having-moistened this drug like ointment
γυμνωθεὶς φαίδρυνε τεὸν δέμας· ἐν δέ οἱ ἀλκὴ
stripped anoint your body in and to-it strength
ἔσσετ᾽ ἀπειρεσίη μέγα τε σθένος, οὐδέ κε φαίης
will-be boundless great and might nor — would-you-say
ἀνδράσιν, ἀλλὰ θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν.
to-men but to-gods to-be-equal immortal
πρὸς δὲ καὶ αὐτῷ δουρὶ σάκος πεπαλαγμένον ἔστω
besides and also with-the-very spear shield sprinkled let-be
καὶ ξίφος. ἔνθ᾽ οὐκ ἄν σε διατμήξειαν ἀκωκαὶ
and sword there not — you would-cut the-points
γηγενέων ἀνδρῶν, οὐδ᾽ ἄσχετος ἀίσσουσα
of-earthborn men nor irresistible darting
φλὸξ ὀλοῶν ταύρων. τοῖός γε μὲν οὐκ ἐπὶ δηρὸν
flame of-baneful bulls such indeed indeed not for long
ἔσσεαι, ἀλλ᾽ αὐτῆμαρ· ὅμως σύγε μή ποτ᾽ ἀέθλου
you-will-be but that-day nevertheless you not ever from-the-contest
χάζεο. καὶ δέ τοι ἄλλο παρὲξ ὑποθήσομ᾽ ὄνειαρ.
shrink and and to-you another besides I-will-suggest help
αὐτίκ᾽ ἐπὴν κρατεροὺς ζεύξῃς βόας, ὦκα δὲ πᾶσαν
at-once when strong you-have-yoked oxen quickly and all
χερσὶ καὶ ἠνορέῃ στυφελὴν διὰ νειὸν ἀρόσσῃς,
with-hands and manliness hard through fallow you-have-plowed
οἱ δ᾽ ἤδη κατὰ ὦλκας ἀνασταχύωσι Γίγαντες
they and already along furrows spring-up Giants
σπειρομένων ὄφιος δνοφερὴν ἐπὶ βῶλον ὀδόντων,
being-sown of-serpent dark on clod of-the-teeth
αἴ κεν ὀρινομένους πολέας νειοῖο δοκεύσῃς,
if — rising many from-the-fallow you-should-see

λάθρῃ λᾶαν ἄφες στιβαρώτερον· οἱ δ' ἂν ἐπ' αὐτῷ,
secretly stone throw rather-sturdy they and — over it
καρχαλέοι κύνες ὥστε περὶ βρώμης, ὀλέκοιεν
fierce dogs as around food would-slay
ἀλλήλους· καὶ δ' αὐτὸς ἐπείγεο δηιοτῆτος
one-another and and yourself hasten of-battle
ἰθῦσαι. τὸ δὲ κῶας ἐς Ἑλλάδα τοῖό γ' ἕκητι
to-charge the and fleece to Hellas of-this indeed for-the-sake
οἴσεαι ἐξ Αἴης τηλοῦ ποθί· νίσσεο δ' ἔμπης,
you-will-carry from Aea far somewhere go and nevertheless
ᾗ φίλον, ἤ τοι ἔαδεν ἀφορμηθέντι νέεσθαι."
where dear or to-you it-pleased having-set-out to-go
Ὣς ἄρ' ἔφη, καὶ σῖγα ποδῶν πάρος ὄσσε βαλοῦσα
So then she-spoke and silently of-feet before eyes casting
θεσπέσιον λιαροῖσι παρηίδα δάκρυσι δεῦεν
wondrous with-warm cheek with-tears wet
μυρομένη, ὅ τ' ἔμελλεν ἀπόπροθι πολλὸν ἑοῖο
weeping that — he-was-to far-away much of-her
πόντον ἐπιπλάγξεσθαι· ἀνιηρῷ δέ μιν ἄντην
sea to-be-going-to-wander with-grievous and him face-to-face
ἐξαῦτις μύθῳ προσεφώνεεν, εἵλέ τε χειρὸς
again with-word addressed took and hand
δεξιτερῆς· δὴ γάρ οἱ ἀπ' ὀφθαλμοὺς λίπεν αἰδώς·
right indeed for her from eyes left shame

"Μνώεο δ', ἢν ἄρα δή ποθ' ὑπότροπος οἶκαδ' ἵκηαι,
Remember and if then indeed ever returning home you-come
οὔνομα Μηδείης· ὣς δ' αὖτ' ἐγὼ ἀμφὶς ἐόντος
name of-Medea so and in-turn I apart being
μνήσομαι. εἰπὲ δέ μοι πρόφρων τόδε, πῇ τοι ἔασιν
will-remember tell and to-me gladly this where to-you are
δώματα, πῇ νῦν ἔνθεν ὑπεὶρ ἅλα νηὶ περήσεις·
house where now thence over sea in-ship will-you-cross
ἦ νύ που ἀφνειοῦ σχεδὸν ἵξεαι Ὀρχομενοῖο,
or now somewhere of-rich near will-you-come of-Orchomenus
ἦε καὶ Αἰαίης νήσου πέλας; εἰπὲ δὲ κούρην,
or also Aeaean island near tell and the-maiden
ἥντινα τήνδ' ὀνόμηνας ἀριγνώτην γεγαυῖαν
whom this you-named famous being
Πασιφάης, ἣ πατρὸς ὁμόγνιός ἐστιν ἐμεῖο."
of-Pasiphae who of-father kinswoman is of-me
Ὣς φάτο· τὸν δὲ καὶ αὐτὸν ὑπήιε δάκρυσι κούρης
So she-spoke him and also himself crept-into with-the-tears of-the-maiden
οὖλος Ἔρως, τοῖον δὲ παραβλήδην ἔπος ηὔδα·
baneful Eros such and in-reply word spoke
"Καὶ λίην οὐ νύκτας ὀίομαι, οὐδέ ποτ' ἦμαρ
And very not nights I-think nor ever day
σεῦ ἐπιλήσεσθαι, προφυγὼν μόρον, εἰ ἐτεόν γε
you to-be-going-to-forget having-escaped fate if truly indeed
φεύξομαι ἀσκηθὴς ἐς Ἀχαιίδα, μηδέ τιν' ἄλλον
I-shall-escape unscathed to Achaean nor any other
Αἰήτης προβάλῃσι κακώτερον ἄμμιν ἄεθλον.
Aeetes put-forward worse to-us contest
εἰ δέ τοι ἡμετέρην ἐξίδμεναι εὔαδε πάτρην,
if and to-you our to-know it-pleased fatherland

ἐξερέω· μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει.
I-will-tell very for me also myself heart bids
ἔστι τις αἰπεινοῖσι περίδρομος οὔρεσι γαῖα,
there-is a by-steep ringed by-mountains land
πάμπαν εὐρρηνός τε καὶ εὔβοτος, ἔνθα Προμηθεὺς
wholly rich-in-sheep both and good-pasture where Prometheus
Ἰαπετιονίδης ἀγαθὸν τέκε Δευκαλίωνα,
son-of-Iapetus good begot Deucalion
ὃς πρῶτος ποίησε πόλεις καὶ ἐδείματο νηοὺς
who first made cities and built temples
ἀθανάτοις, πρῶτος δὲ καὶ ἀνθρώπων βασίλευσεν.
to-immortals first and also over-men ruled
Αἱμονίην δὴ τήνγε περικτίονες καλέουσιν.
Haemonia indeed it the-neighbors call
ἐν δ' αὐτῇ Ἰαωλκός, ἐμὴ πόλις, ἐν δὲ καὶ ἄλλαι
in and it Iolcus my city in and also other
πολλαὶ ναιετάουσιν, ἵν' οὐδέ περ οὔνομ' ἀκοῦσαι
many are-inhabited where not-even indeed name to-hear
Αἰαίης νήσου· Μινύην γε μὲν ὁρμηθέντα,
of-Aeaean island Minyas indeed indeed having-set-out
Αἰολίδην Μινύην ἔνθεν φάτις Ὀρχομενοῖο
son-of-Aeolus Minyas thence report of-Orchomenus
δή ποτε Καδμείοισιν ὁμούριον ἄστυ πολίσσαι.
indeed once with-Cadmeans bordering town to-have-founded
ἀλλὰ τίη τάδε τοι μεταμώνια πάντ' ἀγορεύω,
but why these to-you vain all do-I-speak
ἡμετέρους τε δόμους τηλεκλείτην τ' Ἀριάδνην,
our both house far-famed and Ariadne

κούρην Μίνωος, τόπερ ἀγλαὸν οὔνομα κείνην
daughter of-Minos with-which-indeed splendid name her
παρθενικὴν καλέεσκον ἐπήρατον, ἥν μ᾽ ἐρεείνεις;
maiden they-called lovely whom me you-ask
αἴθε γάρ, ὡς Θησῆι τότε ξυναρέσσατο Μίνως
would-that for as with-Theseus then agreed Minos
ἀμφ᾽ αὐτῆς, ὥς ἄμμι πατὴρ τεὸς ἄρθμιος εἴη.᾽᾽
about her so to-us father your friendly might-be
Ὣς φάτο, μειλιχίοισι καταψήχων ὀάροισιν.
So he-spoke with-gentle soothing with-converse
τῆς δ᾽ ἀλεγεινόταται κραδίην ἐρέθεσκον ἀνῖαι,
her and most-grievous heart roused sorrows
καί μιν ἀκηχεμένη ἀδινῷ προσπτύξατο μύθῳ·
and him grieving with-thick addressed with-word
᾽᾽ Ἑλλάδι που τάδε καλά, συνημοσύνας ἀλεγύνειν·
In-Hellas surely these-things fair compacts to-respect
Αἰήτης δ᾽ οὐ τοῖος ἐν ἀνδράσιν, οἷον ἔειπας
Aeetes and not such among men as you-said
Μίνω Πασιφάης πόσιν ἔμμεναι· οὐδ᾽ Ἀριάδνῃ
Minos of-Pasiphae husband to-be nor to-Ariadne
ἰσοῦμαι· τῶ μήτι φιλοξενίην ἀγόρευε.
am-I-equal therefore not of-hospitality speak
ἀλλ᾽ οἷον τύνη μὲν ἐμεῦ, ὅτ᾽ Ἰωλκὸν ἵκηαι,
but only you indeed of-me when Iolcus you-reach
μνώεο· σεῖο δ᾽ ἐγὼ καὶ ἐμῶν ἀέκητι τοκήων
remember of-you and I even against-the-will-of my of-parents
μνήσομαι. ἔλθοι δ᾽ ἡμιν ἀπόπροθεν ἠέ τις ὄσσα,
will-remember may-come and to-us from-afar either some rumor
ἠέ τις ἄγγελος ὄρνις, ὅτ᾽ ἐκλελάθοιο ἐμεῖο·
or some messenger bird when you-forget me

ἢ αὐτήν με ταχεῖαι ὑπὲρ πόντοιο φέροιεν
or herself me swift over sea may-carry
ἐνθένδ' εἰς Ἰαωλκὸν ἀναρπάξασαι ἄελλαι,
from-here to Iolcus having-snatched-up storms
ὄφρα σ', ἐν ὀφθαλμοῖσιν ἐλεγχείας προφέρουσα,
so-that you to eyes reproaches bringing
μνήσω ἐμῇ ἰότητι πεφυγμένον. αἴθε γὰρ εἶην
I-may-remind by-my by-will having-escaped would-that for I-might-be
ἀπροφάτως τότε σοῖσιν ἐφέστιος ἐν μεγάροισιν."
unexpectedly then your at-the-hearth in halls
Ὣς ἄρ' ἔφη, ἐλεεινὰ καταπροχέουσα παρειῶν
So then she-spoke piteous pouring-down from-cheeks
δάκρυα· τὴν δ' ὅγε δῆθεν ὑποβλήδην προσέειπεν·
tears her and he indeed in-reply addressed
"Δαιμονίη, κενεὰς μὲν ἔα πλάζεσθαι ἀέλλας,
Strange-one empty indeed let to-wander storms
ὣς δὲ καὶ ἄγγελον ὄρνιν, ἐπεὶ μεταμώνια βάζεις.
so and also messenger bird since vain-things you-babble
εἰ δέ κεν ἤθεα κεῖνα καὶ Ἑλλάδα γαῖαν ἵκηαι,
if and — haunts those and Hellas land you-reach
τιμήεσσα γυναιξὶ καὶ ἀνδράσιν αἰδοίη τε
honored by-women and by-men revered and
ἔσσεαι· οἱ δέ σε πάγχυ θεὸν ὣς πορσανέουσιν,
you-will-be they and you wholly god as will-tend
οὕνεκα τῶν μὲν παῖδες ὑπότροποι οἴκαδ' ἵκοντο
because their indeed sons returning home came
σῇ βουλῇ, τῶν δ' αὖτε κασίγνητοί τε ἔται τε
by-your counsel their and in-turn brothers both kinsmen and
καὶ θαλεροὶ κακότητος ἄδην ἐσάωθεν ἀκοῖται.
and vigorous from-evil fully were-saved husbands

ἡμέτερον δὲ λέχος θαλάμοις ἔνι κουριδίοισιν
our and bed chambers in wedded
πορσυνέεις· οὐδ' ἄμμε διακρινέει φιλότητος
you-will-make-ready nor us will-part from-love
ἄλλο, πάρος θάνατόν γε μεμορμένον ἀμφικαλύψαι."
other before death indeed destined to-shroud
Ὣς φάτο· τῇ δ' ἔντοσθε κατείβετο θυμὸς ἀκουῇ,
So he-spoke her and within melted heart at-the-hearing
ἔμπης δ' ἔργ' ἀίδηλα κατερρίγησεν ἰδέσθαι.
nevertheless and deeds unseen shuddered to-see
σχετλίη· οὐ μὲν δηρὸν ἀπαρνήσεσθαι ἔμελλεν
wretched not indeed for-long to-refuse she-was-to
Ἑλλάδα ναιετάειν. ὣς γὰρ τόδε μήδετο Ἥρη,
Hellas to-dwell-in so for this planned Hera
ὄφρα κακὸν Πελίῃ ἱερὴν ἐς Ἰωλκὸν ἵκοιτο
so-that as-evil to-Pelias holy to Iolcus might-come
Αἰαίη Μήδεια, λιποῦσ' ἄπο πατρίδα γαῖαν.
Aeaean Medea having-left from fatherland land
Ἤδη δ' ἀμφίπολοι μὲν ὀπιπεύουσαι ἄπωθεν
Already and handmaids indeed watching from-afar
σιγῇ ἀνιάζεσκον· ἐδεύετο δ' ἤματος ὥρη
in-silence grieved lacked and of-day the-hour
ἂψ οἰκόνδε νέεσθαι ἑὴν μετὰ μητέρα κούρην.
back homeward to-go her-own to mother the-maiden
ἡ δ' οὔπω κομιδῆς μιμνήσκετο, τέρπετο γάρ οἱ
she and not-yet of-return thought delighted for her
θυμὸς ὁμῶς μορφῇ τε καὶ αἰμυλίοισι λόγοισιν,
heart alike in-form both and in-wily in-words
εἰ μὴ ἄρ' Αἰσονίδης πεφυλαγμένος ὀψέ περ ηὔδα·
if not then son-of-Aeson cautious late though spoke

“ Ὥρη ἀποβλώσκειν, μὴ πρὶν φάος ἠελίοιο
Time to-go-away lest before light of-sun
δύῃ ὑποφθάμενον, καί τις τὰ ἕκαστα νοήσῃ
sink anticipating and someone the each-thing perceive
ὀθνείων· αὖτις δ’ ἀβολήσομεν ἐνθάδ’ ἰόντες.”
of-strangers again and we-will-meet here coming
Ὣς τώγ’ ἀλλήλων ἀγανοῖς ἐπὶ τόσσον ἔπεσσιν
So they-two each-other with-gentle to so-far words
πείρηθεν· μετὰ δ’ αὖτε διέτμαγεν. ἤτοι Ἰήσων
made-trial after and in-turn parted truly Jason
εἰς ἑτάρους καὶ νῆα κεχαρμένος ὦρτο νέεσθαι·
to comrades and ship rejoicing rose to-go
ἡ δὲ μετ’ ἀμφιπόλους· αἱ δὲ σχεδὸν ἀντεβόλησαν
she and to handmaids they and near met
πᾶσαι ὁμοῦ· τὰς δ’ οὔτι περιπλομένας ἐνόησεν.
all together them and not-at-all coming-around she-noticed
ψυχὴ γὰρ νεφέεσσι μεταχρονίη πεπότητο.
soul for in-clouds aloft fluttered
αὐτομάτοις δὲ πόδεσσι θοῆς ἐπεβήσατ’ ἀπήνης,
of-their-own-accord and with-feet swift mounted wagon
καί ῥ’ ἑτέρῃ μὲν χειρὶ λάβ’ ἡνία, τῇ δ’ ἄρ’ ἱμάσθλην
and then in-other indeed hand took reins in-the-other and then whip
δαιδαλέην, οὐρῆας ἐλαυνέμεν· οἱ δὲ πόλινδε
cunning mules to-drive they and to-the-city
θῦνον ἐπειγόμενοι ποτὶ δώματα. τὴν δ’ ἄρ’ ἰοῦσαν
rushed hastening toward house her and then coming
Χαλκιόπη περὶ παισὶν ἀκηχεμένη ἐρέεινεν·
Chalciope about sons grieving asked

ἡ δὲ παλιντροπίῃσιν ἀμήχανος οὔτε τι μύθων
she and by-shifting-thoughts helpless neither any of-words
ἔκλυεν, οὔτ' αὐδῆσαι ἀνειρομένῃ λελίητο.
heard nor to-speak to-the-asking was-eager
ἷζε δ' ἐπὶ χθαμαλῷ σφέλαϊ κλιντῆρος ἔνερθεν
sat and on low footstool of-couch below
λέχρις ἐρεισαμένη λαιῇ ἐπὶ χειρὶ παρειήν·
sideways leaning left on hand cheek
ὑγρὰ δ' ἐνὶ βλεφάροις ἔχεν ὄμματα, πορφύρουσα
wet and in eyelids had eyes pondering
οἷον ἑῇ κακὸν ἔργον ἐπιξυνώσατο βουλῇ.
what her-own evil deed she-had-joined by-counsel

III.9 · THE RITES AT MIDNIGHT

Jason returns to the ship and tells his comrades of the charm, and Telamon and Aethalides fetch the serpent's teeth from Aeetes. At midnight Jason bathes in the river and sacrifices to Hecate, who comes with serpents and torches and hounds. At dawn Aeetes arms himself, and Jason anoints his body and spear with the charm.

Αἰσονίδης δ' ὅτε δὴ ἑτάροις ἐξαῦτις ἔμικτο
Son-of-Aeson and when indeed with-comrades again mingled
ἐν χώρῃ, ὅθι τούσγε καταπρολιπὼν ἐλιάσθη,
in place where them leaving he-had-withdrawn
ὧρτ' ἰέναι σὺν τοῖσι, πιφαυσκόμενος τὰ ἕκαστα,
rose to-go with them telling the each-thing
ἡρώων ἐς ὅμιλον· ὁμοῦ δ' ἐπὶ νῆα πέλασσαν.
of-heroes to throng together and to ship drew-near
οἱ δέ μιν ἀμφαγάπαζον, ὅπως ἴδον, ἔκ τ' ἐρέοντο.
they and him embraced when they-saw out and questioned

αὐτὰρ ὁ τοῖς πάντεσσι μετέννεπε δήνεα κούρης,
but he to-them all told the-counsels of-the-maiden
δεῖξέ τε φάρμακον αἰνόν· ὁ δ' οἰόθεν οἷος ἑταίρων
showed and drug dread he and apart alone of-comrades
Ἴδας ἧστ' ἀπάνευθε δακὼν χόλον· οἱ δὲ δὴ ἄλλοι
Idas sat apart biting wrath they and indeed others
γηθόσυνοι τῆμος μέν, ἐπεὶ κνέφας ἔργαθε νυκτός,
glad then indeed when darkness checked of-night
εὔκηλοι ἐμέλοντο περὶ σφίσιν. αὐτὰρ ἅμ' ἠοῖ
quietly took-care of themselves but with dawn
πέμπον ἐς Αἰήτην ἰέναι σπόρον αἰτήσοντας
sent to Aeetes to-go seed to-be-going-to-ask
ἄνδρε δύω, πρὸ μὲν αὐτὸν ἀρηίφιλον Τελαμῶνα,
men two first indeed himself dear-to-Ares Telamon
σὺν δὲ καὶ Αἰθαλίδην, υἷα κλυτὸν Ἑρμείαο.
with and also Aethalides son famous of-Hermes
βὰν δ' ἴμεν, οὐδ' ἁλίωσαν ὁδόν· πόρε δέ σφιν ἰοῦσιν
they-went and to-go nor made-vain road gave and to-them going
κρείων Αἰήτης χαλεποὺς ἐς ἄεθλον ὀδόντας
lord Aeetes grievous for contest teeth
Ἀονίοιο δράκοντος, ὃν Ὠγυγίῃ ἐνὶ Θήβῃ
of-Aonian serpent which Ogygian in Thebe
Κάδμος, ὅτ' Εὐρώπην διζήμενος εἰσαφίκανεν,
Cadmus when Europa seeking came
πέφνεν Ἀρητιάδι κρήνῃ ἐπίουρον ἐόντα·
slew at-Ares' spring guardian being
ἔνθα καὶ ἐννάσθη πομπῇ βοός, ἥν οἱ Ἀπόλλων
there also he-settled by-guidance of-a-cow which to-him Apollo
ὤπασε μαντοσύνῃσι προηγήτειραν ὁδοῖο.
gave by-prophecies leader of-road

τοὺς δὲ θεὰ Τριτωνὶς ὑπὲκ γενύων ἐλάσασα
them and goddess Tritonian from jaws having-driven
Αἰήτῃ πόρε δῶρον ὁμῶς αὐτῷ τε φονῆι.
to-Aeetes gave gift alike himself and to-the-slayer
καί ῥ' ὁ μὲν Ἀονίοισιν ἐνισπείρας πεδίοισιν
and then he indeed in-Aonian having-sown in-plains
Κάδμος Ἀγηνορίδης γαιηγενῆ εἵσατο λαόν,
Cadmus son-of-Agenor earthborn founded people
Ἄρεος ἀμώοντος ὅσοι ὑπὸ δουρὶ λίποντο·
of-Ares harvesting as-many-as under spear were-left
τοὺς δὲ τότ' Αἰήτης ἔπορεν μετὰ νῆα φέρεσθαι
them and then Aeetes gave to ship to-be-borne
προφρονέως, ἐπεὶ οὔ μιν ὀίσσατο πείρατ' ἀέθλου
gladly since not him he-thought the-end of-the-contest
ἐξανύσειν, εἰ καί περ ἐπὶ ζυγὰ βουσὶ βάλοιτο.
to-be-going-to-accomplish if even indeed on yokes oxen he-should-cast
Ἠέλιος μὲν ἄπωθεν ἐρεμνὴν δύετο γαῖαν
The-sun indeed far-off dark sank-under earth
ἑσπέριος, νεάτας ὑπὲρ ἄκριας Αἰθιοπήων·
in-the-evening farthest beyond peaks of-Ethiopians
Νὺξ δ' ἵπποισιν ἔβαλλεν ἔπι ζυγά· τοὶ δὲ χαμεύνας
Night and horses cast on yokes they and beds-on-ground
ἔντυον ἥρωες παρὰ πείσμασιν. αὐτὰρ Ἰήσων
prepared heroes beside cables but Jason
αὐτίκ' ἐπεί ῥ' Ἑλίκης εὐφεγγέος ἀστέρες Ἄρκτου
at-once when then of-Helice bright stars of-the-Bear
ἔκλιθεν, οὐρανόθεν δὲ πανεύκηλος γένετ' αἰθήρ,
had-declined from-heaven and all-calm became air
βῆ ῥ' ἐς ἐρημαίην, κλωπήιος ἠύτε τις φώρ,
went then into solitude stealthy as some thief

σὺν πᾶσιν χρήεσσι· πρὸ γάρ τ' ἀλέγυνεν ἕκαστα
with all needful-things before for — he-had-prepared each-thing
ἠμάτιος· θῆλυν μὲν ὄιν, γάλα τ' ἔκτοθι ποίμνης
by-day female indeed sheep milk and from-outside of-the-flock
Ἄργος ἰὼν ἤνεικε· τὰ δ' ἐξ αὐτῆς ἕλε νηός.
Argus going brought the and from itself took ship
ἀλλ' ὅτε δὴ ἴδε χῶρον, ὅτις πάτου ἔκτοθεν ἦεν
but when indeed he-saw place which of-tread outside was
ἀνθρώπων, καθαρῇσιν ὑπεύδιος εἰαμενῇσιν,
of-men in-pure calm in-meadows
ἔνθ' ἤτοι πάμπρωτα λοέσσατο μὲν ποταμοῖο
there truly first-of-all bathed indeed in-the-river
εὐαγέως θείοιο τέρεν δέμας· ἀμφὶ δὲ φᾶρος
duly divine tender body around and cloak
ἕσσατο κυάνεον, τό ῥά οἱ πάρος ἐγγυάλιξεν
put-on dark which then to-him before gave
Λημνιὰς Ὑψιπύλη, ἀδινῆς μνημήιον εὐνῆς.
Lemnian Hypsipyle of-frequent memorial of-love
πήχυιον δ' ἄρ' ἔπειτα πέδῳ ἔνι βόθρον ὀρύξας
a-cubit and then thereafter ground in pit having-dug
νήησε σχίζας, ἐπὶ δ' ἀρνειοῦ τάμε λαιμόν,
heaped billets on and of-the-ram cut throat
αὐτόν τ' εὖ καθύπερθε τανύσσατο· δαῖε δὲ φιτροὺς
itself and well above stretched burned and logs
πῦρ ὑπένερθεν ἰείς, ἐπὶ δὲ μιγάδας χέε λοιβάς,
fire below putting on and mingled poured libations
Βριμὼ κικλήσκων Ἑκάτην ἐπαρωγὸν ἀέθλων.
Brimo calling-on Hecate helper of-labors

καί ῥ᾽ ὁ μὲν ἀγκαλέσας πάλιν ἔστιχεν· ἡ δ᾽ ἀίουσα
and then he indeed having-called back went she and hearing
κευθμῶν ἐξ ὑπάτων δεινὴ θεὸς ἀντεβόλησεν
recesses from lowest dread goddess came-to-meet
ἱροῖς Αἰσονίδαο· πέριξ δέ μιν ἐστεφάνωντο
sacrifices of-the-son-of-Aeson around and her were-wreathed
σμερδαλέοι δρυΐνοισι μετὰ πτόρθοισι δράκοντες·
terrible oaken among branches serpents
στράπτε δ᾽ ἀπειρέσιον δαΐδων σέλας· ἀμφὶ δὲ τήνγε
flashed and boundless of-torches gleam around and her
ὀξείῃ ὑλακῇ χθόνιοι κύνες ἐφθέγγοντο.
with-sharp barking underworld hounds bayed
πίσεα δ᾽ ἔτρεμε πάντα κατὰ στίβον· αἱ δ᾽ ὀλόλυξαν
meadows and trembled all along path they and shrieked
νύμφαι ἑλειονόμοι ποταμηίδες, αἳ περὶ κείνην
nymphs marsh-dwelling river-nymphs who around that
Φάσιδος εἱαμενὴν Ἀμαραντίου εἰλίσσονται.
of-Phasis marsh of-Amarantian whirl
Αἰσονίδην δ᾽ ἤτοι μὲν ἔλεν δέος, ἀλλά μιν οὐδ᾽ ὣς
Son-of-Aeson and truly indeed seized fear but him not-even so
ἐντροπαλιζόμενον πόδες ἔκφερον, ὄφρ᾽ ἑτάροισιν
turning-round feet bore until with-comrades
μίκτο κιών· ἤδη δὲ φόως νιφόεντος ὕπερθεν
he-mingled going already and light snowy above
Καυκάσου ἠριγενὴς Ἠὼς βάλεν ἀντέλλουσα.
of-Caucasus early-born Dawn cast rising

Καὶ τότ᾽ ἄρ᾽ Αἰήτης περὶ μὲν στήθεσσιν ἔεστο
And then then Aeetes about indeed breast put-on
θώρηκα στάδιον, τόν οἱ πόρεν ἐξεναρίξας
breastplate stiff which to-him gave having-slain
σφωιτέραις Φλεγραῖον Ἄρης ὑπὸ χερσὶ Μίμαντα·
his-own Phlegraean Ares under hands Mimas
χρυσείην δ᾽ ἐπὶ κρατὶ κόρυν θέτο τετραφάληρον,
golden and on head helmet set four-plated
λαμπομένην οἷόν τε περίτροχον ἔπλετο φέγγος
shining like — round is light
ἠελίου, ὅτε πρῶτον ἀνέρχεται Ὠκεανοῖο.
of-sun when first it-rises from-Ocean
ἂν δὲ πολύρρινον νώμα σάκος, ἂν δὲ καὶ ἔγχος
up and of-many-hides wielded shield up and also spear
δεινόν, ἀμαιμάκετον· τὸ μὲν οὔ κέ τις ἄλλος ὑπέστη
dread irresistible it indeed not — any other would-have-withstood
ἀνδρῶν ἡρώων, ὅτε κάλλιπον Ἡρακλῆα
of-men of-heroes when they-left Heracles
τῆλε παρέξ, ὅ κεν οἷος ἐναντίβιον πολέμιξεν.
far away who — alone opposite might-have-fought
τῷ δὲ καὶ ὠκυπόδων ἵππων εὐπηγέα δίφρον
for-him and also of-swift-footed horses well-fitted chariot
ἔσχε πέλας Φαέθων ἐπιβήμεναι· ἂν δὲ καὶ αὐτὸς
held near Phaethon to-mount up and also himself
βήσατο, ῥυτῆρας δὲ χεροῖν ἔχεν. ἐκ δὲ πόληος
mounted reins and in-hands held out and of-city
ἤλασεν εὐρεῖαν κατ᾽ ἀμαξιτόν, ὥς κεν ἀέθλῳ
drove broad along wagon-road so-that — at-the-contest
παρσταίη· σὺν δέ σφιν ἀπείριτος ἔσσυτο λαός.
he-might-stand-by with and them boundless rushed people

οἷος δ᾽ Ἴσθμιον εἶσι Ποσειδάων ἐς ἀγῶνα
as and Isthmian goes Poseidon to contest
ἅρμασιν ἐμβεβαώς, ἢ Ταίναρον, ἢ ὅγε Λέρνης
in-chariots mounted or Taenarus or he of-Lerna
ὕδωρ, ἠὲ κατ᾽ ἄλσος Ὑαντίου Ὀγχηστοῖο,
water or through grove of-Hyantian Onchestus
καί τε Καλαύρειαν μετὰ δῆθ᾽ ἅμα νίσσεται ἵπποις,
and — Calauria to indeed together goes with-horses
πέτρην θ᾽ Αἱμονίην, ἢ δενδρήεντα Γεραιστόν·
rock and Haemonian or wooded Geraestus
τοῖος ἄρ᾽ Αἰήτης Κόλχων ἀγὸς ἦεν ἰδέσθαι.
such then Aeetes of-Colchians leader was to-see
Τόφρα δὲ Μηδείης ὑποθημοσύνῃσιν Ἰήσων
So-long and of-Medea by-the-counsels Jason
φάρμακα μυδήνας ἠμὲν σάκος ἀμφεπάλυνεν
drugs having-moistened both shield sprinkled
ἠδὲ δόρυ βριαρόν, περὶ δὲ ξίφος· ἀμφὶ δ᾽ ἑταῖροι
and spear sturdy around and sword around and comrades
πείρησαν τευχέων βεβιημένοι, οὐδ᾽ ἐδύναντο
tested the-arms using-force nor were-they-able
κεῖνο δόρυ γνάμψαι τυτθόν γέ περ, ἀλλὰ μάλ᾽ αὔτως
that spear to-bend little indeed though but very just-so
ἀαγὲς κρατερῇσιν ἐνεσκλήκει παλάμῃσιν.
unbroken in-strong had-hardened in-hands

αὐτὰρ ὁ τοῖς ἄμοτον κοτέων Ἀφαρήιος Ἴδας
but he at-them insatiably angry son-of-Aphareus Idas
κόψε παρ᾽ οὐρίαχον μεγάλῳ ξίφει· ἆλτο δ᾽ ἀκωκὴ
struck by butt with-great sword leapt and point
ῥαιστὴρ ἄκμονος ὥστε, παλιντυπές· οἱ δ᾽ ὁμάδησαν
hammer from-anvil as rebounding they and shouted
γηθόσυνοι ἥρωες ἐπ᾽ ἐλπωρῇσιν ἀέθλου.
glad heroes at hopes of-the-contest
καὶ δ᾽ αὐτὸς μετέπειτα παλύνετο· δῦ δέ μιν ἀλκὴ
and and himself afterward was-sprinkled entered and him strength
σμερδαλέη ἄφατός τε καὶ ἄτρομος· αἱ δ᾽ ἑκάτερθεν
dread unspeakable both and fearless they and on-either-side
χεῖρες ἐπερρώσαντο περὶ σθένεϊ σφριγόωσαι.
hands were-strengthened around with-might swelling
ὡς δ᾽ ὅτ᾽ ἀρήιος ἵππος ἐελδόμενος πολέμοιο
as and when warlike horse longing for-war
σκαρθμῷ ἐπιχρεμέθων κρούει πέδον, αὐτὰρ ὕπερθεν
with-leaping neighing strikes ground but above
κυδιόων ὀρθοῖσιν ἐπ᾽ οὔασιν αὐχέν᾽ ἀείρει·
exulting erect at ears neck raises
τοῖος ἄρ᾽ Αἰσονίδης ἐπαγαίετο κάρτεϊ γυίων.
such then son-of-Aeson exulted in-strength of-limbs
πολλὰ δ᾽ ἄρ᾽ ἔνθα καὶ ἔνθα μετάρσιον ἴχνος ἔπαλλεν,
much and then here and there aloft foot he-sprang
ἀσπίδα χαλκείην μελίην τ᾽ ἐν χερσὶ τινάσσων.
shield bronze ash-spear and in hands brandishing

φαίης κε ζοφεροῖο κατ᾽ αἰθέρος ἀίσσουσαν
you-would-say — dark through air darting
χειμερίην στεροπὴν θαμινὸν μεταπαιφάσσεσθαι
wintry lightning often to-flash
ἐκ νεφέων, ὅτ᾽ ἔπειτα μελάντατον ὄμβρον ἄγωνται.
from clouds when then blackest rain they-bring
καὶ τότ᾽ ἔπειτ᾽ οὐ δηρὸν ἔτι σχήσεσθαι ἀέθλων
and then then not long longer to-hold-back from-the-contests
μέλλον· ἀτὰρ κληῖσιν ἐπισχερὼ ἱδρυνθέντες
they-were-to but on-benches in-order seated
ῥίμφα μάλ᾽ ἐς πεδίον τὸ Ἀρήιον ἠπείγοντο.
swiftly very to plain the of-Ares hastened
τόσσον δὲ προτέρω πέλεν ἄστεος ἀντιπέρηθεν,
so-far and forward was of-town on-the-opposite-side
ὅσσον τ᾽ ἐκ βαλβῖδος ἐπήβολος ἅρματι νύσσα
as-far-as — from starting-line attainable for-chariot turning-post
γίγνεται, ὁππότ᾽ ἄεθλα καταφθιμένοιο ἄνακτος
is when games of-dead lord
κηδεμόνες πεζοῖσι καὶ ἱππήεσσι τίθενται.
kinsmen for-men-on-foot and for-horsemen set
τέτμον δ᾽ Αἰήτην τε καὶ ἄλλων ἔθνεα Κόλχων,
found and Aeetes both and of-other the-tribes of-Colchians
τοὺς μὲν Καυκασίοισιν ἐφεσταότας σκοπέλοισιν,
them indeed on-Caucasian standing on-crags
τὸν δ᾽ αὐτοῦ παρὰ χεῖλος ἑλισσόμενον ποταμοῖο.
him and there by bank wheeling of-river

Jason goes to the field of Ares, where the bulls rush on him breathing fire, but he holds them by their horns, yokes them, and plows the field, sowing the serpent's teeth. As the earthborn men spring up armed, he throws a great stone among them, and they fight one another over it while he cuts them down. Aeetes returns to the city brooding on how to destroy the heroes.

Αἰσονίδης δ', ὅτε δὴ πρυμνήσια δῆσαν ἑταῖροι,
Son-of-Aeson and when indeed stern-cables bound comrades
δή ῥα τότε ξὺν δουρὶ καὶ ἀσπίδι βαῖν' ἐς ἄεθλον,
indeed then then with spear and shield went to contest
νηὸς ἀποπροθορών· ἄμυδις δ' ἕλε παμφανόωσαν
from-ship leaping-forth together and took all-gleaming
χαλκείην πήληκα θοῶν ἔμπλειον ὀδόντων
bronze helmet of-sharp full of-teeth
καὶ ξίφος ἀμφ' ὤμοις, γυμνὸς δέμας, ἄλλα μὲν Ἄρει
and sword about shoulders naked in-body partly indeed to-Ares
εἴκελος, ἄλλα δέ που χρυσαόρῳ Ἀπόλλωνι.
like partly and surely to-golden-sworded Apollo
παπτήνας δ' ἀνὰ νειὸν ἴδε ζυγὰ χάλκεα ταύρων
having-looked and over fallow saw yokes bronze of-bulls
αὐτόγυόν τ' ἐπὶ τοῖς στιβαροῦ ἀδάμαντος ἄροτρον.
of-one-piece and on them of-sturdy adamant plow
χρίμψε δ' ἔπειτα κιών, παρὰ δ' ὄβριμον ἔγχος ἔπηξεν
he-approached and then going beside and mighty spear fixed
ὀρθὸν ἐπ' οὐριάχῳ, κυνέην δ' ἀποκάτθετ' ἐρείσας.
upright on butt helmet and put-down leaning

βῆ δ' αὐτῇ προτέρωσε σὺν ἀσπίδι νήριτα ταύρων
went and itself forward with shield countless of-bulls
ἴχνια μαστεύων· οἱ δ' ἔκποθεν ἀφράστοιο
tracks seeking they and from-somewhere unseen
κευθμῶνος χθονίου, ἵνα τέ σφισιν ἔσκε βόαυλα
from-lair of-the-underground where — for-them were stalls
καρτερὰ λιγνυόεντι πέριξ εἰλυμένα καπνῷ,
strong with-sooty around wrapped smoke
ἄμφω ὁμοῦ προγένοντο πυρὸς σέλας ἀμπνείοντες.
both together came-forth of-fire flame breathing
ἔδδεισαν δ' ἥρωες, ὅπως ἴδον. αὐτὰρ ὁ τούσγε,
feared and the-heroes when they-saw but he them
εὖ διαβάς, ἐπιόντας, ἅ τε σπιλὰς εἰν ἁλὶ πέτρη
well standing-firm coming as — reef in sea rock
μίμνει ἀπειρεσίῃσι δονεύμενα κύματ' ἀέλλαις.
awaits by-countless tossed waves by-storms
πρόσθε δέ οἱ σάκος ἔσχεν ἐναντίον· οἱ δέ μιν ἄμφω
before and him shield he-held opposite they and him both
μυκηθμῷ κρατεροῖσιν ἐνέπληξαν κεράεσσιν·
with-bellowing with-strong struck with-horns
οὐδ' ἄρα μιν τυτθόν περ ἀνώχλισαν ἀντιόωντες.
nor then him a-little even they-heaved meeting
ὡς δ' ὅτ' ἐνὶ τρητοῖσιν ἐύρρινοι χοάνοισιν
as and when in pierced well-hided crucibles
φῦσαι χαλκήων ὁτὲ μέν τ' ἀναμαρμαίρουσιν,
bellows of-smiths sometimes indeed — flash-up
πῦρ ὀλοὸν πιμπρᾶσαι, ὅτ' αὖ λήγουσιν ἀυτμῆς,
fire baneful kindling when in-turn they-cease from-blast

δεινὸς δ᾽ ἐξ αὐτοῦ πέλεται βρόμος, ὁππότ᾽ ἀίξῃ
dread and from it is roar when it-darts
νειόθεν· ὣς ἄρα τώγε θοὴν φλόγα φυσιόωντες
from-below so then they-two swift flame breathing
ἐκ στομάτων ὁμάδευν, τὸν δ᾽ ἄμφεπε δήιον αἶθος
from mouths roared him and enveloped hostile blaze
βάλλον ἅ τε στεροπή· κούρης δέ ἑ φάρμακ᾽ ἔρυτο.
struck as — lightning of-the-maiden and him drugs guarded
καί ῥ᾽ ὅγε δεξιτεροῖο βοὸς κέρας ἄκρον ἐρύσσας
and then he of-the-right ox horn tip having-drawn
εἵλκεν ἐπικρατέως παντὶ σθένει, ὄφρα πελάσσῃ
dragged mightily with-all strength so-that he-might-bring-near
ζεύγλῃ χαλκείῃ, τὸν δ᾽ ἐν χθονὶ κάββαλεν ὀκλάξ,
to-yoke bronze it and on ground he-threw on-its-knees
ῥίμφα ποδὶ κρούσας πόδα χάλκεον. ὣς δὲ καὶ ἄλλον
swiftly with-foot striking foot bronze so and also the-other
σφῆλεν γνὺξ ἐπιόντα, μιῇ βεβολημένον ὁρμῇ.
he-tripped on-knees coming with-one smitten rush
εὐρὺ δ᾽ ἀποπροβαλὼν χαμάδις σάκος, ἔνθα καὶ ἔνθα
broad and throwing-off on-the-ground shield here and there
τῇ καὶ τῇ βεβαὼς ἄμφω ἔχε πεπτηῶτας
this-way and that standing both held fallen
γούνασιν ἐν προτέροισι, διὰ φλογὸς εἶθαρ ἑλυσθείς.
knees on front through flame straightway wrapped
θαύμασε δ᾽ Αἰήτης σθένος ἀνέρος. οἱ δ᾽ ἄρα τείως
marveled and Aeetes the-might of-the-man they and then meanwhile
Τυνδαρίδαι — δὴ γάρ σφι πάλαι προπεφραδμένον ἦεν —
sons-of-Tyndareus indeed for to-them long-ago foretold was
ἀγχίμολον ζυγά οἱ πεδόθεν δόσαν ἀμφιβαλέσθαι.
near yokes to-him from-the-ground gave to-throw-around

αὐτὰρ ὁ εὖ ἐνέδησε λόφους· μεσσηγὺ δ' ἀείρας
but he well bound necks in-the-middle and raising
χάλκεον ἱστοβοῆα, θοῇ συνάρασσε κορώνῃ
bronze pole with-swift fitted with-hook
ζεύγληθεν. καὶ τὼ μὲν ὑπὲκ πυρὸς ἂψ ἐπὶ νῆα
from-the-yoke and they-two indeed from fire back to ship
χαζέσθην. ὁ δ' ἄρ' αὖτις ἑλὼν σάκος ἔνθετο νώτῳ
withdrew he and then again having-taken shield put on-back
ἐξόπιθεν, καὶ γέντο θοῶν ἔμπλειον ὀδόντων
behind and took of-sharp full of-teeth
πήληκα βριαρὴν δόρυ τ' ἄσχετον, ᾧ ῥ' ὑπὸ μέσσας
helmet strong spear and irresistible with-which then under middle
ἐργατίνης ὥς τίς τε Πελασγίδι νύσσεν ἀκαίνῃ
laborer as some — Pelasgian pricked with-goad
οὐτάζων λαγόνας· μάλα δ' ἔμπεδον εὖ ἀραρυῖαν
pricking flanks very and steadfastly well fitted
τυκτὴν ἐξ ἀδάμαντος ἐπιθύνεσκεν ἐχέτλην.
wrought from adamant he-guided plow-handle
οἱ δ' εἴως μὲν δὴ περιώσια θυμαίνεσκον,
they and meanwhile indeed truly exceedingly raged
λάβρον ἐπιπνείοντε πυρὸς σέλας· ὦρτο δ' ἀυτμὴ
fiercely breathing of-fire flame rose and blast
ἠύτε βυκτάων ἀνέμων βρόμος, οὕς τε μάλιστα
like of-roaring of-winds roar which — most
δειδιότες μέγα λαῖφος ἁλίπλοοι ἐστείλαντο.
fearing great sail sea-sailors furl
δηρὸν δ' οὐ μετέπειτα κελευόμενοι ὑπὸ δουρὶ
long and not afterward urged under spear
ἤισαν· ὀκριόεσσα δ' ἐρείκετο νειὸς ὀπίσσω,
went rugged and was-torn fallow behind

σχιζομένη ταύρων τε βίῃ κρατερῷ τ᾽ ἀροτῆρι.
cleft of-bulls both by-the-might by-strong and plowman
δεινὸν δ᾽ ἐσμαράγευν ἄμυδις κατὰ ὦλκας ἀρότρου
terribly and crashed together along furrows of-plow
βώλακες ἀγνύμεναι ἀνδραχθέες· εἵπετο δ᾽ αὐτὸς
clods breaking man-burdening followed and himself
λαῖον ἐπὶ στιβαρῷ πιέσας ποδί· τῆλε δ᾽ ἑοῖο
the-left on sturdy pressing with-foot far and from-himself
βάλλεν ἀρηρομένην αἰεὶ κατὰ βῶλον ὀδόντας
cast plowed ever along clod teeth
ἐντροπαλιζόμενος, μή οἱ πάρος ἀντιάσειεν
turning-round lest him first should-meet
γηγενέων ἀνδρῶν ὀλοὸς στάχυς· οἱ δ᾽ ἄρ᾽ ἐπιπρὸ
of-earthborn of-men baneful crop they and then forward
χαλκείῃς χηλῇσιν ἐρειδόμενοι πονέοντο.
on-bronze on-hoofs pressing toiled
ἦμος δὲ τρίτατον λάχος ἤματος ἀνομένοιο
when and third portion of-day ending
λείπεται ἐξ ἠοῦς, καλέουσι δὲ κεκμηῶτες
remains from dawn call and weary
ἐργατίναι γλυκερόν σφιν ἄφαρ βουλυτὸν ἱκέσθαι,
laborers sweet for-them at-once ox-loosing to-come
τῆμος ἀρήροτο νειὸς ὑπ᾽ ἀκαμάτῳ ἀροτῆρι,
then was-plowed fallow by untiring plowman
τετράγυός περ ἐοῦσα· βοῶν τ᾽ ἀπελύετ᾽ ἄροτρα.
of-four-acres though being of-oxen and he-loosed plow
καὶ τοὺς μὲν πεδίονδε διεπτοίησε φέβεσθαι·
and them indeed to-the-plain he-scared to-flee

αὐτὰρ ὁ ἂψ ἐπὶ νῆα πάλιν κίεν, ὄφρ᾽ ἔτι κεινὰς
but he back to ship again went while still empty
γηγενέων ἀνδρῶν ἴδεν αὔλακας. ἀμφὶ δ᾽ ἑταῖροι
of-earthborn of-men he-saw furrows around and comrades
θάρσυνον μύθοισιν. ὁ δ᾽ ἐκ ποταμοῖο ῥοάων
encouraged with-words he and from of-river streams
αὐτῇ ἀφυσσάμενος κυνέῃ σβέσεν ὕδατι δίψαν·
with-very having-drawn helmet quenched with-water thirst
γνάμψε δὲ γούνατ᾽ ἐλαφρά, μέγαν δ᾽ ἐμπλήσατο θυμὸν
bent and knees nimble great and filled heart
ἀλκῆς, μαιμώων συῒ εἴκελος, ὅς ῥά τ᾽ ὀδόντας
with-valor raging to-boar like which then — teeth
θήγει θηρευτῆσιν ἐπ᾽ ἀνδράσιν, ἀμφὶ δὲ πολλὸς
whets hunting against men around and much
ἀφρὸς ἀπὸ στόματος χαμάδις ῥέε χωομένοιο.
foam from mouth to-the-ground flowed of-the-angry
οἱ δ᾽ ἤδη κατὰ πᾶσαν ἀνασταχύεσκον ἄρουραν
they and already over all sprang-up field
γηγενέες· φρίξεν δὲ περὶ στιβαροῖς σακέεσσιν
earthborn bristled and around sturdy shields
δούρασί τ᾽ ἀμφιγύοις κορύθεσσί τε λαμπομένῃσιν
spears both two-edged helmets and shining
Ἄρηος τέμενος φθισιμβρότου· ἵκετο δ᾽ αἴγλη
of-Ares precinct man-destroying reached and gleam
νειόθεν Οὐλυμπόνδε δι᾽ ἠέρος ἀστράπτουσα.
from-below to-Olympus through air flashing

ὡς δ' ὁπότ' ἐς γαῖαν πολέος νιφετοῖο πεσόντος
as and when to earth much snow fallen
ἂψ ἀπὸ χειμερίας νεφέλας ἐκέδασσαν ἄελλαι
back from wintry clouds scattered storms
λυγαίῃ ὑπὸ νυκτί, τὰ δ' ἀθρόα πάντ' ἐφαάνθη
dark under night they and in-a-mass all appeared
τείρεα λαμπετόωντα διὰ κνέφας· ὣς ἄρα τοίγε
stars shining through darkness so then they
λάμπον ἀναλδήσκοντες ὑπὲρ χθονός. αὐτὰρ Ἰήσων
shone springing-up above earth but Jason
μνήσατο Μηδείης πολυκερδέος ἐννεσιάων,
remembered of-Medea of-much-craft of-the-counsels
λάζετο δ' ἐκ πεδίοιο μέγαν περιηγέα πέτρον,
took and from plain great round stone
δεινὸν Ἐνυαλίου σόλον Ἄρεος· οὔ κέ μιν ἄνδρες
dread of-Enyalius quoit of-Ares not — it men
αἰζηοὶ πίσυρες γαίης ἄπο τυτθὸν ἄειραν.
young four earth from a-little would-have-raised
τόν ῥ' ἀνὰ χεῖρα λαβὼν μάλα τηλόθεν ἔμβαλε μέσσοις
it then in hand taking very from-afar cast in-the-midst
ἀίξας· αὐτὸς δ' ὑφ' ἑὸν σάκος ἕζετο λάθρῃ
having-rushed himself and under his-own shield sat secretly
θαρσαλέως. Κόλχοι δὲ μέγ' ἴαχον, ὡς ὅτε πόντος
boldly Colchians and greatly shouted as when sea
ἴαχεν ὀξείῃσιν ἐπιβρομέων σπιλάδεσσιν·
shouts on-sharp roaring on-crags
τὸν δ' ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο
him and seized speechlessness at-the-hurl of-sturdy quoit
Αἰήτην. οἱ δ' ὥστε θοοὶ κύνες ἀμφιθορόντες
Aeetes they and like swift dogs leaping-around

ἀλλήλους βρυχηδὸν ἐδήιον· οἱ δ' ἐπὶ γαῖαν
one-another roaring slew they and to earth
μητέρα πῖπτον ἑοῖς ὑπὸ δούρασιν, ἠύτε πεῦκαι
mother fell their-own under spears like pines
ἢ δρύες, ἅς τ' ἀνέμοιο κατάικες δονέουσιν.
or oaks which — of-wind gusts shake
οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται ἀστὴρ
as and from-heaven fiery leaps star
ὁλκὸν ὑπαυγάζων, τέρας ἀνδράσιν, οἵ μιν ἴδωνται
trail gleaming portent to-men who it see
μαρμαρυγῇ σκοτίοιο δι' ἠέρος ἀίξαντα·
with-flash dark through air darting
τοῖος ἄρ' Αἴσονος υἱὸς ἐπέσσυτο γηγενέεσσιν,
such then of-Aeson son rushed-at the-earthborn
γυμνὸν δ' ἐκ κολεοῖο φέρε ξίφος, οὗτα δὲ μίγδην
naked and from scabbard bore sword wounded and confusedly
ἀμώων, πολέας μὲν ἔτ' ἐς νηδὺν λαγόνας τε
mowing many indeed still to belly flanks and
ἡμίσεας ἀνέχοντας ἐς ἠέρα· τοὺς δὲ καὶ ἄχρις
halfway rising into air some and also as-far-as
†ὤμων† τελλομένους· τοὺς δὲ νέον ἑστηῶτας,
(corrupt)-of-shoulders rising others and newly standing
τοὺς δ' ἤδη καὶ ποσσὶν ἐπειγομένους ἐς ἄρηα.
others and already also with-feet hastening to battle
ὡς δ' ὁπότ', ἀμφ' οὔροισιν ἐγειρομένου πολέμοιο,
as and when about borders rising war
δείσας γειομόρος, μή οἱ προτάμωνται ἀρούρας,
fearing a-farmer lest from-him they-cut-first the-fields

ἅρπην εὐκαμπῆ νεοθηγέα χερσὶ μεμαρπὼς
sickle well-curved newly-sharpened in-hands grasping
ὠμὸν ἐπισπεύδων κείρει στάχυν, οὐδὲ βολῇσιν
unripe hastening cuts crop nor for-the-rays
μίμνει ἐς ὡραίην τερσήμεναι ἠελίοιο·
waits to seasonable to-dry of-sun
ὣς τότε γηγενέων κεῖρε στάχυν· αἵματι δ' ὁλκοὶ
so then of-earthborn he-cut crop with-blood and furrows
ἠύτε κρηναῖαι ἀμάραι πλήθοντο ῥοῇσιν.
as of-springs channels were-filled with-streams
πῖπτον δ', οἱ μὲν ὀδὰξ τετρηχότα βῶλον †ὀδοῦσιν†
fell and some indeed biting rough clod (corrupt)-with-teeth
λαζόμενοι πρηνεῖς, οἱ δ' ἔμπαλιν, οἱ δ' ἐπ' ἀγοστῷ
grasping face-down others and backward others and on palm
καὶ πλευροῖς, κήτεσσι δομὴν ἀτάλαντοι ἰδέσθαι.
and sides to-sea-monsters in-build like to-see
πολλοὶ δ' οὐτάμενοι, πρὶν ὑπὸ χθονὸς ἴχνος ἀεῖραι,
many and wounded before under earth foot to-raise
ὅσσον ἄνω προύτυψαν ἐς ἠέρα, τόσσον ἔραζε
as-much-as up they-had-pushed into air so-much to-the-ground
βριθόμενοι πλαδαροῖσι καρήασιν ἠρήρειντο.
weighed-down with-dank with-heads leaned
ἔρνεά που τοίως, Διὸς ἄσπετον ὀμβρήσαντος,
saplings surely so of-Zeus boundless having-rained
φυταλιῇ νεόθρεπτα κατημύουσιν ἔραζε
in-the-orchard newly-reared droop to-the-ground
κλασθέντα ῥίζηθεν, ἀλωήων πόνος ἀνδρῶν·
broken from-the-root of-gardens toil of-men

τὸν δὲ κατηφείη τε καὶ οὐλοὸν ἄλγος ἱκάνει
him and despondency both and baneful pain comes
κλήρου σημαντῆρα φυτοτρόφον· ὣς τότ᾽ ἄνακτος
of-the-estate the-owner planter so then of-the-lord
Αἰήταο βαρεῖαι ὑπὸ φρένας ἦλθον ἀνῖαι.
of-Aeetes heavy under heart came sorrows
ἤιε δ᾽ ἐς πτολίεθρον ὑπότροπος ἄμμιγα Κόλχοις, 1405
he-went and to city back together-with Colchians
πορφύρων, ἦ κέ σφι θοώτερον ἀντιόῳτο.
pondering how — them more-swiftly he-might-oppose
ἦμαρ ἔδυ, καὶ τῷ τετελεσμένος ἦεν ἄεθλος.
day sank and to-him accomplished was contest

BOOK IV

IV.1 · MEDEA'S FLIGHT AND THE FLEECE

Aeetes plots against the heroes, and Medea, terrified, flees the palace by night. She reaches the river bank opposite the heroes' fires and calls to them, and when they row across she begs them to take her, promising to put the dragon to sleep, and Jason swears by Zeus and Hera to make her his wedded wife in Greece. With Jason she goes to the grove of Ares, lulls the serpent with her song and charms, and Jason takes the fleece from the oak and carries it with Medea to the ship.

Αὐτὴ νῦν κάματόν γε, θεά, καὶ δήνεα κούρης
Yourself now the-toil indeed goddess and the-counsels of-the-maiden
Κολχίδος ἔννεπε, Μοῦσα, Διὸς τέκος. ἦ γὰρ ἔμοιγε
Colchian tell Muse of-Zeus child truly for to-me
ἀμφασίῃ νόος ἔνδον ἑλίσσεται ὁρμαίνοντι,
in-speechlessness mind within whirls pondering
ἠέ μιν ἄτης πῆμα δυσίμερον, ἦ τόγ' ἐνίσπω
whether her of-ruin a-woe lovesick or it shall-I-call
φύζαν ἀεικελίην, ᾗ κάλλιπεν ἔθνεα Κόλχων. 5
flight unseemly by-which she-left the-tribes of-Colchians

Ἤτοι ὁ μὲν δήμοιο μετ' ἀνδράσιν, ὅσσοι ἄριστοι,
Truly he indeed of-the-people among men as-many-as best
παννύχιος δόλον αἰπὺν ἐπὶ σφίσι μητιάασκεν
all-night guile sheer against them devised
οἷσιν ἐνὶ μεγάροις, στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ
his in halls hateful at in-heart contest
Αἰήτης ἄμοτον κεχολωμένος· οὐδ' ὅγε πάμπαν
Aeetes insatiably angered nor he wholly
θυγατέρων τάδε νόσφιν ἑῶν τελέεσθαι ἐώλπει. 10
daughters these-things apart-from his-own to-be-accomplished thought

Τῇ δ' ἀλεγεινότατον κραδίῃ φόβον ἔμβαλεν Ἥρη·
In-her and most-grievous in-heart fear cast Hera
τρέσσεν δ', ἠύτε τις κούφη κεμάς, ἥν τε βαθείης
she-trembled and as some light fawn which — of-deep
τάρφεσιν ἐν ξυλόχοιο κυνῶν ἐφόβησεν ὁμοκλή.
thickets in of-copse of-dogs scared the-cry
αὐτίκα γὰρ νημερτὲς ὀίσσατο, μή μιν ἀρωγὴν
at-once for truly she-thought not her help
ληθέμεν, αἶψα δὲ πᾶσαν ἀναπλήσειν κακότητα.
to-escape-notice quickly and all to-be-going-to-fill-up misery
τάρβει δ' ἀμφιπόλους ἐπιίστορας· ἐν δέ οἱ ὄσσε
she-feared and handmaids knowing in and her eyes
πλῆτο πυρός, δεινὸν δὲ περιβρομέεσκον ἀκουαί.
were-filled with-fire dread and roared-around ears
πυκνὰ δὲ λαυκανίης ἐπεμάσσατο, πυκνὰ δὲ κουρὶξ
often and throat she-clutched often and by-the-hair
ἑλκομένη πλοκάμους γοερῇ βρυχήσατ' ἀνίῃ.
dragging tresses with-wailing groaned with-grief
καί νύ κεν αὐτοῦ τῆμος ὑπὲρ μόρον ὤλετο κούρη,
and now — there then beyond fate would-have-perished the-maiden
φάρμακα πασσαμένη, Ἥρης δ' ἀλίωσε μενοινάς,
drugs having-tasted of-Hera and made-vain the-purposes
εἰ μή μιν Φρίξοιο θεὰ σὺν παισὶ φέβεσθαι
if not her of-Phrixus the-goddess with sons to-flee
ὦρσεν ἀτυζομένην· πτερόεις δέ οἱ ἐν φρεσὶ θυμὸς
had-roused bewildered winged and her in breast heart
ἰάνθη· μετὰ δ' ἤγε παλίσσυτος ἀθρόα κόλπων
was-cheered back and she again all-at-once into-the-bosom
φάρμακα πάντ' ἄμυδις κατεχεύατο φωριαμοῖο.
drugs all together poured of-the-casket

κύσσε δ᾽ ἑόν τε λέχος καὶ δικλίδας ἀμφοτέρωθεν
kissed and her-own both bed and folding-doors on-both-sides
σταθμούς, καὶ τοίχων ἐπαφήσατο, χερσί τε μακρὸν
posts and walls she-touched with-hands and long
ῥηξαμένη πλόκαμον, θαλάμῳ μνημήια μητρὶ
having-torn-off tress in-the-chamber memorial for-mother
κάλλιπε παρθενίης, ἀδινῇ δ᾽ ὀλοφύρατο φωνῇ·
she-left of-maidenhood with-thick and lamented with-voice
"Τόνδε τοι ἀντ᾽ ἐμέθεν ταναὸν πλόκον εἶμι λιποῦσα,
This to-you instead-of me long tress I-go leaving
μῆτερ ἐμή· χαίροις δὲ καὶ ἄνδιχα πολλὸν ἰούσῃ·
mother my farewell and also far much going
χαίροις Χαλκιόπη, καὶ πᾶς δόμος. αἴθε σε πόντος,
farewell Chalciope and all house would-that you sea
ξεῖνε, διέρραισεν, πρὶν Κολχίδα γαῖαν ἱκέσθαι."
stranger had-dashed-to-pieces before Colchian land to-reach
Ὣς ἄρ᾽ ἔφη· βλεφάρων δὲ κατ᾽ ἀθρόα δάκρυα χεῦεν.
So then she-spoke from-eyelids and down in-floods tears poured
οἵη δ᾽ ἀφνειοῖο διειλυσθεῖσα δόμοιο
as and from-rich slipping house
ληιάς, ἥν τε νέον πάτρης ἀπενόσφισεν αἶσα,
captive whom — newly from-fatherland fate has-severed
οὐδέ νύ πω μογεροῖο πεπείρηται καμάτοιο,
nor now yet of-grievous has-made-trial toil
ἀλλ᾽ ἔτ᾽ ἀηθέσσουσα δύης καὶ δούλια ἔργα
but still unaccustomed to-misery and to-slavish works
εἶσιν ἀτυζομένη χαλεπὰς ὑπὸ χεῖρας ἀνάσσης·
goes bewildered harsh under hands of-mistress
τοίη ἄρ᾽ ἱμερόεσσα δόμων ἐξέσσυτο κούρη.
such then lovely from-house rushed the-maiden

τῇ δὲ καὶ αὐτόματοι θυρέων ὑπόειξαν ὀχῆες,
for-her and also of-their-own-accord of-the-doors gave-way the-bolts
ὠκείαις ἄψορροι ἀναθρώσκοντες ἀοιδαῖς.
with-swift back leaping-up with-chants
γυμνοῖσιν δὲ πόδεσσιν ἀνὰ στεινὰς θέεν οἴμους,
with-bare and feet through narrow ran paths
λαιῇ μὲν χερὶ πέπλον ἐπ᾽ ὀφρύσιν ἀμφὶ μέτωπα
with-left indeed hand robe over brows about forehead
στειλαμένη καὶ καλὰ παρήια, δεξιτερῇ δὲ
holding and fair cheeks with-right and
ἄκρην ὑψόθι πέζαν ἀερτάζουσα χιτῶνος.
the-edge high hem lifting of-tunic
καρπαλίμως δ᾽ ἀΐδηλον ἀνὰ στίβον ἔκτοθι πύργων
swiftly and unseen along path outside of-towers
ἄστεος εὐρυχόροιο φόβῳ ἵκετ᾽· οὐδέ τις ἔγνω
of-town wide-spaced in-fear she-came nor anyone knew
τήνγε φυλακτήρων, λάθε δέ σφεας ὁρμηθεῖσα.
her of-the-guards she-escaped and them having-hastened
ἔνθεν ἴμεν νηόνδε μάλ᾽ ἐφράσατ᾽· οὐ γὰρ ἄιδρις
thence to-go to-temple very she-planned not for ignorant
ἦεν ὁδῶν, θαμὰ καὶ πρὶν ἀλωμένη ἀμφί τε νεκρούς,
she-was of-roads often also before wandering about and corpses
ἀμφί τε δυσπαλέας ῥίζας χθονός, οἷα γυναῖκες
about and baneful roots of-earth as women
φαρμακίδες· τρομερῷ δ᾽ ὑπὸ δείματι πάλλετο θυμός.
sorceresses with-trembling and under fear quivered heart

τὴν δὲ νέον Τιτηνὶς ἀνερχομένη περάτηθεν
her and newly Titanian rising from-the-horizon
φοιταλέην ἐσιδοῦσα θεὰ ἐπεχήρατο Μήνη
wandering seeing goddess rejoiced Moon
ἁρπαλέως, καὶ τοῖα μετὰ φρεσὶν ᾗσιν ἔειπεν·
eagerly and such among mind her spoke
"Οὐκ ἄρ' ἐγὼ μούνη μετὰ Λάτμιον ἄντρον ἀλύσκω,
Not then I alone to Latmian cave stray
οὐδ' οἴη καλῷ περιδαίομαι Ἐνδυμίωνι·
nor alone with-fair am-inflamed Endymion
ἦ θαμὰ δὴ καὶ σεῖο κίον δολίῃσιν ἀοιδαῖς,
truly often indeed also by-your I-went by-crafty by-incantations
μνησαμένη φιλότητος, ἵνα σκοτίῃ ἐνὶ νυκτὶ
remembering love so-that dark in night
φαρμάσσῃς εὔκηλος, ἅ τοι φίλα ἔργα τέτυκται.
you-might-work-drugs at-ease which to-you dear works are
νῦν δὲ καὶ αὐτὴ δῆθεν ὁμοίης ἔμμορες ἄτης·
now and also yourself indeed of-like have-share ruin
δῶκε δ' ἀνιηρόν τοι Ἰήσονα πῆμα γενέσθαι
gave and grievous to-you Jason woe to-be
δαίμων ἀλγινόεις. ἀλλ' ἔρχεο, τέτλαθι δ' ἔμπης,
deity painful but go endure and nevertheless
καὶ πινυτή περ ἐοῦσα, πολύστονον ἄλγος ἀείρειν."
even wise though being much-groaning pain to-bear
Ὣς ἄρ' ἔφη· τὴν δ' αἶψα πόδες φέρον ἐγκονέουσαν.
So then she-spoke her and quickly feet bore hastening
ἀσπασίως δ' ὄχθῃσιν ἐπηέρθη ποταμοῖο,
gladly and to-the-banks she-was-raised of-the-river

ἀντιπέρην λεύσσουσα πυρὸς σέλας, ὅ ῥά τ᾽ ἀέθλου
opposite seeing of-fire gleam which then — of-the-contest
παννύχιοι ἥρωες ἐυφροσύνῃσιν ἔδαιον.
all-night heroes in-gladness kindled
ὀξείῃ δἤπειτα διὰ κνέφας ὄρθια φωνῇ
with-sharp then through darkness clear with-voice
ὁπλότατον Φρίξοιο περαιόθεν ἤπυε παίδων,
youngest of-Phrixus from-across called of-sons
Φρόντιν· ὁ δὲ ξὺν ἑοῖσι κασιγνήτοις ὄπα κούρης
Phrontis he and with his brothers the-voice of-the-maiden
αὐτῷ τ᾽ Αἰσονίδῃ τεκμήρατο· σῖγα δ᾽ ἑταῖροι
himself and son-of-Aeson guessed silently and comrades
θάμβεον, εὖτ᾽ ἐνόησαν ὃ δὴ καὶ ἐτήτυμον ἦεν.
marveled when they-perceived what indeed also true was
τρὶς μὲν ἀνήυσεν, τρὶς δ᾽ ὀτρύνοντος ὁμίλου
thrice indeed she-called thrice and urging while-the-throng
Φρόντις ἀμοιβήδην ἀντίαχεν· οἱ δ᾽ ἄρα τείως
Phrontis in-reply shouted-back they and then meanwhile
ἥρωες μετὰ τήνγε θοοῖς ἐλάασκον ἐρετμοῖς.
heroes after her with-swift rowed with-oars
οὔπω πείσματα νηὸς ἐπ᾽ ἠπείροιο περαίης
not-yet cables of-ship on mainland opposite
βάλλον, ὁ δὲ κραιπνοὺς χέρσῳ πόδας ἧκεν Ἰήσων
cast he and swift on-land feet sent Jason
ὑψοῦ ἀπ᾽ ἰκριόφιν· μετὰ δὲ Φρόντις τε καὶ Ἄργος,
high from deck after and Phrontis both and Argus
υἷε δύω Φρίξου, χαμάδις θόρον· ἡ δ᾽ ἄρα τούσγε
sons two of-Phrixus to-the-ground leapt she and then them
γούνων ἀμφοτέρῃσι περισχομένη προσέειπεν·
by-knees with-both clasping addressed

“ Ἔκ με, φίλοι, ῥύσασθε δυσάμμορον, ὥς δὲ καὶ αὐτοὺς
Out me friends rescue ill-fated so and also yourselves
ὑμέας Αἰήταο, πρὸ γάρ τ’ ἀναφανδὰ τέτυκται
you from-Aeetes before for — openly is-made
πάντα μάλ’, οὐδέ τι μῆχος ἱκάνεται. ἀλλ’ ἐπὶ νηὶ
all very nor any remedy comes but on ship
φεύγωμεν, πρὶν τόνδε θοῶν ἐπιβήμεναι ἵππων.
let-us-flee before him of-swift to-mount horses
δώσω δὲ χρύσειον ἐγὼ δέρος, εὐνήσασα
I-will-give and golden I fleece having-lulled
φρουρὸν ὄφιν· τύνη δὲ θεοὺς ἐνὶ σοῖσιν ἑταίροις,
guardian serpent you and gods among your comrades
ξεῖνε, τεῶν μύθων ἐπιίστορας, οὕς μοι ὑπέστης,
stranger of-your words witnesses which to-me you-promised
ποίησαι· μηδ’ ἔνθεν ἑκαστέρω ὁρμηθεῖσαν
make nor thence farther having-set-out
χήτεϊ κηδεμόνων ὀνοτὴν καὶ ἀεικέα θείης.”
for-lack of-guardians blamed and disgraced make-me
Ἴσκεν ἀκηχεμένη· μέγα δὲ φρένες Αἰσονίδαο
She-spoke grieving greatly and heart of-the-son-of-Aeson
γήθεον· αἶψα δέ μιν περὶ γούνασι πεπτηυῖαν
rejoiced quickly and her about knees fallen
ἦκ’ ἀναειρόμενος προσπτύξατο, θάρσυνέν τε·
gently raising embraced encouraged and
“Δαιμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω,
Strange-one Zeus himself Olympian witness-of-oaths let-be

Ἥρη τε Ζυγίη, Διὸς εὐνέτις, ἣ μὲν ἐμοῖσιν
Hera and of-Marriage of-Zeus bedfellow truly indeed in-my
κουριδίην σε δόμοισιν ἐνιστήσεσθαι ἄκοιτιν,
wedded you in-house to-be-going-to-set wife
εὖτ' ἂν ἐς Ἑλλάδα γαῖαν ἱκώμεθα νοστήσαντες."
when — to Hellas land we-come returning
Ὣς ηὔδα, καὶ χεῖρα παρασχεδὸν ἤραρε χειρὶ
So he-spoke and hand at-once fitted to-hand
δεξιτερήν· ἡ δέ σφιν ἐς ἱερὸν ἄλσος ἀνώγει
right she and to-them to holy grove bade
νῆα θοὴν ἐλάαν αὐτοσχεδόν, ὄφρ' ἔτι νύκτωρ
ship swift to-drive straightway so-that still by-night
κῶας ἑλόντες ἄγοιντο παρὲκ νόον Αἰήταο.
fleece having-taken they-might-carry against will of-Aeetes
ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισιν.
there word and also deed together was for-the-hastening
εἰς γάρ μιν βήσαντες, ἀπὸ χθονὸς αὐτίκ' ἔωσαν
on for her having-put from land at-once pushed
νῆα· πολὺς δ' ὀρυμαγδὸς ἐπειγομένων ἐλάτῃσιν
ship much and din of-hastening with-pines
ἦεν ἀριστήων· ἡ δ' ἔμπαλιν ἀίσσουσα
was of-chiefs she and back darting
γαίῃ χεῖρας ἔτεινεν ἀμήχανος. αὐτὰρ Ἰήσων
toward-land hands stretched helpless but Jason
θάρσυνέν τ' ἐπέεσσι, καὶ ἴσχανεν ἀσχαλόωσαν.
encouraged both with-words and held-back distressed

Ἧμος δ' ἀνέρες ὕπνον ἀπ' ὀφθαλμῶν ἐβάλοντο
When and men sleep from eyes cast
ἀγρόται, οἵ τε κύνεσσι πεποιθότες οὔποτε νύκτα
hunters who — in-dogs trusting never night
ἄγχαυρον κνώσσουσιν, ἀλευάμενοι φάος ἠοῦς,
till-near-dawn slumber avoiding light of-dawn
μὴ πρὶν ἀμαλδύνῃ θηρῶν στίβον ἠδὲ καὶ ὀδμὴν
lest first it-obliterate of-beasts track and also scent
θηρείην λευκῇσιν ἐνισκίμψασα βολῇσιν·
of-beast with-white striking with-rays
τῆμος ἄρ' Αἰσονίδης κούρη τ' ἀπὸ νηὸς ἔβησαν
then then son-of-Aeson the-maiden and from ship went
ποιήεντ' ἀνὰ χῶρον, ἵνα κριοῦ καλέονται
grassy over place where of-the-ram are-called
εὐναί, ὅθι πρῶτον κεκμηότα γούνατ' ἔκαμψεν,
beds where first weary knees it-bent
νώτοισιν φορέων Μινυήιον υἷ' Ἀθάμαντος.
on-back carrying Minyan son of-Athamas
ἐγγύθι δ' αἰθαλόεντα πέλεν βωμοῖο θέμεθλα,
near and smoke-blackened was of-altar base
ὅν ῥά ποτ' Αἰολίδης Διὶ Φυξίῳ εἵσατο Φρίξος,
which then once son-of-Aeolus to-Zeus of-Flight set-up Phrixus
ῥέζων κεῖνο τέρας παγχρύσεον, ὥς οἱ ἔειπεν
sacrificing that portent all-golden as to-him told
Ἑρμείας πρόφρων ξυμβλήμενος. ἔνθ' ἄρα τούσγε
Hermes gladly meeting there then them
Ἄργου φραδμοσύνῃσιν ἀριστῆες μεθέηκαν.
of-Argus by-the-counsels chieftains let-go
τὼ δὲ δι' ἀτραπιτοῖο μεθ' ἱερὸν ἄλσος ἵκοντο,
they-two and through path to holy grove came

φηγὸν ἀπειρεσίην διζημένω, ᾗ ἔπι κῶας
oak huge seeking which on fleece
βέβλητο, νεφέλῃ ἐναλίγκιον, ᾗ τ᾽ ἀνιόντος
was-hung to-cloud like which — of-rising
ἠελίου φλογερῇσιν ἐρεύθεται ἀκτίνεσσιν.
sun with-fiery reddens with-rays
αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνετο δειρὴν
but he straight-opposite very-long stretched neck
ὀξὺς ἀύπνοισιν προϊδὼν ὄφις ὀφθαλμοῖσιν
keen with-sleepless foreseeing serpent with-eyes
νισσομένους, ῥοίζει δὲ πελώριον· ἀμφὶ δὲ μακραὶ
the-coming-ones hissed and monstrously around and long
ἠιόνες ποταμοῖο καὶ ἄσπετον ἴαχεν ἄλσος.
banks of-river and boundless rang grove
ἔκλυον οἳ καὶ πολλὸν ἑκὰς Τιτηνίδος Αἴης
heard who even far far-off of-Titanian of-Aea
Κολχίδα γῆν ἐνέμοντο παρὰ προχοῇσι Λύκοιο,
Colchian land dwelt beside mouths of-Lycus
ὅς τ᾽ ἀποκιδνάμενος ποταμοῦ κελάδοντος Ἀράξεω
which — parting of-river roaring of-Araxes
Φάσιδι συμφέρεται ἱερὸν ῥόον· οἱ δὲ συνάμφω
with-Phasis joins holy stream they and both
Καυκασίην ἅλαδ᾽ εἰς ἓν ἐλαυνόμενοι προχέουσιν.
Caucasian to-sea into one driven pour-forth
δείματι δ᾽ ἐξέγροντο λεχωίδες, ἀμφὶ δὲ παισὶν
in-fear and awoke women-in-childbed around and children
νηπιάχοις, οἵ τέ σφιν ὑπ᾽ ἀγκαλίδεσσιν ἴαυον,
infants who — to-them under arms slept
ῥοίζῳ παλλομένοις χεῖρας βάλον ἀσχαλόωσαι.
with-hiss quivering hands cast distressed

ὡς δ᾽ ὅτε τυφομένης ὕλης ὕπερ αἰθαλόεσσαι
as and when of-smoldering wood over sooty
καπνοῖο στροφάλιγγες ἀπείριτοι εἱλίσσονται,
of-smoke eddies countless roll
ἄλλη δ᾽ αὖψ᾽ ἑτέρῃ ἐπιτέλλεται αἰὲν ἐπιπρὸ
another and quickly on-another rises ever forward
νειόθεν εἰλίγγοισιν ἐπήορος ἐξανιοῦσα·
from-below in-whirls aloft rising
ὣς τότε κεῖνο πέλωρον ἀπειρεσίας ἐλέλιξεν
so then that monster countless rolled
ῥυμβόνας ἀζαλέῃσιν ἐπηρεφέας φολίδεσσιν.
coils with-dry roofed with-scales
τοῖο δ᾽ ἑλισσομένοιο κατ᾽ ὄμματα νίσσετο κούρη,
of-him and coiling before eyes went the-maiden
Ὕπνον ἀοσσητῆρα, θεῶν ὕπατον, καλέουσα
Sleep helper of-gods highest calling
ἡδείῃ ἐνοπῇ, θέλξαι τέρας· αὖε δ᾽ ἄνασσαν
with-sweet voice to-charm the-monster she-cried and the-queen
νυκτιπόλον, χθονίην, εὐαντέα δοῦναι ἐφορμήν.
night-wandering underworld propitious to-give onset
εἵπετο δ᾽ Αἰσονίδης πεφοβημένος, αὐτὰρ ὅγ᾽ ἤδη
followed and son-of-Aeson frightened but he already
οἵμῃ θελγόμενος δολιχὴν ἀνελύετ᾽ ἄκανθαν
by-the-song charmed long relaxed spine
γηγενέος σπείρης, μήκυνε δὲ μυρία κύκλα,
of-earthborn of-coil lengthened and countless circles

οἷον ὅτε βληχροῖσι κυλινδόμενον πελάγεσσιν
as when on-sluggish rolling seas
κῦμα μέλαν κωφόν τε καὶ ἄβρομον· ἀλλὰ καὶ ἔμπης
wave black dumb both and noiseless but even nevertheless
ὑψοῦ σμερδαλέην κεφαλὴν μενέαινεν ἀείρας
high terrible head was-eager raising
ἀμφοτέρους ὀλοῇσι περιπτύξαι γενύεσσιν.
both with-baneful to-enfold with-jaws
ἡ δέ μιν ἀρκεύθοιο νέον τετμηότι θαλλῷ
she and it of-juniper newly cut with-sprig
βάπτουσ᾽ ἐκ κυκεῶνος ἀκήρατα φάρμακ᾽ ἀοιδαῖς,
dipping from potion unmixed drugs with-chants
ῥαῖνε κατ᾽ ὀφθαλμῶν· περί τ᾽ ἀμφί τε νήριτος ὀδμὴ
sprinkled over eyes around both about and countless scent
φαρμάκου ὕπνον ἔβαλλε· γένυν δ᾽ αὐτῇ ἐνὶ χώρῃ
of-drug sleep cast jaw and very in place
θῆκεν ἐρεισάμενος· τὰ δ᾽ ἀπείρονα πολλὸν ὀπίσσω
it-set resting the and countless far behind
κύκλα πολυπρέμνοιο διὲξ ὕλης τετάνυστο.
coils of-many-trunked through wood were-stretched
ἔνθα δ᾽ ὁ μὲν χρύσειον ἀπὸ δρυὸς αἴνυτο κῶας,
there and he indeed golden from oak took fleece
κούρης κεκλομένης· ἡ δ᾽ ἔμπεδον ἑστηυῖα
the-maiden bidding she and steadfastly standing
φαρμάκῳ ἔψηχεν θηρὸς κάρη, εἰσόκε δή μιν
with-drug stroked of-beast head until indeed her
αὐτὸς ἑὴν ἐπὶ νῆα παλιντροπάασθαι Ἰήσων
himself his-own to ship to-turn-back Jason
ἤνωγεν, λεῖπεν δὲ πολύσκιον ἄλσος Ἄρηος.
bade left and much-shaded grove of-Ares

ὡς δὲ σεληναίην διχομήνιδα παρθένος αἴγλην
as and moon at-full maiden gleam
ὑψόθεν ἐξανέχουσαν ὑπωροφίου θαλάμοιο
from-above rising from-under-the-roof chamber
λεπταλέῳ ἑανῷ ὑποΐσχεται· ἐν δέ οἱ ἦτορ
with-fine robe catches in and her heart
χαίρει δερκομένης καλὸν σέλας· ὣς τότ᾽ Ἰήσων
rejoices seeing fair light so then Jason
γηθόσυνος μέγα κῶας ἑαῖς ἐναείρατο χερσίν·
rejoicing great fleece in-his lifted hands
καί οἱ ἐπὶ ξανθῇσι παρηίσιν ἠδὲ μετώπῳ
and to-him on golden cheeks and forehead
μαρμαρυγῇ ληνέων φλογὶ εἴκελον ἷζεν ἔρευθος.
from-the-flashing of-the-wool to-flame like settled redness
ὅσση δὲ ῥινὸς βοὸς ἤνιος ἢ ἐλάφοιο
as-great and hide of-ox yearling or of-deer
γίγνεται, ἥν τ᾽ ἀγρῶσται ἀχαινέην καλέουσιν,
is which — hunters brocket call
τόσσον ἔην πάντῃ χρύσεον ἐφύπερθεν ἄωτον.
so-great was everywhere golden above the-fleece
βεβρίθει λήνεσσιν ἐπηρεφές· ἤλιθα δὲ χθὼν
it-was-heavy with-wool thickly-covered utterly and ground
αἰὲν ὑποπρὸ ποδῶν ἀμαρύσσετο νισσομένοιο.
ever before feet flashed of-him-going

ἤιε δ' ἄλλοτε μὲν λαιῷ ἐπιειμένος ὤμῳ
he-went and at-one-time indeed on-left clad on-shoulder
αὐχένος ἐξ ὑπάτοιο ποδηνεκές, ἄλλοτε δ' αὖτε
neck from top reaching-the-feet at-another and in-turn
εἴλει ἀφασσόμενος· περὶ γὰρ δίεν, ὄφρα ἓ μή τις
he-rolled-it stroking greatly for he-feared so-that it not anyone
ἀνδρῶν ἠὲ θεῶν νοσφίσσεται ἀντιβολήσας.
of-men or of-gods should-take-away meeting

IV.2 · THE COLCHIANS PURSUE

Jason covers the fleece with a cloak, seats Medea in the stern, and speaks to his crew, and they row hard away. Aeetes and the Colchians rush to the shore in fury, and Aeetes threatens his people with death unless they bring back his daughter. The Colchians sail in pursuit. The heroes put in at Paphlagonia and sacrifice to Hecate, and Argus tells them of a route by the river Ister, recorded on the tablets kept at Aea by the descendants of the men a conqueror of old led out of Egypt, and a streak of heavenly light confirms the course.

Ἠὼς μέν ῥ' ἐπὶ γαῖαν ἐκίδνατο, τοὶ δ' ἐς ὅμιλον
Dawn indeed then over earth spread they and to throng
ἶξον· θάμβησαν δὲ νέοι μέγα κῶας ἰδόντες
came marveled and the-youths great fleece seeing
λαμπόμενον στεροπῇ ἴκελον Διός. ὦρτο δ' ἕκαστος
shining to-lightning like of-Zeus rose and each
ψαῦσαι ἐελδόμενος δέχθαι τ' ἐνὶ χερσὶν ἑῇσιν.
to-touch longing to-receive and in hands his-own

Αἰσονίδης δ᾽ ἄλλους μὲν ἐρήτυε, τῷ δ᾽ ἐπὶ φᾶρος
son-of-Aeson and others indeed held-back it and over cloak
κάββαλε νηγάτεον· πρύμνῃ δ᾽ ἐνεείσατο κούρην
threw new-made in-stern and seated the-maiden
ἀνθέμενος, καὶ τοῖον ἔπος μετὰ πᾶσιν ἔειπεν·
having-placed and such word among all spoke
"Μηκέτι νῦν χάζεσθε, φίλοι, πάτρηνδε νέεσθαι.
No-longer now shrink friends to-the-fatherland to-go
ἤδη γὰρ χρειώ, τῆς εἵνεκα τήνδ᾽ ἀλεγεινὴν
already for the-need for-whose sake this grievous
ναυτιλίην ἔτλημεν ὀιζύι μοχθίζοντες,
voyage we-endured with-woe toiling
εὐπαλέως κούρης ὑπὸ δήνεσι κεκράανται.
easily of-the-maiden by the-counsels is-accomplished
τὴν μὲν ἐγὼν ἐθέλουσαν ἀνάξομαι οἴκαδ᾽ ἄκοιτιν
her indeed I willing will-bring home wife
κουριδίην· ἀτὰρ ὔμμες Ἀχαιΐδος οἷά τε πάσης
wedded but you of-Achaean as — of-all
αὐτῶν θ᾽ ὑμείων ἐσθλὴν ἐπαρωγὸν ἐοῦσαν
yourselves and of-you noble helper being
σώετε. δὴ γάρ που, μάλ᾽ ὀίομαι, εἶσιν ἐρύξων
save indeed for surely very I-think he-comes to-be-going-to-prevent
Αἰήτης ὁμάδῳ πόντονδ᾽ ἴμεν ἐκ ποταμοῖο.
Aeetes with-throng to-the-sea to-go from river
ἀλλ᾽ οἱ μὲν διὰ νηός, ἀμοιβαδὶς ἀνέρος ἀνὴρ
but some indeed through ship in-turn after-man man
ἑζόμενος, πηδοῖσιν ἐρέσσετε· τοὶ δὲ βοείας
sitting with-the-oars row others and of-oxhide
ἀσπίδας ἡμίσεες, δῄων θοὸν ἔχμα βολάων,
shields half of-the-foes swift defense of-missiles

προσχόμενοι νόστῳ ἐπαμύνετε. νῦν δ' ἐνὶ χερσὶν
holding-before at-return help now and in hands
παῖδας ἑοὺς πάτρην τε φίλην, γεραρούς τε τοκῆας
children our fatherland both dear aged and parents
ἴσχομεν· ἡμετέρῃ δ' ἐπερείδεται Ἕλλὰς ἐφορμῇ,
we-hold on-our and leans Hellas onset
ἠὲ κατηφείην, ἢ καὶ μέγα κῦδος ἀρέσθαι."
either despondency or also great glory to-win
Ὣς φάτο, δῦνε δὲ τεύχε' ἀρήια· τοὶ δ' ἰάχησαν
So he-spoke put-on and arms warlike they and shouted
θεσπέσιον μεμαῶτες. ὁ δὲ ξίφος ἐκ κολεοῖο
wondrously eager he and sword from scabbard
σπασσάμενος πρυμναῖα νεὼς ἀπὸ πείσματ' ἔκοψεν.
having-drawn of-the-stern of-ship from cables cut
ἄγχι δὲ παρθενικῆς κεκορυθμένος ἰθυντῆρι
near and the-maiden armed by-the-steersman
Ἀγκαίῳ παρέβασκεν· ἐπείγετο δ' εἰρεσίῃ νηῦς
Ancaeus he-stood-beside hastened and by-rowing ship
σπερχομένων ἄμοτον ποταμοῦ ἄφαρ ἐκτὸς ἐλάσσαι.
of-them-hurrying unceasingly of-river at-once out to-drive
Ἤδη δ' Αἰήτῃ ὑπερήνορι πᾶσί τε Κόλχοις
Already and to-Aeetes overweening all and Colchians
Μηδείης περίπυστος ἔρως καὶ ἔργ' ἐτέτυκτο.
of-Medea well-known love and deeds was-made
ἐς δ' ἀγορὴν ἀγέροντ' ἐνὶ τεύχεσιν· ὅσσα δὲ πόντου
into and assembly gathered in arms as-many-as and of-sea
κύματα χειμερίοιο κορύσσεται ἐξ ἀνέμοιο,
waves stormy rear from wind

ἢ ὅσα φύλλα χαμᾶζε περικλαδέος πέσεν ὕλης
or as-many leaves to-the-ground of-many-branched fall of-wood
φυλλοχόῳ ἐνὶ μηνί — τίς ἂν τάδε τεκμήραιτο; —
leaf-shedding in month who — these could-reckon
ὣς οἱ ἀπειρέσιοι ποταμοῦ παρεμέτρεον ὄχθας,
so they countless of-river passed banks
κλαγγῇ μαιμώοντες· ὁ δ' εὐτύκτῳ ἐνὶ δίφρῳ
with-clamor raging he and well-built in chariot
Αἰήτης ἵπποισι μετέπρεπεν, οὕς οἱ ὄπασσεν
Aeetes with-horses was-conspicuous which to-him gave
Ἠέλιος, πνοιῇσιν ἐειδομένους ἀνέμοιο,
Helios to-blasts like of-wind
σκαιῇ μέν ῥ' ἐνὶ χειρὶ σάκος δινωτὸν ἀείρων,
left indeed then in hand shield round raising
τῇ δ' ἑτέρῃ πεύκην περιμήκεα· πὰρ δέ οἱ ἔγχος
in-the and other pine very-long beside and him spear
ἀντικρὺ τετάνυστο πελώριον. ἡνία δ' ἵππων
opposite was-stretched huge reins and of-horses
γέντο χεροῖν Ἄψυρτος. ὑπεκπρὸ δὲ πόντον ἔταμνεν
grasped with-hands Apsyrtus far-ahead and sea cleaved
νηῦς ἤδη κρατεροῖσιν ἐπειγομένη ἐρέτῃσιν,
ship already by-strong pressed rowers
καὶ μεγάλου ποταμοῖο καταβλώσκοντι ῥεέθρῳ.
and of-great river by-descending by-stream
αὐτὰρ ἄναξ ἄτῃ πολυπήμονι χεῖρας ἀείρας
but the-king in-ruin much-afflicting hands raising
Ἠέλιον καὶ Ζῆνα κακῶν ἐπιμάρτυρας ἔργων
Helios and Zeus of-evil witnesses of-deeds
κέκλετο· δεινὰ δὲ παντὶ παρασχεδὸν ἤπυε λαῷ,
called terribly and to-all at-once shouted people

εἰ μή οἱ κούρην αὐτάγρετον, ἢ ἀνὰ γαῖαν,
if not to-him the-maiden self-seized either on land
ἢ πλωτῆς εὑρόντες ἔτ' εἰν ἁλὸς οἴδματι νῆα,
or of-floating having-found still in of-sea swell ship
ἄξουσιν, καὶ θυμὸν ἐνιπλήσει μενεαίνων
they-bring and heart he-shall-fill raging
τίσασθαι τάδε πάντα, δαήσονται κεφαλῇσιν
to-avenge these all they-shall-learn on-heads
πάντα χόλον καὶ πᾶσαν ἑὴν ὑποδέγμενοι ἄτην.
all wrath and all his-own receiving ruin
Ὣς ἔφατ' Αἰήτης· αὐτῷ δ' ἐνὶ ἤματι Κόλχοι
So spoke Aeetes same and on day Colchians
νῆάς τ' εἰρύσσαντο, καὶ ἄρμενα νηυσὶ βάλοντο,
ships both drew-down and tackle in-ships cast
αὐτῷ δ' ἤματι πόντον ἀνήιον· οὐδέ κε φαίης
on-same and day to-the-sea went-up nor — would-you-say
τόσσον νηίτην στόλον ἔμμεναι, ἀλλ' οἰωνῶν
so-great naval host to-be but of-birds
ἰλαδὸν ἄσπετον ἔθνος ἐπιβρομέειν πελάγεσσιν.
in-flocks boundless tribe to-roar-over seas
Οἱ δ' ἀνέμου λαιψηρὰ θεᾶς βουλῇσιν ἀέντος
They and wind swift of-goddess by-the-counsels blowing
Ἥρης, ὄφρ' ὤκιστα κακὸν Πελίαο δόμοισιν
of-Hera so-that most-quickly evil for-Pelias to-the-house
Αἰαίη Μήδεια Πελασγίδα γαῖαν ἵκηται,
Aeaean Medea Pelasgian land might-reach
ἠοῖ ἐνὶ τριτάτῃ πρυμνήσια νηὸς ἔδησαν
dawn on third stern-cables of-ship bound
Παφλαγόνων ἀκτῇσι, πάροιθ' Ἅλυος ποταμοῖο.
of-Paphlagonians at-shores before of-Halys river

ἡ γάρ σφ᾽ ἐξαποβάντας ἀρέσσασθαι θυέεσσιν
she for them having-landed to-appease with-sacrifices
ἠνώγει Ἑκάτην. καὶ δὴ τὰ μέν, ὅσσα θυηλὴν
bade Hecate and indeed the indeed as-many-as sacrifice
κούρη πορσανέουσα τιτύσκετο, μήτε τις ἴστωρ
the-maiden preparing performed neither anyone knowing
εἴη, μήτ᾽ ἐμὲ θυμὸς ἐποτρύνειεν ἀείδειν.
may-be nor me heart may-urge to-sing
ἄζομαι αὐδῆσαι· τό γε μὴν ἔδος ἐξέτι κείνου,
I-dread to-tell it indeed truly the-seat since that-time
ὅ ῥα θεᾷ ἥρωες ἐπὶ ῥηγμῖσιν ἔδειμαν,
which then to-the-goddess heroes on surfs built
ἀνδράσιν ὀψιγόνοισι μένει καὶ τῆμος ἰδέσθαι.
to-men later-born remains even then to-see
Αὐτίκα δ᾽ Αἰσονίδης ἐμνήσατο, σὺν δὲ καὶ ὧλλοι
At-once and son-of-Aeson remembered with and also others
ἥρωες, Φινῆος, ὃ δὴ πλόον ἄλλον ἔειπεν
heroes of-Phineus how indeed voyage other told
ἐξ Αἴης ἔσσεσθαι· ἀνώιστος δ᾽ ἐτέτυκτο
from Aea to-be-going-to-be unforeseen and was
πᾶσιν ὁμῶς. Ἄργος δὲ λιλαιομένοις ἀγόρευσεν·
to-all alike Argus and to-the-eager spoke
“Νισσόμεθ᾽ Ὀρχομενὸν τὴν ἔχραεν ὔμμι περῆσαι
We-go to-Orchomenus which declared to-you to-pass
νημερτὴς ὅδε μάντις, ὅτῳ ξυνέβητε πάροιθεν.
truthful this seer whom you-met before
ἔστιν γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες
is for voyage other which of-immortals priests
πέφραδον, οἳ Θήβης Τριτωνίδος ἐκγεγάασιν.
declared who of-Thebe Tritonian are-born

οὔπω τείρεα πάντα, τά τ᾽ οὐρανῷ εἰλίσσονται,
not-yet stars all which — in-heaven wheel
οὐδέ τί πω Δαναῶν ἱερὸν γένος ἦεν ἀκοῦσαι
nor any yet of-Danaans holy race was to-hear
πευθομένοις· οἷοι δ᾽ ἔσαν Ἀρκάδες Ἀπιδανῆες,
to-inquirers alone and were Arcadians Apidanean
Ἀρκάδες, οἳ καὶ πρόσθε σεληναίης ὑδέονται
Arcadians who also before the-moon are-said
ζώειν, φηγὸν ἔδοντες ἐν οὔρεσιν· οὐδὲ Πελασγὶς
to-live acorns eating in mountains nor Pelasgian
χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο Δευκαλίδῃσιν,
land then by-glorious was-ruled sons-of-Deucalion
ἦμος ὅτ᾽ Ἠερίη πολυλήιος ἐκλήιστο,
when when Eeria rich-in-corn was-called
μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν,
mother Egypt of-earlier-born men
καὶ ποταμὸς Τρίτων ἠύρροος, ᾧ ὕπο πᾶσα
and river Triton fair-flowing which by all
ἄρδεται Ἠερίη· Διόθεν δέ μιν οὔποτε δεύει
is-watered Eeria from-Zeus and it never wets
ὄμβρος· ἅλις προχοῇσι δ᾽ ἀνασταχύουσιν ἄρουραι.
rain enough by-floods and spring-up fields
ἔνθεν δή τινά φασι πέριξ διὰ πᾶσαν ὁδεῦσαι
thence indeed some they-say around through all to-have-traveled
Εὐρώπην Ἀσίην τε βίῃ καὶ κάρτεϊ λαῶν
Europe Asia both by-force and strength of-peoples
σφωιτέρων θάρσει τε πεποιθότα· μυρία δ᾽ ἄστη
of-his-own in-courage and trusting countless and towns
νάσσατ᾽ ἐποιχόμενος, τὰ μὲν ἤ ποθι ναιετάουσιν,
founded visiting these indeed either somewhere are-inhabited

ἠὲ καὶ οὔ· πουλὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών.
or also not much for fully has-passed age
Αἰαίη γε μὴν ἔτι νῦν μένει ἔμπεδον υἱωνοί τε
Aea indeed truly still now remains steadfast grandsons and
τῶνδ' ἀνδρῶν, οὓς ὅσγε καθίσσατο ναιέμεν Αἶαν,
of-these men whom he settled to-dwell-in Aea
οἳ δή τοι γραπτῆς πατέρων ἔθεν εἰρύονται,
who indeed you-know writings of-fathers their guard
κύρβιας, οἷς ἔνι πᾶσαι ὁδοὶ καὶ πείρατ' ἔασιν
tablets which on all roads and limits are
ὑγρῆς τε τραφερῆς τε πέριξ ἐπινισσομένοισιν.
of-wet both of-dry and around for-the-going-about
ἔστι δέ τις ποταμός, ὕπατον κέρας Ὠκεανοῖο,
there-is and a river farthest horn of-Ocean
εὐρύς τε προβαθής τε καὶ ὁλκάδι νηὶ περῆσαι·
broad both very-deep and even for-merchant ship to-cross
Ἴστρον μιν καλέοντες ἑκὰς διετεκμήραντο·
Ister it calling far they-marked-out
ὃς δή τοι τείως μὲν ἀπείρονα τέμνετ' ἄρουραν
which indeed you-know for-a-time indeed boundless cleaves field
εἷς οἷος· πηγαὶ γὰρ ὑπὲρ πνοιῆς βορέαο
one alone springs for beyond blasts of-north-wind
Ῥιπαίοις ἐν ὄρεσσιν ἀπόπροθι μορμύρουσιν.
Rhipaean in mountains far-off roar
ἀλλ' ὁπόταν Θρῃκῶν Σκυθέων τ' ἐπιβήσεται οὔρους,
but whenever of-Thracians of-Scythians and it-enters bounds

ἔνθα διχῆ τὸ μὲν ἔνθα μετ' †Ἰονίην† ἅλα βάλλει
there in-two the indeed here into (corrupt)-Ionian sea casts
τῇδ' ὕδωρ, τὸ δ' ὄπισθε βαθὺν διὰ κόλπον ἵησιν
there water the and behind deep through gulf sends
σχιζόμενος πόντου Τρινακρίου εἰσανέχοντα,
splitting of-sea Trinacrian rising
γαίῃ ὃς ὑμετέρῃ παρακέκλιται, εἰ ἐτεὸν δὴ
to-land which to-your lies-along if truly indeed
ὑμετέρης γαίης Ἀχελώιος ἐξανίησιν."
from-your land Achelous goes-forth
Ὣς ἄρ' ἔφη· τοῖσιν δὲ θεὰ τέρας ἐγγυάλιξεν
So then he-spoke to-them and goddess portent gave
αἴσιον, ᾧ καὶ πάντες ἐπευφήμησαν ἰδόντες,
auspicious at-which also all applauded seeing
στέλλεσθαι τήνδ' οἶμον. ἐπιπρὸ γὰρ ὁλκὸς ἐτύχθη
to-set-out this way forward for track was-made
οὐρανίης ἀκτῖνος, ὅπῃ καὶ ἀμεύσιμον ἦεν.
heavenly of-ray where also passable was
γηθόσυνοι δὲ Λύκοιο καταυτόθι παῖδα λιπόντες
glad and of-Lycus right-there son having-left
λαίφεσι πεπταμένοισιν ὑπεὶρ ἅλα ναυτίλλοντο,
with-sails spread over sea sailed
οὔρεα Παφλαγόνων θηεύμενοι. οὐδὲ Κάραμβιν
mountains of-Paphlagonians beholding nor Carambis
γνάμψαν, ἐπεὶ πνοιαί τε καὶ οὐρανίου πυρὸς αἴγλη
they-rounded since breezes both and of-heavenly fire gleam
μεῖνεν, ἕως Ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο.
stayed until of-Ister great stream they-reached

The Colchians, led by Apsyrtus, come out into the Cronian sea ahead of them and cut off every passage, while the heroes land on one of the two Brygean islands of Artemis and agree with the Colchians to keep the fleece and to leave Medea in the keeping of Artemis' temple until a king judges her case. Medea reproaches Jason bitterly, and Jason answers that he seeks only to delay. They plot to lure Apsyrtus to a meeting at the temple of Artemis, where Jason kills him.

Κόλχοι δ' αὖτ' ἄλλοι μέν, ἐτώσια μαστεύοντες,
Colchians and in-turn some indeed vainly searching
Κυανέας Πόντοιο διὲκ πέτρας ἐπέρησαν·
Cyanean of-Pontus through rocks passed
ἄλλοι δ' αὖ ποταμὸν μετεκίαθον, οἷσιν ἄνασσεν
others and in-turn river went-to over-whom ruled
Ἄψυρτος, Καλὸν δὲ διὰ στόμα πεῖρε λιασθείς.
Apsyrtus Fair and through mouth passed having-turned-aside
τῶ καὶ ὑπέφθη τούσγε βαλὼν ὕπερ αὐχένα γαίης
therefore also anticipated them having-cast over neck of-land
κόλπον ἔσω πόντοιο πανέσχατον Ἰονίοιο.
gulf within of-sea farthest of-Ionian
Ἴστρῳ γάρ τις νῆσος ἐέργεται οὔνομα Πεύκη,
by-Ister for a island is-enclosed by-name Peuce
τριγλώχιν, εὖρος μὲν ἐς αἰγιαλοὺς ἀνέχουσα,
three-cornered in-breadth indeed to beaches rising
στεινὸν δ' αὖτ' ἀγκῶνα ποτὶ ῥόον· ἀμφὶ δὲ δοιαὶ
narrow and in-turn elbow toward stream around and two
σχίζονται προχοαί. τὴν μὲν καλέουσι Νάρηκος·
are-split mouths it indeed they-call of-Narex

τὴν δ᾽ ὑπὸ τῇ νεάτῃ, Καλὸν στόμα. τῇ δὲ διαπρὸ
the and under the lowest Fair mouth by-it and right-through
Ἄψυρτος Κόλχοι τε θοώτερον ὡρμήθησαν·
Apsyrtus Colchians and more-swiftly rushed
οἱ δ᾽ ὑψοῦ νήσοιο κατ᾽ ἀκροτάτης ἐνέοντο
they and high of-island along topmost went
τηλόθεν. εἰαμενῇσι δ᾽ ἐν ἄσπετα πώεα λεῖπον
far-off meadows and in countless flocks left
ποιμένες ἄγραυλοι νηῶν φόβῳ, οἷά τε θῆρας
shepherds of-the-field of-ships for-fear as — beasts
ὀσσόμενοι πόντου μεγακήτεος ἐξανιόντας.
seeing from-sea monster-teeming coming-up
οὐ γάρ πω ἁλίας γε πάρος ποθὶ νῆας ἴδοντο,
not for yet seafaring indeed before anywhere ships they-had-seen
οὔτ᾽ οὖν Θρήιξιν μιγάδες Σκύθαι, οὐδὲ Σίγυννοι,
neither then with-Thracians mixed Scythians nor Sigynni
οὔτ᾽ οὖν Γραυκένιοι, οὔθ᾽ οἱ περὶ Λαύριον ἤδη
neither then Graucenii nor the-ones about Laurium now
Σίνδοι ἐρημαῖον πεδίον μέγα ναιετάοντες.
Sindi lonely plain great inhabiting
αὐτὰρ ἐπεί τ᾽ Ἄγγουρον ὄρος, καὶ ἄπωθεν ἐόντα
but when — Angurus mountain and far-off being
Ἀγγούρου ὄρεος σκόπελον πάρα Καυλιακοῖο,
of-Angurus of-mountain rock past Cauliacus
ᾧ πέρι δὴ σχίζων Ἴστρος ῥόον ἔνθα καὶ ἔνθα
which around indeed splitting Ister stream here and there
βάλλει ἁλός, πεδίον τε τὸ Λαύριον ἠμείψαντο,
casts into-sea plain and the Laurian they-passed

δή ῥα τότε Κρονίην Κόλχοι ἅλαδ' ἐκπρομολόντες
indeed then then Cronian Colchians to-sea having-come-out
πάντῃ, μή σφε λάθοιεν, ὑπετμήξαντο κελεύθους.
everywhere lest them they-escape cut-off paths
οἱ δ' ὄπιθεν ποταμοῖο κατήλυθον, ἐκ δ' ἐπέρησαν
they and behind of-river came-down out and they-passed
δοιὰς Ἀρτέμιδος Βρυγηίδας ἀγχόθι νήσους. 330
two of-Artemis Brygean near islands
τῶν δ' ἤτοι ἑτέρῃ μὲν ἐν ἱερὸν ἔσκεν ἔδεθλον·
of-them and truly one indeed in sacred was temple
ἐν δ' ἑτέρῃ, πληθὺν πεφυλαγμένοι Ἀψύρτοιο,
in and the-other the-throng guarding-against of-Apsyrtus
βαῖνον· ἐπεὶ κείνας πολέων λίπον ἔνδοθι νήσους
they-landed since those of-many they-left within islands
αὔτως, ἁζόμενοι κούρην Διός· αἱ δὲ δὴ ἄλλαι
just-so revering the-maiden of-Zeus they and indeed others
στεινόμεναι Κόλχοισι πόρους εἴρυντο θαλάσσης. 335
crowded with-Colchians the-passages guarded of-the-sea
ὣς δὲ καὶ εἰς ἀκτὰς πληθὺν λίπεν †ἀγχόθι νήσους†
so and also on shores multitude he-left (corrupt)-near islands(corrupt)
μέσφα Σαλαγγῶνος ποταμοῦ καὶ Νέστιδος αἴης.
as-far-as of-Salangon river and of-Nestian land
Ἔνθα κε λευγαλέῃ Μινύαι τότε δηιοτῆτι
There — in-grievous Minyae then in-battle
παυρότεροι πλεόνεσσιν ὑπείκαθον· ἀλλὰ πάροιθεν
fewer to-more would-have-yielded but before
συνθεσίην, μέγα νεῖκος ἀλευάμενοι, ἐτάμοντο, 340
compact great strife avoiding they-struck

κῶας μὲν χρύσειον, ἐπεί σφισιν αὐτὸς ὑπέστη
fleece indeed golden since to-them himself promised
Αἰήτης, εἰ κεῖνοι ἀναπλήσειαν ἀέθλους,
Aeetes if they should-fulfill the-labors
ἔμπεδον εὐδικίῃ σφέας ἐξέμεν, εἴτε δόλοισιν,
steadfastly by-justice them to-be-going-to-keep whether by-wiles
εἴτε καὶ ἀμφαδίην αὔτως ἀέκοντος ἀπηύρων·
or also openly just-so of-the-unwilling they-had-taken-away
αὐτὰρ Μήδειάν γε — τὸ γὰρ πέλεν ἀμφήριστον —
but Medea indeed this for was disputed
παρθέσθαι κούρῃ Λητωίδι νόσφιν ὁμίλου,
to-entrust to-the-maiden daughter-of-Leto apart-from the-throng
εἰσόκε τις δικάσῃσι θεμιστούχων βασιλήων,
until some should-judge of-law-guarding of-kings
εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν,
whether her to of-father necessity house again to-go
εἴτε μεθ' Ἑλλάδα γαῖαν ἀριστήεσσιν ἕπεσθαι.
or to Hellas land with-the-chieftains to-follow
Ἔνθα δ' ἐπὶ τὰ ἕκαστα νόῳ πεμπάσσατο κούρη,
There and when the each-thing in-mind pondered the-maiden
δή ῥά μιν ὀξεῖαι κραδίην ἐλέλιξαν ἀνῖαι
indeed then her sharp heart shook sorrows
νωλεμές· αἶψα δὲ νόσφιν Ἰήσονα μοῦνον ἑταίρων
unceasingly quickly and apart Jason alone of-comrades
ἐκπροκαλεσσαμένη ἄγεν ἄλλυδις, ὄφρ' ἐλίασθεν
having-called-forth led elsewhere until they-withdrew
πολλὸν ἑκάς, στονόεντα δ' ἐνωπαδὶς ἔκφατο μῦθον·
much far grievous and face-to-face spoke word

"Αἰσονίδη, τίνα τήνδε συναρτύνασθε μενοινὴν
Son-of-Aeson what this have-you-contrived purpose
ἀμφ' ἐμοί; ἦέ σε πάγχυ λαθιφροσύναις ἐνέηκαν
about me or you wholly into-forgetfulness cast
ἀγλαΐαι, τῶν δ' οὔτι μετατρέπῃ, ὅσσ' ἀγόρευες
successes of-them and not-at-all you-heed as-much-as you-said
χρειοῖ ἐνισχόμενος; ποῦ τοι Διὸς Ἱκεσίοιο
by-necessity held where to-you of-Zeus of-Suppliants
ὅρκια, ποῦ δὲ μελιχραὶ ὑποσχεσίαι βεβάασιν;
oaths where and honeyed promises have-gone
ἧς ἐγὼ οὐ κατὰ κόσμον ἀναιδήτῳ ἰότητι
by-which I not in order with-shameless with-will
πάτρην τε κλέα τε μεγάρων αὐτούς τε τοκῆας
fatherland both glories and of-halls themselves and parents
νοσφισάμην, τά μοι ἦεν ὑπέρτατα· τηλόθι δ' οἴῃ
forsook which to-me were highest far and alone
λυγρῇσιν κατὰ πόντον ἅμ' ἀλκυόνεσσι φορεῦμαι
mournful over sea with halcyons am-borne
σῶν ἕνεκεν καμάτων, ἵνα μοι σόος ἀμφί τε βουσὶν
your for-the-sake of-toils so-that for-me safe around both oxen
ἀμφί τε γηγενέεσσιν ἀναπλήσειας ἀέθλους.
around and earthborn you-might-fulfill contests
ὕστατον αὖ καὶ κῶας, ἐπεί τ' ἐπαϊστὸν ἐτύχθη,
last in-turn also fleece when — known it-became
εἵλες ἐμῇ ματίῃ· κατὰ δ' οὐλοὸν αἶσχος ἔχευα
you-took by-my by-folly down and baneful shame I-poured
θηλυτέραις. τῶ φημὶ τεὴ κούρη τε δάμαρ τε
on-women therefore I-say your daughter both wife and
αὐτοκασιγνήτη τε μεθ' Ἑλλάδα γαῖαν ἕπεσθαι.
own-sister and to Hellas land to-follow

πάντῃ νυν πρόφρων ὑπερίστασο, μηδέ με μούνην
everywhere now gladly stand-by-me nor me alone
σεῖο λίπῃς ἀπάνευθεν, ἐποιχόμενος βασιλῆας.
of-you leave apart going-to kings
ἀλλ᾽ αὔτως εἴρυσο· δίκη δέ τοι ἔμπεδος ἔστω
but just-so protect justice and to-you steadfast let-be
καὶ θέμις, ἣν ἄμφω συναρέσσαμεν· ἢ σύγ᾽ ἔπειτα
and right which both we-agreed or you then
φασγάνῳ αὐτίκα τόνδε μέσον διὰ λαιμὸν ἀμῆσαι,
with-sword at-once this middle through throat cut
ὄφρ᾽ ἐπίηρα φέρωμαι ἐοικότα μαργοσύνῃσιν.
so-that wages I-may-win fitting for-my-madness
σχετλίη, εἴ κεν δή με κασιγνήτοιο δικάσσῃ
wretched if — indeed me of-the-brother should-judge
ἔμμεναι οὗτος ἄναξ, τῷ ἐπίσχετε τάσδ᾽ ἀλεγεινὰς
to-be this king to-whom you-entrust these grievous
ἄμφω συνθεσίας. πῶς ἴξομαι ὄμματα πατρός;
both compacts how shall-I-come-to the-eyes of-father
ἦ μάλ᾽ ἐυκλειής; τίνα δ᾽ οὐ τίσιν, ἠὲ βαρεῖαν
truly very famous what and not punishment or heavy
ἄτην οὐ σμυγερῶς δεινῶν ὕπερ, οἷα ἔοργα,
ruin not grievously dread-things for such-as I-did
ὀτλήσω; σὺ δέ κεν θυμηδέα νόστον ἕλοιο;
I-shall-suffer you and — heart-pleasing return would-win
μὴ τόγε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις,
not this all-queen of-Zeus may-accomplish wife
ᾗ ἐπικυδιάεις. μνήσαιο δὲ καί ποτ᾽ ἐμεῖο,
in-whom you-glory may-you-remember and also sometime me

στρευγόμενος καμάτοισι· δέρος δέ τοι ἶσον ὀνείροις
worn-out with-toils fleece and to-you like to-dreams
οἴχοιτ᾽ εἰς ἔρεβος μεταμώνιον. ἐκ δέ σε πάτρης
may-go to darkness vain out and you fatherland
αὐτίκ᾽ ἐμαί σ᾽ ἐλάσειαν Ἐρινύες· οἷα καὶ αὐτὴ
at-once my you may-drive Furies as also myself
σῇ πάθον ἀτροπίῃ. τὰ μὲν οὐ θέμις ἀκράαντα
by-your suffered heartlessness these indeed not right unaccomplished
ἐν γαίῃ πεσέειν. μάλα γὰρ μέγαν ἤλιτες ὅρκον,
on earth to-fall very for great you-sinned oath
νηλεές· ἀλλ᾽ οὔ θήν μοι ἐπιλλίζοντες ὀπίσσω
pitiless but not surely me winking hereafter
δὴν ἔσσεσθ᾽ εὔκηλοι ἕκητί γε συνθεσιάων.” 390
long you-will-be at-ease for-the-sake indeed of-compacts
Ὣς φάτ᾽ ἀναζείουσα βαρὺν χόλον· ἵετο δ᾽ ἥγε
So she-spoke boiling-up heavy wrath longed and she
νῆα καταφλέξαι, διά τ᾽ ἔμπεδα πάντα κεάσσαι,
the-ship to-burn through and solid all to-split
ἐν δὲ πεσεῖν αὐτὴ μαλερῷ πυρί. τοῖα δ᾽ Ἰήσων
in and to-fall herself into-raging fire such and Jason
μειλιχίοις ἐπέεσσιν ὑποδδείσας προσέειπεν·
with-gentle with-words fearing addressed
“ Ἴσχεο, δαιμονίη· τὰ μὲν ἀνδάνει οὐδ᾽ ἐμοὶ αὐτῷ. 395
Hold strange-one these-things indeed please not-even me myself
ἀλλά τιν᾽ ἀμβολίην διζήμεθα δηιοτῆτος,
but some delay we-seek of-battle
ὅσσον δυσμενέων ἀνδρῶν νέφος ἀμφιδέδηεν
so-great of-hostile of-men cloud blazes-around
εἵνεκα σεῦ. πάντες γάρ, ὅσοι χθόνα τήνδε νέμονται,
for-the-sake of-you all for as-many-as land this inhabit

Ἀψύρτῳ μεμάασιν ἀμυνέμεν, ὄφρα σε πατρί,
Apsyrtus are-eager to-help so-that you to-father
οἷά τε λῃσθεῖσαν, ὑπότροπον οἴκαδ' ἄγοιντο.
as — captured back home they-may-bring
αὐτοὶ δὲ στυγερῷ κεν ὀλοίμεθα πάντες ὀλέθρῳ,
ourselves and by-hateful — would-perish all by-destruction
μίξαντες δαΐ χεῖρας· ὅ τοι καὶ ῥίγιον ἄλγος
having-joined in-battle hands which to-you even more-chilling pain
ἔσσεται, εἴ σε θανόντες ἕλωρ κείνοισι λίποιμεν.
will-be if you dying prey to-them we-should-leave
ἥδε δὲ συνθεσίη κρανέει δόλον, ᾧ μιν ἐς ἄτην
this and compact will-accomplish guile by-which him into ruin
βήσομεν. οὐδ' ἂν ὁμῶς περιναιέται ἀντιόωσιν
we-shall-bring nor — alike the-neighbors will-oppose
Κόλχοις ἦρα φέροντες ὑπὲρ σέο νόσφιν ἄνακτος,
to-Colchians favor bringing for you apart-from the-lord
ὅς τοι ἀοσσητήρ τε κασίγνητός τε τέτυκται·
who to-you champion both brother and is
οὐδ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξω μὴ πολεμίζειν
nor — I to-Colchians shall-yield not to-fight
ἀντιβίην, ὅτε μή με διὲξ εἰῶσι νέεσθαι."
face-to-face when not me through they-let to-go
Ἴσκεν ὑποσσαίνων· ἡ δ' οὐλοὸν ἔκφατο μῦθον·
He-spoke fawning she and baneful spoke word
"Φράζεο νῦν. χρειὼ γὰρ ἀεικελίοισιν ἐπ' ἔργοις
Consider now need for unseemly for deeds
καὶ τόδε μητίσασθαι, ἐπεὶ τὸ πρῶτον ἀάσθην
also this to-devise since the first I-erred
ἀμπλακίῃ, θεόθεν δὲ κακὰς ἤνυσσα μενοινάς.
by-sin from-the-gods and evil I-accomplished purposes

τύνη μὲν κατὰ μῶλον ἀλέξεο δούρατα Κόλχων·
you indeed in fray ward-off spears of-Colchians
αὐτὰρ ἐγὼ κεῖνόν γε τεὰς ἐς χεῖρας ἱκέσθαι
but I him indeed your into hands to-come
μειλίξω· σὺ δέ μιν φαιδροῖς ἀγαπάζεο δώροις.
will-coax you and him with-splendid greet with-gifts
εἴ κέν πως κήρυκας ἀπερχομένους πεπίθοιμι
if — somehow heralds departing I-may-persuade
οἰόθεν οἷον ἐμοῖσι συναρθμῆσαι ἐπέεσσιν,
apart alone with-my to-agree words
ἔνθ' εἴ τοι τόδε ἔργον ἐφανδάνει, οὔτι μεγαίρω,
there if to-you this deed pleases not-at-all I-grudge
κτεῖνέ τε, καὶ Κόλχοισιν ἀείρεο δηιοτῆτα."
kill both and with-Colchians raise battle

Ὣς τώγε ξυμβάντε μέγαν δόλον ἠρτύνοντο
So they-two having-agreed great guile prepared
Ἀψύρτῳ, καὶ πολλὰ πόρον ξεινήια δῶρα,
for-Apsyrtus and many gave guest gifts
οἷς μέτα καὶ πέπλον δόσαν ἱερὸν Ὑψιπυλείης
which among also robe gave holy of-Hypsipyle
πορφύρεον. τὸν μέν ῥα Διωνύσῳ κάμον αὐταὶ
purple it indeed then for-Dionysus wrought themselves
δίῃ ἐν ἀμφιάλῳ Χάριτες θεαί· αὐτὰρ ὁ παιδὶ
Dia in sea-girt Graces goddesses but he to-son
δῶκε Θόαντι μεταῦτις· ὁ δ' αὖ λίπεν Ὑψιπυλείῃ·
gave to-Thoas afterward he and in-turn left to-Hypsipyle
ἡ δ' ἔπορ' Αἰσονίδῃ πολέσιν μετὰ καὶ τὸ φέρεσθαι
she and gave to-the-son-of-Aeson many among also it to-be-carried
γλήνεσιν εὐεργὲς ξεινήιον. οὔ μιν ἀφάσσων,
treasures well-wrought guest-gift not it stroking

οὔτε κεν εἰσορόων γλυκὺν ἵμερον ἐμπλήσειας.
nor — gazing sweet desire would-you-fill
τοῦ δὲ καὶ ἀμβροσίη ὀδμὴ πέλεν ἐξέτι κείνου,
of-it and also ambrosial scent was from that-time
ἐξ οὗ ἄναξ αὐτὸς Νυσήιος ἐγκατέλεκτο
since which lord himself Nysean lay-down
ἀκροχάλιξ οἴνῳ καὶ νέκταρι, καλὰ μεμαρπὼς
tipsy with-wine and nectar fair grasping
στήθεα παρθενικῆς Μινωίδος, ἣν ποτε Θησεὺς
breast of-maiden daughter-of-Minos whom once Theseus
Κνωσσόθεν ἑσπομένην Δίῃ ἔνι κάλλιπε νήσῳ.
from-Cnossus following Dia in left island
ἡ δ' ὅτε κηρύκεσσιν ἐπεξυνώσατο μύθους,
she and when to-the-heralds communicated words
θελγέμεν, εὖτ' ἂν πρῶτα θεᾶς περὶ νηὸν ἵκηται
to-charm when — first of-goddess to temple be-comes
συνθεσίῃ, νυκτός τε μέλαν κνέφας ἀμφιβάλῃσιν,
by-compact of-night and black darkness cast-around
ἐλθέμεν, ὄφρα δόλον συμφράσσεται, ὥς κεν ἑλοῦσα
to-come so-that guile she-might-devise how — having-taken
χρύσειον μέγα κῶας ὑπότροπος αὖτις ὀπίσσω
golden great fleece back again behind
βαίη ἐς Αἰήταο δόμους· πέρι γάρ μιν ἀνάγκῃ
she-might-go to of-Aeetes house exceedingly for her by-force
υἱῆες Φρίξοιο δόσαν ξείνοισιν ἄγεσθαι·
sons of-Phrixus gave to-strangers to-be-carried

τοῖα παραιφαμένη θελκτήρια φάρμακ᾽ ἔπασσεν
such beguiling charm drugs she-sprinkled
αἰθέρι καὶ πνοιῇσι, τά κεν καὶ ἄπωθεν ἐόντα
on-air and on-breezes which — even far-off being
ἄγριον ἠλιβάτοιο κατ᾽ οὔρεος ἤγαγε θῆρα.
wild steep from mountain would-have-brought beast
Σχέτλι᾽ Ἔρως, μέγα πῆμα, μέγα στύγος ἀνθρώποισιν,
Cruel Eros great woe great hatred to-men
ἐκ σέθεν οὐλόμεναί τ᾽ ἔριδες στοναχαί τε γόοι τε,
from you baneful and strifes groans and laments and
ἄλγεά τ᾽ ἄλλ᾽ ἐπὶ τοῖσιν ἀπείρονα τετρήχασιν.
pains and other upon these boundless are-stirred
δυσμενέων ἐπὶ παισὶ κορύσσεο, δαῖμον, ἀερθείς,
of-foes against sons arm-yourself deity raised
οἷος Μηδείῃ στυγερὴν φρεσὶν ἔμβαλες ἄτην.
as on-Medea hateful into-heart you-cast ruin
πῶς γὰρ δὴ μετιόντα κακῷ ἐδάμασσεν ὀλέθρῳ
how for indeed coming by-evil she-subdued by-destruction
Ἄψυρτον; τὸ γὰρ ἡμιν ἐπισχερὼ ἦεν ἀοιδῆς.
Apsyrtus that for for-us next was of-song
Ἧμος ὅτ᾽ Ἀρτέμιδος νήσῳ ἔνι τήνγ᾽ ἐλίποντο
When when of-Artemis island in her they-left
συνθεσίῃ, τοὶ μέν ῥα διάνδιχα νηυσὶν ἔκελσαν
by-compact they indeed then separately in-ships put-in
σφωιτέραις κρινθέντες· ὁ δ᾽ ἐς λόχον ἦεν Ἰήσων
their-own separated he and to ambush went Jason
δέγμενος Ἄψυρτόν τε καὶ οὓς ἐξαῦτις ἑταίρους.
awaiting Apsyrtus both and his again comrades

αὐτὰρ ὅγ' αἰνοτάτῃσιν ὑποσχεσίῃσι δολωθεὶς
but he by-most-dread by-promises beguiled
καρπαλίμως ἦ νηὶ διὲξ ἁλὸς οἶδμα περήσας,
swiftly in-his-own ship through of-sea swell having-crossed
νύχθ' ὕπο λυγαίην ἱερῆς ἐπεβήσατο νήσου·
night under dark holy set-foot-on island
οἰόθι δ' ἀντικρὺ μετιὼν πειρήσατο μύθοις
alone and face-to-face going tried with-words
460 εἶο κασιγνήτης, ἀταλὸς πάις οἷα χαράδρης
his sister tender child like torrent
χειμερίης, ἣν οὐδὲ δι' αἰζηοὶ περόωσιν,
wintry which not-even through young-men cross
εἴ κε δόλον ξείνοισιν ἐπ' ἀνδράσι τεχνήσαιτο.
if — guile strangers against men she-might-devise
καὶ τὼ μὲν τὰ ἕκαστα συνήνεον ἀλλήλοισιν·
and they-two indeed the each-thing agreed with-one-another
αὐτίκα δ' Αἰσονίδης πυκινοῦ ἐξᾶλτο λόχοιο,
at-once and son-of-Aeson from-thick leapt-out ambush
465 γυμνὸν ἀνασχόμενος παλάμῃ ξίφος· αἶψα δὲ κούρη
naked raising in-hand sword quickly and the-maiden
ἔμπαλιν ὄμματ' ἔνεικε, καλυψαμένη ὀθόνῃσιν,
back eyes turned having-veiled-herself with-linen
μὴ φόνον ἀθρήσειε κασιγνήτοιο τυπέντος.
lest murder she-should-see of-brother struck
τὸν δ' ὅγε, βουτύπος ὥστε μέγαν κεραλκέα ταῦρον,
him and he ox-slayer like great strong-horned bull
πλῆξεν ὀπιπτεύσας νηοῦ σχεδόν, ὅν ποτ' ἔδειμαν
struck having-watched-for temple near which once built
470 Ἀρτέμιδι Βρυγοὶ περιναιέται ἀντιπέρηθεν.
for-Artemis Brygians the-dwellers-around opposite

τοῦ ὅγ᾽ ἐνὶ προδόμῳ γνὺξ ἤριπε· λοίσθια δ᾽ ἥρως
of-it he in porch on-knees fell last and the-hero
θυμὸν ἀναπνείων χερσὶν μέλαν ἀμφοτέρῃσιν
breath breathing-out with-hands dark with-both
αἷμα κατ᾽ ὠτειλὴν ὑποΐσχετο· τῆς δὲ καλύπτρην
blood at wound caught-up her and veil
ἀργυφέην καὶ πέπλον ἀλευομένης ἐρύθηνεν.
silvery and robe as-she-shrank reddened
ὀξὺ δὲ πανδαμάτωρ λοξῷ ἴδεν οἷον ἔρεξαν
sharply and all-subduing askance saw what they-did
ὄμματι νηλειὴς ὀλοφώιον ἔργον Ἐρινύς.
with-eye pitiless baneful deed Fury
ἥρως δ᾽ Αἰσονίδης ἐξάργματα τάμνε θανόντος,
hero and son-of-Aeson the-extremities cut of-the-dead
τρὶς δ᾽ ἀπέλειξε φόνου, τρὶς δ᾽ ἐξ ἄγος ἔπτυσ᾽ ὀδόντων,
thrice and licked-up of-gore thrice and from pollution spat teeth
ἢ θέμις αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι.
as right for-murderers treacherous-slayings to-atone
ὑγρὸν δ᾽ ἐν γαίῃ κρύψεν νέκυν, ἔνθ᾽ ἔτι νῦν περ
moist and in earth hid corpse where still now indeed
κείαται ὀστέα κεῖνα μετ᾽ ἀνδράσιν Ἀψυρτεῦσιν.
lie bones those among men Apsyrtians

The heroes fall on the crew of Apsyrtus' ship and kill every man, and Peleus advises them to row off by night. The Colchians, fearing Aeetes, settle in various places rather than go home. The heroes sail on and come to the Hylleans, who guide them on their way for the gift of one of Apollo's tripods; Hyllus, son of Heracles and Melite, is no longer living, killed by the Mentores.

Οἱ δ' ἅμυδις πυρσοῖο σέλας προπάροιθεν ἰδόντες,
They and together of-torch gleam before seeing
τό σφιν παρθενικὴ τέκμαρ μετιοῦσιν ἄειρεν,
which for-them the-maiden as-sign for-the-coming raised
Κολχίδος ἀγχόθι νηὸς ἑὴν παρὰ νῆα βάλοντο
Colchian near ship their-own beside ship brought
ἥρωες· Κόλχον δ' ὄλεκον στόλον, ἠύτε κίρκοι
heroes Colchian and destroyed band as hawks
φῦλα πελειάων, ἠὲ μέγα πῶυ λέοντες
tribes of-doves or great flock lions
ἀγρότεροι κλονέουσιν ἐνὶ σταθμοῖσι θορόντες.
wild drive in folds having-leapt
οὐδ' ἄρα τις κείνων θάνατον φύγε, πάντα δ' ὅμιλον
nor then any of-them death escaped all and throng
πῦρ ἅ τε δηιόωντες ἐπέδραμον· ὀψὲ δ' Ἰήσων
fire as — ravaging they-ran-through late and Jason
ἤντησεν, μεμαὼς ἐπαμυνέμεν οὐ μάλ' ἀρωγῆς
met eager to-help not very of-help
δευομένοις· ἤδη δὲ καὶ ἀμφ' αὐτοῖο μέλοντο.
needing already and also about himself they-cared

ἔνθα δὲ ναυτιλίης πυκινὴν περὶ μητιάασκον
there and of-voyage shrewd about devised
ἑζόμενοι βουλήν· ἐπὶ δέ σφισιν ἦλυθε κούρη
sitting counsel to and them came the-maiden
φραζομένοις· Πηλεὺς δὲ παροίτατος ἔκφατο μῦθον·
considering Peleus and first spoke word
“ Ἤδη νῦν κέλομαι νύκτωρ ἔτι νῆ᾽ ἐπιβάντας
Already now I-bid by-night still ship having-boarded
εἰρεσίῃ περάαν πλόον ἀντίον, ᾧ ἐπέχουσιν
with-rowing to-pass course opposite which hold
δήιοι· ἠῶθεν γὰρ ἐπαθρήσαντας ἕκαστα
the-foes at-dawn for having-observed each-thing
ἔλπομαι οὐχ ἕνα μῦθον, ὅτις προτέρωσε δίεσθαι
I-expect not one word whichever forward to-pursue
ἡμέας ὀτρυνέει, τοὺς πεισέμεν· οἷα δ᾽ ἄνακτος
us will-urge them to-be-going-to-persuade as and of-the-lord
εὔνιδες, ἀργαλέῃσι διχοστασίῃς κεδόωνται.
bereft in-grievous dissensions will-be-scattered
ῥηιδίη δέ κεν ἄμμι, κεδασθέντων δίχα λαῶν,
easy and — for-us scattered apart the-peoples
ἤδ᾽ εἴη μετέπειτα κατερχομένοισι κέλευθος.”
and would-be afterward for-the-returning path
Ὣς ἔφατ᾽· ἤνησαν δὲ νέοι ἔπος Αἰακίδαο.
So he-spoke approved and the-youths the-word of-the-son-of-Aeacus
ῥίμφα δὲ νῆ᾽ ἐπιβάντες ἐπερρώοντ᾽ ἐλάτῃσιν
swiftly and ship having-boarded strained with-pines
νωλεμές, ὄφρ᾽ ἱερὴν Ἠλεκτρίδα νῆσον ἵκοντο,
unceasingly until holy Electrian island they-reached
ἀλλάων ὑπάτην, ποταμοῦ σχεδὸν Ἠριδανοῖο.
of-the-others highest of-river near of-Eridanus

Κόλχοι δ' ὁππότ' ὄλεθρον ἐπεφράσθησαν ἄνακτος,
Colchians and when destruction perceived of-the-lord
ἤτοι μὲν δίζεσθαι ἐπέχραον ἔνδοθι πάσης
truly indeed to-search they-were-eager within all
Ἀργὼ καὶ Μινύας Κρονίης ἁλός. ἀλλ' ἀπέρυκεν
Argo and Minyae of-Cronian sea but held-back
Ἥρη σμερδαλέῃσι κατ' αἰθέρος ἀστεροπῇσιν.
Hera with-terrible through air with-lightnings
ὕστατον αὐτοὶ δ' αὖτε Κυταιίδος ἤθεα γαίης
last themselves and in-turn of-Cytaean the-abodes of-land
στύξαν, ἀτυζόμενοι χόλον ἄγριον Αἰήταο,
loathed fearing wrath fierce of-Aeetes
ἔμπεδα δ' ἄλλυδις ἄλλοι ἐφορμηθέντες ἔνασθεν.
steadfastly and elsewhere others setting-out settled
οἱ μὲν ἐπ' αὐτάων νήσων ἔβαν, ἧσιν ἐπέσχον
some indeed on very islands went on-which had-touched
ἥρωες, ναίουσι δ' ἐπώνυμοι Ἀψύρτοιο·
heroes they-dwell and named of-Apsyrtus
οἱ δ' ἄρ' ἐπ' Ἰλλυρικοῖο μελαμβαθέος ποταμοῖο,
others and then on Illyrian of-black-deep river
τύμβος ἵν' Ἁρμονίης Κάδμοιό τε, πύργον ἔδειμαν,
tomb where of-Harmonia of-Cadmus and tower they-built
ἀνδράσιν Ἐγχελέεσσιν ἐφέστιοι· οἱ δ' ἐν ὄρεσσιν
with-men Encheleans sharing-the-hearth others and in mountains
ἐνναίουσιν, ἅπερ τε Κεραύνια κικλήσκονται,
dwell which-indeed — Ceraunian are-called
ἐκ τόθεν, ἐξότε τούσγε Διὸς Κρονίδαο κεραυνοὶ
from then since them of-Zeus of-the-son-of-Cronus thunderbolts
νῆσον ἐς ἀντιπέραιαν ἀπέτραπον ὁρμηθῆναι.
island to opposite turned-back to-set-out

Ἥρωες δ', ὅτε δή σφιν ἐείσατο νόστος ἀπήμων,
Heroes and when indeed to-them seemed return unharmed
δή ῥα τότε προμολόντες ἐπὶ χθονὶ πείσματ' ἔδησαν
indeed then then coming-forth on land cables bound
Ὑλλήων. νῆσοι γὰρ ἐπιπρούχοντο θαμειαὶ
of-Hylleans islands for jutted thick
ἀργαλέην πλώουσιν ὁδὸν μεσσηγὺς ἔχουσαι.
grievous for-the-sailing road between holding
οὐδέ σφιν, ὡς καὶ πρίν, ἀνάρσια μητιάασκον
nor to-them as also before hostile devised
Ὑλλῆες· πρὸς δ' αὐτοὶ ἐμηχανόωντο κέλευθον,
Hylleans besides and themselves contrived path
μισθὸν ἀειρόμενοι τρίποδα μέγαν Ἀπόλλωνος.
as-reward winning tripod great of-Apollo
δοιοὺς γὰρ τρίποδας τηλοῦ πόρε Φοῖβος ἄγεσθαι
two for tripods far-away gave Phoebus to-be-carried
Αἰσονίδῃ περόωντι κατὰ χρέος, ὁππότε Πυθὼ
to-the-son-of-Aeson crossing according-to need when Pytho
ἱρὴν πευσόμενος μετεκίαθε τῆσδ' ὑπὲρ αὐτῆς
holy to-be-going-to-inquire he-came about this very
ναυτιλίης· πέπρωτο δ', ὅπῃ χθονὸς ἱδρυνθεῖεν,
voyage it-was-fated and where in-land they-should-be-set-up
μήποτε τὴν δῄοισιν ἀναστήσεσθαι ἰοῦσιν.
never it by-foes to-be-going-to-be-ravaged going
τούνεκεν εἰσέτι νῦν κείνῃ ὅδε κεύθεται αἴῃ
therefore still now in-that this is-hidden land
ἀμφὶ πόλιν ἀγανὴν Ὑλληίδα, πολλὸν ἔνερθεν
about city gentle Hyllean far below
οὔδεος, ὥς κεν ἄφαντος ἀεὶ μερόπεσσι πέλοιτο.
of-ground so-that — unseen ever for-mortals it-may-be

οὐ μὲν ἔτι ζώοντα καταυτόθι τέτμον ἄνακτα
not indeed longer living there they-found king
Ὕλλον, ὃν εὐειδὴς Μελίτη τέκεν Ἡρακλῆι
Hyllus whom fair Melite bore to-Heracles
δήμῳ Φαιήκων. ὁ γὰρ οἰκία Ναυσιθόοιο
in-the-people of-Phaeacians he for halls of-Nausithous
Μάκριν τ' εἰσαφίκανε, Διωνύσοιο τιθήνην,
Macris and came of-Dionysus nurse
νιψόμενος παίδων ὀλοὸν φόνον· ἔνθ' ὅγε κούρην
to-be-going-to-wash-off of-children baneful murder there he the-maiden
Αἰγαίου ἐδάμασσεν ἐρασσάμενος ποταμοῖο,
of-Aegaeus subdued having-loved river
νηιάδα Μελίτην· ἡ δὲ σθεναρὸν τέκεν Ὕλλον.
naiad Melite she and sturdy bore Hyllus
οὐδ' ἄρ' ὅγ' ἡβήσας αὐτῇ ἐνὶ ἔλδετο νήσῳ
nor then he grown-up very in wished island
ναίειν, κοιρανέοντος ἐπ' ὀφρύσι Ναυσιθόοιο·
to-dwell ruling on brows of-Nausithous
βῆ δ' ἄλαδε Κρονίην, αὐτόχθονα λαὸν ἀγείρας
went and to-sea Cronian native people having-gathered
Φαιήκων· σὺν γάρ οἱ ἄναξ πόρσυνε κέλευθον
of-Phaeacians with for him the-lord prepared path
ἥρως Ναυσίθοος· τόθι δ' εἵσατο, καί μιν ἔπεφνον
hero Nausithous there and settled and him slew
Μέντορες, ἀγραύλοισιν ἀλεξόμενον περὶ βουσίν.
Mentores for-field-dwelling defending about oxen

Zeus, angered by the murder of Apsyrtus, ordains that the heroes must be purified by Circe. They pass Corcyra and Melite, and Hera, planning the voyage's end, raises contrary winds that drive them back to the Electrid island; the beam of the Argo, cut from the oak of Dodona, speaks with a human voice, telling them of Zeus' wrath. They enter the Eridanus, where Phaethon fell, and hear his sisters weeping amber tears. They pass into the Rhone and are almost carried into the Ocean, until Hera turns them back, and they reach the Stoechades and Aethalia.

Ἀλλά, θεαί, πῶς τῆσδε παρὲξ ἁλός, ἀμφί τε γαῖαν
But goddesses how of-this beyond sea around and land
Αὐσονίην νήσους τε Λιγυστίδας, αἳ καλέονται
Ausonian islands and Ligurian which are-called
Στοιχάδες, Ἀργῴης περιώσια σήματα νηὸς
Stoechades of-Argo numerous signs of-ship
νημερτὲς πέφαται; τίς ἀπόπροθι τόσσον ἀνάγκη
truly are-told what far-away so necessity
καὶ χρειώ σφ' ἐκόμισσε; τίνες σφέας ἤγαγον αὖραι;
and need them brought what them led breezes
Αὐτόν που μεγαλωστὶ δεδουπότος Ἀψύρτοιο
Him surely mightily fallen of-Apsyrtus
Ζῆνα, θεῶν βασιλῆα, χόλος λάβεν, οἷον ἔρεξαν.
Zeus of-gods king wrath seized at-what they-did
Αἰαίης δ' ὀλοὸν τεκμήρατο δήνεσι Κίρκης
of-Aeaean and baneful be-ordained by-the-counsels of-Circe
αἷμ' ἀπονιψαμένους, πρό τε μυρία πημανθέντας,
blood having-washed-off before and countless having-suffered
νοστήσειν. τὸ μὲν οὔτις ἀριστήων ἐνόησεν·
to-be-going-to-return this indeed none of-chiefs knew

ἀλλ᾽ ἔθεον γαίης Ὑλληίδος ἐξανιόντες
but they-ran from-land Hyllean setting-out
τηλόθι· τὰς δ᾽ ἀπέλειπον, ὅσαι Κόλχοισι πάροιθεν
far-away them and they-left as-many-as with-Colchians before
ἑξείης πλήθοντο Λιβυρνίδες εἰν ἁλὶ νῆσοι,
in-order were-filled Liburnian in sea islands
Ἴσσα τε Δυσκέλαδός τε καὶ ἱμερτὴ Πιτύεια.
Issa both Dysceladus and and lovely Pityeia
αὐτὰρ ἔπειτ᾽ ἐπὶ τῇσι παραὶ Κέρκυραν ἵκοντο,
but then after them by Corcyra they-came
ἔνθα Ποσειδάων Ἀσωπίδα νάσσατο κούρην,
where Poseidon daughter-of-Asopus settled maiden
ἠύκομον Κέρκυραν, ἑκὰς Φλιουντίδος αἴης,
fair-haired Corcyra far from-Phliasian land
ἁρπάξας ὑπ᾽ ἔρωτι· μελαινομένην δέ μιν ἄνδρες
having-snatched through love black and it men
ναυτίλοι ἐκ πόντοιο κελαινῇ πάντοθεν ὕλῃ
sailors from sea with-dark on-all-sides with-wood
δερκόμενοι Κέρκυραν ἐπικλείουσι Μέλαιναν.
seeing Corcyra call Black
τῇ δ᾽ ἐπὶ καὶ Μελίτην, λιαρῷ περιγηθέες οὔρῳ,
it and after also Melite with-warm rejoicing with-breeze
αἰπεινήν τε Κερωσσόν, ὕπερθε δὲ πολλὸν ἐοῦσαν
steep and Cerossus above and far being
Νυμφαίην παράμειβον, ἵνα κρείουσα Καλυψὼ
Nymphaea they-passed where queenly Calypso

Ἀτλαντὶς ναίεσκε· τὰ δ᾽ ἠεροειδέα λεύσσειν
daughter-of-Atlas dwelt the and misty to-see
οὔρεα δοιάζοντο Κεραύνια. καὶ τότε βουλὰς
mountains they-seemed-to-see Ceraunian and then the-counsels
ἀμφ᾽ αὐτοῖς Ζηνός τε μέγαν χόλον ἐφράσαθ᾽ Ἥρη.
about them of-Zeus and great wrath perceived Hera
μηδομένη δ᾽ ἄνυσιν τοῖο πλόου, ὦρσεν ἀέλλας
devising and accomplishment of-this voyage she-roused storms
ἀντικρύ, ταῖς αὖτις ἀναρπάγδην φορέοντο
in-front by-which back snatched-away they-were-borne
νήσου ἔπι κραναῆς Ἠλεκτρίδος. αὐτίκα δ᾽ ἄφνω
island to rugged Electrian at-once and suddenly
ἴαχεν ἀνδρομέῃ ἐνοπῇ μεσσηγὺ θεόντων
cried-out with-human voice amid of-them-running
αὐδῆεν γλαφυρῆς νηὸς δόρυ, τό ῥ᾽ ἀνὰ μέσσην
speaking of-hollow of-ship beam which then in middle
στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ.
keel Athena of-Dodonian fitted of-oak
τοὺς δ᾽ ὀλοὸν μεσσηγὺ δέος λάβεν εἰσαΐοντας
them and baneful amid fear seized hearing
φθογγήν τε Ζηνός τε βαρὺν χόλον. οὐ γὰρ ἀλύξειν
the-voice both of-Zeus and heavy wrath not for to-be-going-to-escape
ἔννεπεν οὔτε πόρους δολιχῆς ἁλός, οὔτε θυέλλας
it-said neither paths of-long sea nor storms
ἀργαλέας, ὅτε μὴ Κίρκη φόνον Ἀψύρτοιο
grievous when not Circe murder of-Apsyrtus

νηλέα νίψειεν· Πολυδεύκεα δ' εὐχετάασθαι
pitiless should-wash Polydeuces and to-pray
Κάστορά τ' ἀθανάτοισι θεοῖς ἤνωγε κελεύθους
Castor and to-immortal gods it-bade paths
Αὐσονίης ἔμπροσθε πορεῖν ἁλός, ᾗ ἔνι Κίρκην
of-Ausonian on to-grant sea which in Circe
δήουσιν, Πέρσης τε καὶ Ἠελίοιο θύγατρα.
they-shall-find of-Perse both and of-Helios daughter
Ὣς Ἀργὼ ἰάχησεν ὑπὸ κνέφας· οἱ δ' ἀνόρουσαν
So Argo cried at dusk they and sprang-up
Τυνδαρίδαι, καὶ χεῖρας ἀνέσχεθον ἀθανάτοισιν
sons-of-Tyndareus and hands raised to-the-immortals
εὐχόμενοι τὰ ἕκαστα· κατηφείη δ' ἔχεν ἄλλους
praying the each-thing despondency and held others
ἥρωας Μινύας. ἡ δ' ἔσσυτο πολλὸν ἐπιπρὸ
heroes Minyae she and rushed far forward
λαίφεσιν, ἐς δ' ἔβαλον μύχατον ῥόον Ἠριδανοῖο·
with-sails into and they-cast innermost stream of-Eridanus
ἔνθα ποτ' αἰθαλόεντι τυπεὶς πρὸς στέρνα κεραυνῷ
where once with-smoldering struck on breast with-thunderbolt
ἡμιδαὴς Φαέθων πέσεν ἅρματος Ἠελίοιο
half-burnt Phaethon fell from-chariot of-Helios
λίμνης ἐς προχοὰς πολυβενθέος· ἡ δ' ἔτι νῦν περ
of-lake into outflows of-much-depth it and still now indeed
τραύματος αἰθομένοιο βαρὺν ἀνακηκίει ἀτμόν.
from-wound burning heavy sends-up steam

οὐδέ τις ὕδωρ κεῖνο διὰ πτερὰ κοῦφα τανύσσας
nor any water that through wings light spreading
οἰωνὸς δύναται βαλέειν ὕπερ· ἀλλὰ μεσηγὺς
bird can to-cast-itself over but in-mid-course
φλογμῷ ἐπιθρώσκει πεποτημένος. ἀμφὶ δὲ κοῦραι
in-the-flame leaps-down fluttering around and maidens
Ἠλιάδες ταναῇσιν ἐελμέναι αἰγείροισιν,
daughters-of-Helios in-tall enclosed in-poplars
μύρονται κινυρὸν μέλεαι γόον· ἐκ δὲ φαεινὰς
lament piteous wretched lament from and shining
ἠλέκτρου λιβάδας βλεφάρων προχέουσιν ἔραζε,
of-amber drops from-eyelids pour to-the-ground
αἱ μέν τ' ἠελίῳ ψαμάθοις ἔπι τερσαίνονται·
they indeed — in-the-sun sands on are-dried
εὖτ' ἂν δὲ κλύζῃσι κελαινῆς ὕδατα λίμνης
when — and wash dark waters of-lake
ἠιόνας πνοιῇ πολυηχέος ἐξ ἀνέμοιο,
shores by-blast of-much-roaring from wind
δὴ τότ' ἐς Ἠριδανὸν προκυλίνδεται ἀθρόα πάντα
indeed then into Eridanus roll-forward all-together all
κυμαίνοντι ῥόῳ. Κελτοὶ δ' ἐπὶ βάξιν ἔθεντο,
with-swelling with-stream Celts and on report set
ὡς ἄρ' Ἀπόλλωνος τάδε δάκρυα Λητοΐδαο
that then of-Apollo these tears of-the-son-of-Leto
συμφέρεται δίναις, ἃ τε μυρία χεῦε πάροιθεν,
are-borne-together in-eddies which — countless he-shed before
ἦμος Ὑπερβορέων ἱερὸν γένος εἰσαφίκανεν,
when of-Hyperboreans holy race he-reached
οὐρανὸν αἰγλήεντα λιπὼν ἐκ πατρὸς ἐνιπῆς,
heaven shining having-left from of-father rebuke

χωόμενος περὶ παιδί, τὸν ἐν λιπαρῇ Λακερείῃ
angered about son whom in shining Lacereia
δῖα Κορωνὶς ἔτικτεν ἐπὶ προχοῇς Ἀμύροιο.
divine Coronis bore by the-mouths of-Amyrus
καὶ τὰ μὲν ὣς κείνοισι μετ᾽ ἀνδράσι κεκλήισται.
and these-things indeed so those among men are-told
τοὺς δ᾽ οὔτε βρώμης ἧρει πόθος, οὐδὲ ποτοῖο,
them and neither of-food seized desire nor of-drink
οὔτ᾽ ἐπὶ γηθοσύνας τράπετο νόος. ἀλλ᾽ ἄρα τοίγε
nor to joys turned mind but then they
ἤματα μὲν στρεύγοντο περιβληχρὸν βαρύθοντες
by-day indeed were-worn-out feebly weighed-down
ὀδμῇ λευγαλέῃ, τήν ῥ᾽ ἄσχετον ἐξανίεσκον
by-stench grievous which then unbearable sent-up
τυφομένου Φαέθοντος ἐπιρροαὶ Ἠριδανοῖο·
of-smoldering Phaethon the-streams of-Eridanus
νυκτὸς δ᾽ αὖ γόον ὀξὺν ὀδυρομένων ἐσάκουον
by-night and in-turn lament shrill of-the-wailing they-heard
Ἠλιάδων λιγέως· τὰ δὲ δάκρυα μυρομένῃσιν
of-daughters-of-Helios clearly the and tears of-the-weeping
οἷον ἐλαιηραὶ στάγες ὕδασιν ἐμφορέοντο.
like oily drops on-the-waters were-borne
Ἐκ δὲ τόθεν Ῥοδανοῖο βαθὺν ῥόον εἰσαπέβησαν,
From and then of-Rhodanus deep stream they-entered
ὅς τ᾽ εἰς Ἠριδανὸν μετανίσσεται· ἄμμιγα δ᾽ ὕδωρ
which — into Eridanus goes mingled and water
ἐν ξυνοχῇ βέβρυχε κυκώμενον. αὐτὰρ ὁ γαίης
in confluence roars troubled but he of-earth
ἐκ μυχάτης, ἵνα τ᾽ εἰσὶ πύλαι καὶ ἐδέθλια Νυκτός,
from innermost where — are gates and seats of-Night

ἔνθεν ἀπορνύμενος τῇ μέν τ' ἐπερεύγεται ἀκτὰς
thence rising on-one-side indeed — bursts-upon shores
Ὠκεανοῦ, τῇ δ' αὖτε μετ' Ἰονίην ἅλα βάλλει,
of-Ocean on-another and in-turn into Ionian sea casts
τῇ δ' ἐπὶ Σαρδόνιον πέλαγος καὶ ἀπείρονα κόλπον
on-another and to Sardinian sea and boundless gulf
ἑπτὰ διὰ στομάτων ἴει ῥόον. ἐκ δ' ἄρα τοῖο
seven through mouths sends stream out and then it
λίμνας εἰσέλασαν δυσχείμονας, αἵ τ' ἀνὰ Κελτῶν
lakes they-rowed-into stormy which — through of-Celts
ἤπειρον πέπτανται ἀθέσφατον· ἔνθα κεν οἵγε
mainland are-spread unspeakable there — they
ἄτῃ ἀεικελίῃ πέλασαν. φέρε γάρ τις ἀπορρὼξ
to-ruin to-unseemly would-have-come brought for some branch
κόλπον ἐς Ὠκεανοῖο, τὸν οὐ προδαέντες ἔμελλον
gulf into of-Ocean which not knowing-beforehand they-were-about
εἰσβαλέειν, τόθεν οὔ κεν ὑπότροποι ἐξεσάωθεν.
to-enter thence not — returning they-would-have-been-saved
ἀλλ' Ἥρη σκοπέλοιο καθ' Ἑρκυνίου ἰάχησεν
but Hera from-rock down Hercynian shouted
οὐρανόθεν προθοροῦσα· φόβῳ δ' ἐτίναχθεν ἀυτῆς
from-heaven leaping-forth in-fear and they-were-shaken at-the-cry
πάντες ὁμῶς· δεινὸν γὰρ ἐπὶ μέγας ἔβραχεν αἰθήρ.
all alike terribly for on great roared air
ἂψ δὲ παλιντροπόωντο θεᾶς ὕπο, καί ῥ' ἐνόησαν
back and turned of-goddess by and then they-perceived
τὴν οἶμον, τῇπέρ τε καὶ ἔπλετο νόστος ἰοῦσιν.
the path by-which-indeed — also was return for-the-going-ones

δηναιοὶ δ᾽ ἀκτὰς ἁλιμυρέας εἰσαφίκοντο
after-long and shores sea-washed reached
Ἥρης ἐννεσίῃσι, δι᾽ ἔθνεα μυρία Κελτῶν
of-Hera by-the-promptings through tribes countless of-Celts
καὶ Λιγύων περόωντες ἀδήιοι. ἀμφὶ γὰρ αἰνὴν
and of-Ligurians passing unharmed around for dread
ἠέρα χεῦε θεὰ πάντ᾽ ἤματα νισσομένοισιν.
mist poured goddess all days for-the-going-ones
μεσσότατον δ᾽ ἄρα τοίγε διὰ στόμα νηὶ βαλόντες
middle and then they through mouth ship casting
Στοιχάδας εἰσαπέβαν νήσους σόοι εἵνεκα κούρων
Stoechades they-entered islands safe for-the-sake of-sons
Ζηνός· ὃ δὴ βωμοί τε καὶ ἱερὰ τοῖσι τέτυκται
of-Zeus therefore indeed altars both and rites for-them are-made
ἔμπεδον· οὐδ᾽ οἷον κείνης ἐπίκουροι ἕποντο
steadfastly nor only that helpers followed
ναυτιλίης· Ζεὺς δέ σφι καὶ ὀψιγόνων πόρε νῆας.
of-voyage Zeus and to-them also of-later-born gave ships
Στοιχάδας αὖτε λιπόντες ἐς Αἰθαλίην ἐπέρησαν
Stoechades in-turn having-left to Aethalia they-crossed
νῆσον, ἵνα ψηφῖσιν ἀπωμόρξαντο καμόντες
island where with-pebbles wiped weary
ἱδρῶ ἅλις· χροιῇ δὲ κατ᾽ αἰγιαλοῖο κέχυνται
sweat abundantly in-color and along beach are-strewn
εἴκελαι· ἐν δὲ σόλοι καὶ τεύχεα θέσκελα κείνων·
like in and quoits and arms wondrous of-them
ἐν δὲ λιμὴν Ἀργῷος ἐπωνυμίην πεφάτισται.
in and harbor Argoan by-name is-called

The heroes come to Aeaea and find Circe bathing her head in the sea after a dream of blood. Jason and Medea follow her into her hall and sit at her hearth as suppliants. Circe purifies them with the blood of a piglet and libations, then asks their story. Medea tells her in the Colchian tongue, hiding the murder, but Circe guesses it and sends her away.

Καρπαλίμως δ' ἐνθένδε διὲξ ἁλὸς οἶδμα νέοντο
Swiftly and thence through of-sea swell they-went
Αὐσονίης ἀκτὰς Τυρσηνίδας εἰσορόωντες·
Ausonian shores Tyrrhenian seeing
ἶξον δ' Αἰαίης λιμένα κλυτόν· ἐκ δ' ἄρα νηὸς
came and of-Aeaea harbor famous out and then from-ship
πείσματ' ἐπ' ἠιόνων σχεδόθεν βάλον. ἔνθα δὲ Κίρκην
cables on shores near threw there and Circe
εὗρον ἁλὸς νοτίδεσσι κάρη ἐπιφαιδρύνουσαν·
found of-sea in-the-waters head cleansing
τοῖον γὰρ νυχίοισιν ὀνείρασιν ἐπτοίητο.
such for in-nightly in-dreams she-had-been-scared
αἵματί οἱ θάλαμοί τε καὶ ἔρκεα πάντα δόμοιο
with-blood to-her chambers both and courts all of-the-house
μύρεσθαι δόκεον· φλὸξ δ' ἀθρόα φάρμακ' ἔδαπτεν,
to-run seemed flame and all-at-once drugs devoured
οἷσι πάρος ξείνους θέλγ' ἀνέρας, ὅστις ἵκοιτο·
with-which before strangers she-charmed men whoever came
τὴν δ' αὐτὴ φονίῳ σβέσεν αἵματι πορφύρουσαν,
it and she-herself with-murderous quenched with-blood glowing
χερσὶν ἀφυσσαμένη· λῆξεν δ' ὀλοοῖο φόβοιο.
with-hands drawing ceased and from-baneful fear

τῶ καὶ ἐπιπλομένης ἠοῦς νοτίδεσσι θαλάσσης
therefore also coming dawn in-the-waters of-sea
ἐγρομένη πλοκάμους τε καὶ εἵματα φαιδρύνεσκεν.
awakening tresses both and garments she-was-cleansing
θῆρες δ' οὐ θήρεσσιν ἐοικότες ὠμηστῆσιν,
beasts and not to-beasts like raw-eating
οὐδὲ μὲν οὐδ' ἄνδρεσσιν ὁμὸν δέμας, ἄλλο δ' ἀπ' ἄλλων
nor indeed even to-men same body other and from others
συμμιγέες μελέων, κίον ἀθρόοι, ἠύτε μῆλα
compounded of-limbs went in-a-throng as sheep
ἐκ σταθμῶν ἅλις εἶσιν ὀπηδεύοντα νομῆι.
from folds abundant go following the-shepherd
τοίους καὶ προτέρης ἐξ ἰλύος ἐβλάστησε
such also former from mud produced
χθὼν αὐτὴ μικτοῖσιν ἀρηρεμένους μελέεσσιν,
earth itself with-mixed fitted with-limbs
οὔπω διψαλέῳ μάλ' ὑπ' ἠέρι πιληθεῖσα,
not-yet thirsty very under air compacted
οὐδέ πω ἀζαλέοιο βολαῖς τόσον ἠελίοιο
nor yet of-parching by-the-rays so-much of-sun
ἰκμάδας αἰνυμένη· τὰ δ' ἐπὶ στίχας ἤγαγεν αἰὼν
moisture taking these and into ranks brought time
συγκρίνας· τὼς οἵγε φυὴν ἀΐδηλοι ἔποντο.
having-combined so they in-form unseen followed
ἥρωας δ' ἕλε θάμβος ἀπείριτον· αἶψα δ' ἕκαστος
heroes and seized wonder boundless quickly and each
Κίρκης εἴς τε φυήν, εἴς τ' ὄμματα παπταίνοντες
of-Circe at both form at and eyes gazing
ῥεῖα κασιγνήτην φάσαν ἔμμεναι Αἰήταο.
easily sister said to-be of-Aeetes

Ἡ δ' ὅτε δὴ νυχίων ἀπὸ δείματα πέμψεν ὀνείρων,
She and when indeed of-nightly away fears sent of-dreams
αὐτίκ' ἔπειτ' ἄψορρον ἀπέστιχε· τοὺς δ' ἅμ' ἕπεσθαι,
at-once then back went-away them and together to-follow
χειρὶ καταρρέξασα, δολοφροσύνῃσιν ἄνωγεν.
with-hand having-beckoned in-guile bade
ἔνθ' ἤτοι πληθὺς μὲν ἐφετμαῖς Αἰσονίδαο
there truly the-throng indeed at-the-commands of-the-son-of-Aeson
μίμνεν ἀπηλεγέως· ὁ δ' ἐρύσσατο Κολχίδα κούρην.
remained without-heed he and drew Colchian maiden
ἄμφω δ' ἑσπέσθην αὐτὴν ὁδόν, ἔστ' ἀφίκοντο
both and followed the-same way until they-came
Κίρκης ἐς μέγαρον· τοὺς δ' ἐν λιπαροῖσι κέλευεν
of-Circe to hall them and in shining bade
ἥγε θρόνοις ἕζεσθαι, ἀμηχανέουσα κιόντων.
she thrones to-sit wondering-at the-comers
τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφ' ἑστίῃ ἀίξαντε
the-two and silent and speechless at hearth having-darted
ἵζανον, ἥ τε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται,
sat which — the-custom for-wretched for-suppliants is
ἡ μὲν ἐπ' ἀμφοτέραις θεμένη χείρεσσι μέτωπα,
she indeed on both having-set hands forehead
αὐτὰρ ὁ κωπῆεν μέγα φάσγανον ἐν χθονὶ πήξας,
but he hilted great sword in ground having-fixed
ᾧπέρ τ' Αἰήταο πάιν κτάνεν· οὐδέ ποτ' ὄσσε
with-which-indeed — of-Aeetes son he-killed nor ever eyes
ἰθὺς ἐνὶ βλεφάροισιν ἀνέσχεθον. αὐτίκα δ' ἔγνω
straight in eyelids raised at-once and knew
Κίρκη φύξιον οἶτον ἀλιτροσύνας τε φόνοιο.
Circe of-exile fate the-sins and of-murder

τῶ καὶ ὀπιζομένη Ζηνὸς θέμιν Ἱκεσίοιο,
therefore also respecting of-Zeus the-law of-Suppliants
ὃς μέγα μὲν κοτέει, μέγα δ' ἀνδροφόνοισιν ἀρήγει,
who greatly indeed is-wroth greatly and murderers helps
ῥέζε θυηπολίην, οἵῃ τ' ἀπολυμαίνονται
offered sacrifice by-which — are-cleansed
νηλειεῖς ἱκέται, ὅτ' ἐφέστιοι ἀντιόωσιν.
pitiless suppliants when at-the-hearth they-meet
πρῶτα μὲν ἀτρέπτοιο λυτήριον ἦγε φόνοιο
first indeed of-unrelenting as-atonement she of-murder
τειναμένη καθύπερθε συὸς τέκος, ἧς ἔτι μαζοὶ
stretching above of-sow young whose still teats
πλήμμυρον λοχίης ἐκ νηδύος, αἵματι χεῖρας
were-full childbed from belly with-blood hands
τέγγεν, ἐπιτμήγουσα δέρην· αὖτις δὲ καὶ ἄλλοις
wetted cutting neck again and also with-other
μείλισσεν χύτλοισι, καθάρσιον ἀγκαλέουσα
propitiated with-libations of-Cleansing calling-on
Ζῆνα, παλαμναίων τιμήορον ἱκεσιάων.
Zeus of-murderers avenger of-supplications
καὶ τὰ μὲν ἀθρόα πάντα δόμων ἐκ λύματ' ἔνεικαν
and the indeed all-together all house from pollutions carried
νηιάδες πρόπολοι, ταί οἱ πόρσυνον ἕκαστα.
naiad attendants who to-her prepared each-thing

ἡ δ' εἴσω πελάνους μείλικτρά τε νηφαλίῃσιν
she and within cakes propitiations and wineless
καῖεν ἐπ' εὐχωλῇσι παρέστιος, ὄφρα χόλοιο
burned at prayers standing-by-the-hearth so-that from-wrath
σμερδαλέας παύσειεν Ἐρινύας, ἠδὲ καὶ αὐτὸς
dread might-stop Furies and also himself
εὐμειδής τε πέλοιτο καὶ ἤπιος ἀμφοτέροισιν,
gentle both might-be and kindly to-both
εἴτ' οὖν ὀθνείῳ μεμιασμένοι αἵματι χεῖρας,
whether then with-foreign defiled with-blood hands
εἴτε καὶ ἐμφύλῳ προσκηδέες ἀντιόωσιν.
or also with-kindred kinsmen they-meet
Αὐτὰρ ἐπεὶ μάλα πάντα πονήσατο, δὴ τότ' ἔπειτα
But when very all she-had-performed indeed then then
εἶσεν ἐπὶ ξεστοῖσιν ἀναστήσασα θρόνοισιν,
she-seated on polished having-raised thrones
καὶ δ' αὐτὴ πέλας ἷζεν ἐνωπαδίς. αἶψα δὲ μύθῳ
and and herself near sat face-to-face quickly and in-word
χρειὼ ναυτιλίην τε διακριδὸν ἐξερέεινεν,
the-need voyage and in-detail asked
ἠδ' ὁπόθεν μετὰ γαῖαν ἑὴν καὶ δώματ' ἰόντες
and whence to land her-own and halls coming
αὔτως ἱδρύνθησαν ἐφέστιοι. ἦ γὰρ ὀνείρων
just-so they-sat at-the-hearth truly for of-dreams
μνῆστις ἀεικελίη δῦνεν φρένας ὁρμαίνουσαν·
memory unseemly entered mind pondering
ἵετο δ' αὖ κούρης ἐμφύλιον ἴδμεναι ὁμφήν,
longed and in-turn of-the-maiden kindred to-know voice
αὐτίχ' ὅπως ἐνόησεν ἀπ' οὐδεος ὄσσε βαλοῦσαν.
at-once when she-perceived from ground eyes raising

πᾶσα γὰρ Ἠελίου γενεὴ ἀρίδηλος ἰδέσθαι
all for of-Helios race manifest to-see
ἦεν, ἐπεὶ βλεφάρων ἀποτηλόθι μαρμαρυγῇσιν
was since of-eyelids far-off with-flashings
οἷόν τε χρυσέην ἀντώπιον ἴεσαν αἴγλην.
as — golden in-front sent gleam
730 ἡ δ' ἄρα τῇ τὰ ἕκαστα διειρομένῃ κατέλεξεν,
she and then to-her the each-thing asking told
Κολχίδα γῆρυν ἱεῖσα, βαρύφρονος Αἰήταο
Colchian speech sending of-heavy-hearted Aeetes
κούρη μειλιχίως, ἠμὲν στόλον ἠδὲ κελεύθους
the-maiden gently both the-expedition and the-paths
ἡρώων, ὅσα τ' ἀμφὶ θοοῖς ἐμόγησαν ἀέθλοις,
of-heroes as-many-as and about swift toiled contests
ὥς τε κασιγνήτης πολυκηδέος ἤλιτε βουλαῖς,
how and of-sister much-troubled she-erred by-the-counsels
735 ὥς τ' ἀπονόσφιν ἄλυξεν ὑπέρβια δείματα πατρὸς
how and away escaped overweening terrors of-father
σὺν παισὶν Φρίξοιο· φόνον δ' ἀλέεινεν ἐνισπεῖν
with sons of-Phrixus murder and she-avoided to-tell
Ἀψύρτου. τὴν δ' οὔτι νόῳ λάθεν· ἀλλὰ καὶ ἔμπης
of-Apsyrtus her and not-at-all in-mind escaped but even nevertheless
μυρομένην ἐλέαιρεν, ἔπος δ' ἐπὶ τοῖον ἔειπεν·
weeping she-pitied word and upon such spoke

"Σχετλίη, ἦ ῥα κακὸν καὶ ἀεικέα μήσαο νόστον.
Wretched truly then evil and shameful you-devised return
ἔλπομαι οὐκ ἐπὶ δήν σε βαρὺν χόλον Αἰήταο
I-expect not for long you heavy wrath of-Aeetes
ἐκφυγέειν· τάχα δ' εἶσι καὶ Ἑλλάδος ἤθεα γαίης
to-escape soon and he-will-go even of-Hellas the-abodes of-land
τισόμενος φόνον υἷος, ὅτ' ἄσχετα ἔργ' ἐτέλεσσας.
to-be-going-to-avenge murder of-son when outrageous deeds you-accomplished
ἀλλ' ἐπεὶ οὖν ἱκέτις καὶ ὁμόγνιος ἔπλευ ἐμεῖο,
but since then suppliant and kinswoman you-are of-me
ἄλλο μὲν οὔτι κακὸν μητίσομαι ἐνθάδ' ἰούσῃ·
other indeed not-at-all evil I-will-devise here coming
ἔρχεο δ' ἐκ μεγάρων ξείνῳ συνοπηδὸς ἐοῦσα,
go and from halls with-the-stranger companion being
ὅντινα τοῦτον ἄιστον ἀείραο πατρὸς ἄνευθεν·
whomever this unknown you-took of-father without
μηδέ με γουνάσσηαι ἐφέστιος, οὐ γὰρ ἔγωγε
nor me supplicate at-the-hearth not for I
αἰνήσω βουλάς τε σέθεν καὶ ἀεικέα φύξιν."
will-approve counsels both your and unseemly flight
Ὣς φάτο· τὴν δ' ἀμέγαρτον ἄχος λάβεν· ἀμφὶ δὲ πέπλον
So she-spoke her and unenviable grief seized around and robe
ὀφθαλμοῖσι βαλοῦσα γόον χέεν, ὄφρα μιν ἥρως
over-eyes casting lament poured until her hero
χειρὸς ἐπισχόμενος μεγάρων ἐξῆγε θύραζε
by-hand taking from-halls led out-the-door
δείματι παλλομένην· λεῖπον δ' ἀπὸ δώματα Κίρκης.
with-fear quivering they-left and from house of-Circe

Hera sends Iris to fetch Thetis and to bid Hephaestus and Aeolus still their fires and winds, to help the heroes past Scylla, Charybdis, and the Wandering Rocks. Hera reminds Thetis that she married her to Peleus and foretells that her son Achilles will wed Medea in Elysium. Thetis appears to Peleus and bids the heroes sail at dawn, and Peleus remembers how she left him when he caught her putting Achilles in the fire.

Οὐδ᾽ ἄλοχον Κρονίδαο Διὸς λάθον· ἀλλά οἱ Ἶρις
Nor the-wife of-the-son-of-Cronus of-Zeus they-escaped but to-her Iris
πέφραδεν, εὖτ᾽ ἐνόησεν ἀπὸ μεγάροιο κιόντας.
showed when she-perceived from hall going
αὐτὴ γάρ μιν ἄνωγε δοκευέμεν, ὁππότε νῆα
herself for her bade to-watch when ship
στείχοιεν· τὸ καὶ αὖτις ἐποτρύνουσ᾽ ἀγόρευεν·
they-should-go therefore also again urging spoke
“ Ἶρι φίλη, νῦν, εἴ ποτ᾽ ἐμὰς ἐτέλεσσας ἐφετμάς,
Iris dear now if ever my you-accomplished commands
εἰ δ᾽ ἄγε λαιψηρῇσι μετοιχομένη πτερύγεσσιν,
if and come with-swift going with-wings
δεῦρο Θέτιν μοι ἄνωχθι μολεῖν ἁλὸς ἐξανιοῦσαν.
here Thetis for-me bid to-come from-sea rising
κείνης γὰρ χρειώ με κιχάνεται. αὐτὰρ ἔπειτα
of-her for need me comes but then
ἐλθεῖν εἰς ἀκτάς, ὅθι τ᾽ ἄκμονες Ἡφαίστοιο
to-go to shores where — anvils of-Hephaestus
χάλκειοι στιβαρῇσιν ἀράσσονται τυπίδεσσιν·
bronze with-sturdy are-struck with-hammers

εἰπὲ δὲ κοιμῆσαι φύσας πυρός, εἰσόκεν Ἀργὼ
tell and to-lull the-bellows of-fire until Argo
τάσγε παρεξελάσῃσιν. ἀτὰρ καὶ ἐς Αἴολον ἐλθεῖν,
them pass-by but also to Aeolus to-go
Αἴολον, ὅς τ' ἀνέμοις αἰθρηγενέεσσιν ἀνάσσει·
Aeolus who — over-winds born-of-the-clear-sky rules
καὶ δὲ τῷ εἰπέμεναι τὸν ἐμὸν νόον, ὥς κεν ἀήτας
and and to-him to-tell the my mind so-that — the-winds
πάντας ἀπολλήξειεν ὑπ' ἠέρι, μηδέ τις αὔρη
all he-should-stop under air nor any breeze
τρηχύνοι πέλαγος· Ζεφύρου γε μὲν οὖρος ἀήτω,
should-roughen the-sea of-Zephyr indeed indeed breeze let-blow
ὄφρ' οἵγ' Ἀλκινόου Φαιηκίδα νῆσον ἵκωνται."
until they of-Alcinous Phaeacian island reach
Ὣς ἔφατ'· αὐτίκα δ' Ἶρις ἀπ' Οὐλύμποιο θοροῦσα
So she-spoke at-once and Iris from Olympus leaping
τέμνε, τανυσσαμένη κοῦφα πτερά. δῦ δ' ἐνὶ πόντῳ
cleaved spreading light wings plunged and into sea
Αἰγαίῳ, τόθι πέρ τε δόμοι Νηρῆος ἔασιν.
Aegean where indeed — the-halls of-Nereus are
πρώτην δ' εἰσαφίκανε Θέτιν, καὶ ἐπέφραδε μῦθον
first and came-to Thetis and told word
Ἥρης ἐννεσίῃς, ὧρσέν τέ μιν εἰς ἓ νέεσθαι.
of-Hera by-the-promptings roused and her to her to-go
δεύτερα δ' εἰς Ἥφαιστον ἐβήσατο· παῦσε δὲ τόνγε
second and to Hephaestus went stopped and him
ῥίμφα σιδηρείων τυπίδων· ἔσχοντο δ' ἀυτμῆς
quickly of-iron from-hammers were-checked and of-blast

αἰθαλέοι πρηστῆρες. ἀτὰρ τρίτον εἰσαφίκανεν
sooty bellows but third she-came-to
Αἴολον Ἱππότεω παῖδα κλυτόν. ὄφρα δὲ καὶ τῷ
Aeolus of-Hippotes son famous until and also to-him
ἀγγελίην φαμένη θοὰ γούνατα παῦσεν ὁδοῖο,
message telling swift knees she-stopped from-road
τόφρα Θέτις Νηρῆα κασιγνήτας τε λιποῦσα
so-long Thetis Nereus sisters and leaving
ἐξ ἁλὸς Οὐλυμπόνδε θεὰν μετεκίαθεν Ἥρην·
from sea to-Olympus the-goddess went-to Hera
ἡ δέ μιν ἆσσον ἑοῖο παρεῖσέ τε, φαίνέ τε μῦθον·
she and her near herself seated both declared and word
"Κέκλυθι νῦν, Θέτι δῖα, τά τοι ἐπιέλδομ' ἐνισπεῖν.
Hear now Thetis divine what to-you I-long to-tell
οἶσθα μέν, ὅσσον ἐμῇσιν ἐνὶ φρεσὶ τίεται ἥρως
you-know indeed how-much my in heart is-honored the-hero
Αἰσονίδης, οἱ δ' ἄλλοι ἀοσσητῆρες ἀέθλου,
son-of-Aeson the and others helpers of-the-contest
οἵως τέ σφ' ἐσάωσα διὰ πλαγκτὰς περόωντας
how and them I-saved through Wandering passing
πέτρας, ἔνθα πάρος δειναὶ βρομέουσι θύελλαι,
rocks where before terrible roar storms
κύματά τε σκληρῇσι περιβλύει σπιλάδεσσιν.
waves and with-hard boil-around with-crags

νῦν δὲ παρὰ Σκύλλης σκόπελον μέγαν ἠδὲ Χάρυβδιν
now and past of-Scylla rock great and Charybdis
δεινὸν ἐρευγομένην δέχεται ὁδός. ἀλλά σε γὰρ δὴ
terribly belching awaits road but you for indeed
ἐξέτι νηπυτίης αὐτὴ τρέφον ἠδ' ἀγάπησα
from childhood myself reared and loved
ἔξοχον ἀλλάων, αἵ τ' εἰν ἁλὶ ναιετάουσιν,
above of-others who — in sea dwell
οὕνεκεν οὐκ ἔτλης εὐνῇ Διὸς ἱεμένοιο
because not you-dared in-the-bed of-Zeus desiring
λέξασθαι. κείνῳ γὰρ ἀεὶ τάδε ἔργα μέμηλεν,
to-lie to-him for always these works are-a-care
ἠὲ σὺν ἀθανάταις ἠὲ θνητῇσιν ἰαύειν.
either with immortals or mortals to-sleep
ἀλλ' ἐμὲ αἰδομένη καὶ ἐνὶ φρεσὶ δειμαίνουσα,
but me revering and in heart fearing
ἠλεύω· ὁ δ' ἔπειτα πελώριον ὅρκον ὄμοσσεν,
you-shunned he and then great oath swore
μήποτέ σ' ἀθανάτοιο θεοῦ καλέεσθαι ἄκοιτιν.
never you of-immortal of-god to-be-called wife
ἔμπης δ' οὐ μεθίεσκεν ὀπιπτεύων ἀέκουσαν,
nevertheless and not he-ceased watching the-unwilling
εἰσότε οἱ πρέσβειρα Θέμις κατέλεξεν ἅπαντα,
until to-him venerable Themis told all
ὡς δή τοι πέπρωται ἀμείνονα πατρὸς ἑοῖο
how indeed for-you it-is-fated better than-father his-own
παῖδα τεκεῖν· τῷ καί σε λιλαιόμενος μεθέηκεν,
son to-bear therefore also you desiring he-let-go

δείματι, μή τις ἑοῦ ἀντάξιος ἄλλος ἀνάσσοι
for-fear lest some of-him equal other should-rule
ἀθανάτων, ἀλλ᾽ αἰὲν ἑὸν κράτος εἰρύοιτο.
of-immortals but ever his-own power he-might-keep
805 αὐτὰρ ἐγὼ τὸν ἄριστον ἐπιχθονίων πόσιν εἶναι
but I the best of-earth-dwellers husband to-be
δῶκά τοι, ὄφρα γάμου θυμηδέος ἀντιάσειας,
gave to-you so-that marriage heart-pleasing you-might-meet
τέκνα τε φιτύσαιο· θεοὺς δ᾽ ἐς δαῖτ᾽ ἐκάλεσσα
children and might-beget gods and to feast I-called
πάντας ὁμῶς· αὐτὴ δὲ σέλας χείρεσσιν ἀνέσχον
all alike myself and torch in-hands held-up
νυμφίδιον, κείνης ἀγανόφρονος εἵνεκα τιμῆς.
bridal of-that gentle for-the-sake of-honor
810 ἀλλ᾽ ἄγε καί τινά τοι νημερτέα μῦθον ἐνίψω.
but come and some to-you truthful word I-will-tell
εὖτ᾽ ἂν ἐς Ἠλύσιον πεδίον τεὸς υἱὸς ἵκηται,
when — to Elysian plain your son comes
ὃν δὴ νῦν Χείρωνος ἐν ἤθεσι Κενταύροιο
whom indeed now of-Chiron in abodes of-Centaur
νηιάδες κομέουσι τεοῦ λίπτοντα γάλακτος,
naiads tend your longing-for milk
χρειώ μιν κούρης πόσιν ἔμμεναι Αἰήταο
fated him of-maiden husband to-be of-Aeetes
815 Μηδείης· σὺ δ᾽ ἄρηγε νυῷ ἑκυρή περ ἐοῦσα,
of-Medea you and help daughter-in-law mother-in-law though being
ἠδ᾽ αὐτῷ Πηλῆι. τί τοι χόλος ἐστήρικται;
and himself Peleus why for-you wrath is-fixed
ἀάσθη. καὶ γάρ τε θεοὺς ἐπινίσσεται ἄτη.
he-erred also for — gods comes-upon ruin

ναὶ μὲν ἐφημοσύνῃσιν ἐμαῖς Ἥφαιστον οἰόω
yes indeed by-commands my Hephaestus I-think
λωφήσειν πρήσοντα πυρὸς μένος, Ἱπποτάδην δὲ
to-be-going-to-cease kindling of-fire the-might son-of-Hippotes and
Αἴολον ὠκείας ἀνέμων ἄικας ἐρύξειν,
Aeolus swift of-winds rushes to-be-going-to-check
νόσφιν ἐυσταθέος ζεφύρου, τείως κεν ἵκωνται
apart-from steady of-west-wind until — they-come
Φαιήκων λιμένας· σὺ δ᾽ ἀκηδέα μήδεο νόστον.
of-Phaeacians to-harbors you and carefree devise return
δεῖμα δέ τοι πέτραι καὶ ὑπέρβια κύματ᾽ ἔασιν
fear and to-you the-rocks and overweening waves are
μοῦνον, ἅ κεν τρέψαιο κασιγνήτῃσι σὺν ἄλλαις.
only which — you-may-turn sisters with others
μηδὲ σύγ᾽ ἠὲ Χάρυβδιν ἀμηχανέοντας ἐάσῃς
nor you either into-Charybdis helpless let
ἐσβαλέειν, μὴ πάντας ἀναβρόξασα φέρῃσιν,
to-fall lest all swallowing she-carry
ἠὲ παρὰ Σκύλλης στυγερὸν κευθμῶνα νέεσθαι,
or past of-Scylla hateful lair to-go
Σκύλλης Αὐσονίης ὀλοόφρονος, ἣν τέκε Φόρκυι
Scylla Ausonian baneful-minded whom bore to-Phorcys
νυκτιπόλος Ἑκάτη, τήν τε κλείουσι Κράταιιν,
night-wandering Hecate whom — they-call Crataeis
μή πως σμερδαλέῃσιν ἐπαΐξασα γένυσσιν
lest somehow with-terrible having-rushed with-jaws
λεκτοὺς ἡρώων δηλήσεται. ἀλλ᾽ ἔχε νῆα
chosen of-heroes she-harm but keep ship
κεῖσ᾽, ὅθι περ τυτθή γε παραίβασις ἔσσετ᾽ ὀλέθρου.᾽᾽
there where indeed little indeed escape will-be from-destruction

Ὣς φάτο· τὴν δὲ Θέτις τοίῳ προσελέξατο μύθῳ·
So she-spoke her and Thetis with-such addressed word
"Εἰ μὲν δὴ μαλεροῖο πυρὸς μένος ἠδὲ θύελλαι
If indeed truly of-raging fire the-might and storms
ζαχρηεῖς λήξουσιν ἐτήτυμον, ἦ τ' ἂν ἔγωγε
violent will-cease truly truly — — I
θαρσαλέη φαίην, καὶ κύματος ἀντιόωντος
boldly would-say even of-wave meeting
νῆα σαωσέμεναι, ζεφύρου λίγα κινυμένοιο.
ship to-be-going-to-save of-west-wind clearly moving
ἀλλ' ὥρη δολιχήν τε καὶ ἄσπετον οἶμον ὁδεύειν,
but time long both and boundless way to-travel
ὄφρα κασιγνήτας μετελεύσομαι, αἵ μοι ἀρωγοὶ
so-that sisters I-may-go-to who for-me helpers
ἔσσονται, καὶ νηὸς ὅθι πρυμνήσι' ἀνῆπται,
will-be and of-ship where stern-cables are-fastened
ὥς κεν ὑπηῷοι μνησαίατο νόστον ἑλέσθαι."
so-that — at-dawn they-may-think-of return to-take
Ἦ, καὶ ἀναΐξασα κατ' αἰθέρος ἔμπεσε δίναις
She-spoke and having-sprung-up down from-air fell into-eddies
κυανέου πόντοιο· κάλει δ' ἐπαμυνέμεν ἄλλας
of-dark sea called and to-help others
αὐτοκασιγνήτας Νηρηίδας· αἱ δ' ἀίουσαι
own-sisters Nereids they and hearing
ἤντεον ἀλλήλῃσι· Θέτις δ' ἀγόρευεν ἐφετμὰς
met one-another Thetis and told the-commands
Ἥρης· αἶψα δ' ἴαλλε μετ' Αὐσονίην ἅλα πάσας.
of-Hera quickly and sent to Ausonian sea all

αὐτὴ δ᾽ ὠκυτέρη ἀμαρύγματος ἠὲ βολάων
herself and swifter than-a-flash or than-rays
ἠελίου, ὅτ᾽ ἄνεισι περαίης ὑψόθι γαίης,
of-sun when it-rises from-the-opposite high land
σεύατ᾽ ἴμεν λαιψηρὰ δι᾽ ὕδατος, ἔστ᾽ ἀφίκανεν
rushed to-go swiftly through water until she-reached
ἀκτὴν Αἰαίην Τυρσηνίδος ἠπείροιο.
shore Aeaean of-Tyrrhenian mainland
τοὺς δ᾽ εὗρεν παρὰ νηὶ σόλῳ ῥιπῇσί τ᾽ ὀιστῶν
them and she-found by ship with-quoit with-throws and of-arrows
τερπομένους· ἡ δ᾽ ἆσσον ὀρεξαμένη χερὸς ἄκρης
delighting she and near reaching hand's tip
Αἰακίδεω Πηλῆος· ὁ γάρ ῥά οἱ ἦεν ἀκοίτης·
of-the-son-of-Aeacus Peleus he for then to-her was husband
οὐδέ τις εἰσιδέειν δύνατ᾽ ἔμπεδον, ἀλλ᾽ ἄρα τῷγε
nor any to-see was-able clearly but then to-him
οἴῳ ἐν ὀφθαλμοῖσιν ἐείσατο, φώνησέν τε·
alone to eyes appeared spoke and
"Μηκέτι νῦν ἀκταῖς Τυρσηνίσιν ἧσθε μένοντες,
No-longer now on-shores Tyrrhenian sit remaining
ἠῶθεν δὲ θοῆς πρυμνήσια λύετε νηός,
at-dawn and of-swift cables loose of-ship
Ἥρῃ πειθόμενοι ἐπαρηγόνι. τῆς γὰρ ἐφετμῇς
to-Hera obeying helper her for by-commands
πασσυδίῃ κοῦραι Νηρηίδες ἀντιόωσιν,
in-a-body maidens Nereids meet
νῆα διὲκ πέτρας, αἵ τε Πλαγκταὶ καλέονται,
ship through rocks which — Wandering are-called
ῥυσόμεναι. κείνη γὰρ ἐναίσιμος ὔμμι κέλευθος.
to-be-going-to-rescue that for fitting for-you path

ἀλλὰ σὺ μή τῳ ἐμὸν δείξῃς δέμας, εὖτ' ἂν ἴδηαι
but you not to-any my show body when — you-see
ἀντομένην σὺν τῇσι· νόῳ δ' ἔχε, μή με χολώσῃς
meeting with them in-mind and keep lest me you-anger
πλεῖον ἔτ', ἢ τὸ πάροιθεν ἀπηλεγέως ἐχόλωσας."
more still than the before recklessly you-angered
Ἦ, καὶ ἔπειτ' ἀΐδηλος ἐδύσατο βένθεα πόντου·
She-spoke and then unseen plunged-into depths of-sea
τὸν δ' ἄχος αἰνὸν ἔτυψεν, ἐπεὶ πάρος οὐκέτ' ἰοῦσαν
him and grief dread struck since before no-longer coming
ἔδρακεν, ἐξότε πρῶτα λίπεν θάλαμόν τε καὶ εὐνὴν
he-saw since first she-left chamber both and bed
χωσαμένη Ἀχιλῆος ἀγαυοῦ νηπιάχοντος.
angered on-account-of-Achilles noble being-an-infant
ἡ μὲν γὰρ βροτέας αἰεὶ περὶ σάρκας ἔδαιεν
she indeed for mortal ever around flesh burned
νύκτα διὰ μέσσην φλογμῷ πυρός· ἤματα δ' αὖτε
night through mid with-blaze of-fire days and in-turn
ἀμβροσίῃ χρίεσκε τέρεν δέμας, ὄφρα πέλοιτο
with-ambrosia anointed tender body so-that he-might-be
ἀθάνατος, καί οἱ στυγερὸν χροὶ γῆρας ἀλάλκοι.
immortal and for-him hateful from-skin old-age ward-off
αὐτὰρ ὅγ' ἐξ εὐνῆς ἀναπάλμενος εἰσενόησεν
but he from bed leaping-up saw
παῖδα φίλον σπαίροντα διὰ φλογός· ἧκε δ' ἀυτὴν
son dear gasping through flame sent and cry
σμερδαλέην ἐσιδών, μέγα νήπιος· ἡ δ' ἀίουσα
dread having-seen great fool she and hearing
τὸν μὲν ἄρ' ἁρπάγδην χαμάδις βάλε κεκληγῶτα,
him indeed then snatching to-the-ground threw shrieking

αὐτὴ δὲ πνοιῇ ἰκέλη δέμας, ἠύτ᾽ ὄνειρος,
herself and to-breath like in-body as dream
βῆ ῥ᾽ ἴμεν ἐκ μεγάροιο θοῶς, καὶ ἐσήλατο πόντον
went then to-go from hall swiftly and leaped-into sea
χωσαμένη· μετὰ δ᾽ οὔτι παλίσσυτος ἵκετ᾽ ὀπίσσω.
angered after and not-at-all back came again
τῶ μιν ἀμηχανίη δῆσεν φρένας· ἀλλὰ καὶ ἔμπης
therefore him helplessness bound in-heart but even nevertheless
πᾶσαν ἐφημοσύνην Θέτιδος μετέειπεν ἑταίροις.
all the-command of-Thetis he-told to-comrades
οἱ δ᾽ ἄρα μεσσηγὺς λῆξαν καὶ ἔπαυσαν ἀέθλους
they and then in-the-midst ceased and stopped the-contests
ἐσσυμένως, δόρπον τε χαμεύνας τ᾽ ἀμφεπένοντο,
hastily supper both beds-on-ground and prepared
τῆς ἔνι δαισάμενοι νύκτ᾽ ἄεσαν, ὡς τὸ πάροιθεν.
which in having-feasted night slept as the before

IV.8 · THE SIRENS AND THE WANDERING ROCKS

The heroes pass the Sirens, whose song Orpheus drowns with his lyre, though Butes leaps overboard and is saved by Cypris. They pass Scylla and Charybdis and come to the Wandering Rocks, where Thetis and the Nereids toss the Argo from wave to wave like girls playing ball, while Hephaestus and Hera watch. They pass the meadow where the cattle of Helios graze.

Ἦμος δ᾽ ἄκρον ἔβαλλε φαεσφόρος οὐρανὸν Ἠώς,
When and top struck light-bringing heaven Dawn
δὴ τότε λαιψηροῖο κατηλυσίῃ ζεφύροιο
indeed then of-swift at-the-coming-down of-west-wind
βαῖνον ἐπὶ κληῖδας ἀπὸ χθονός· ἐκ δὲ βυθοῖο
went on benches from land out and from-the-deep

εὐναίας εἶλκον περιγηθέες ἄλλα τε πάντα
anchors drew rejoicing others and all
ἄρμενα μηρύοντο κατὰ χρέος· ὕψι δὲ λαῖφος
tackle hauled according-to need high and sail
εἴρυσσαν τανύσαντες ἐν ἱμάντεσσι κεραίης.
drew stretching in thongs of-yard
νῆα δ' ἐυκραὴς ἄνεμος φέρεν. αἶψα δὲ νῆσον
ship and well-tempered wind bore quickly and island
καλήν, Ἀνθεμόεσσαν ἐσέδρακον, ἔνθα λίγειαι
fair Anthemoessa they-saw where clear
Σειρῆνες σίνοντ' Ἀχελωίδες ἡδείῃσιν
Sirens harmed daughters-of-Achelous with-sweet
θέλγουσαι μολπῇσιν, ὅτις παρὰ πεῖσμα βάλοιτο.
charming songs whoever beside cable should-cast
τὰς μὲν ἄρ' εὐειδὴς Ἀχελωίῳ εὐνηθεῖσα
them indeed then fair with-Achelous having-lain
γείνατο Τερψιχόρη, Μουσέων μία· καί ποτε Δηοῦς
bore Terpsichore of-Muses one and once of-Deo
θυγατέρ' ἰφθίμην ἀδμῆτ' ἔτι πορσαίνεσκον
daughter mighty unwed still they-tended
ἄμμιγα μελπόμεναι· τότε δ' ἄλλο μὲν οἰωνοῖσιν,
together singing then and partly indeed to-birds
ἄλλο δὲ παρθενικῇς ἐναλίγκιαι ἔσκον ἰδέσθαι.
partly and to-maidens like they-were to-see
αἰεὶ δ' εὐόρμου δεδοκημέναι ἐκ περιωπῆς
ever and of-good-anchorage watching from lookout
ἦ θαμὰ δὴ πολέων μελιηδέα νόστον ἔλοντο,
truly often indeed of-many honey-sweet return took

τηκεδόνι φθινύθουσαι· ἀπηλεγέως δ' ἄρα καὶ τοῖς
with-wasting consuming bluntly and then also to-them
ἵεσαν ἐκ στομάτων ὄπα λείριον. οἱ δ' ἀπὸ νηὸς
sent from mouths voice lily-like they and from ship
ἤδη πείσματ' ἔμελλον ἐπ' ἠιόνεσσι βαλέσθαι,
already cables were-about on shores to-cast
εἰ μὴ ἄρ' Οἰάγροιο πάις Θρηίκιος Ὀρφεὺς
if not then of-Oeagrus son Thracian Orpheus
Βιστονίην ἐνὶ χερσὶν ἑαῖς φόρμιγγα τανύσσας
Bistonian in hands his lyre having-strung
κραιπνὸν ἐυτροχάλοιο μέλος κανάχησεν ἀοιδῆς,
swift of-tripping tune rang of-song
ὄφρ' ἅμυδις κλονέοντος ἐπιβρομέωνται ἀκουαὶ
so-that together of-the-thrumming may-be-filled ears
κρεγμῷ· παρθενικὴν δ' ἐνοπὴν ἐβιήσατο φόρμιγξ.
with-the-strumming maidenly and voice overpowered lyre
νῆα δ' ὁμοῦ ζέφυρός τε καὶ ἠχῆεν φέρε κῦμα
ship and together west-wind both and echoing bore wave
πρυμνόθεν ὀρνύμενον· ταὶ δ' ἄκριτον ἴεσαν αὐδήν.
from-the-stern rising they and indistinct sent voice
ἀλλὰ καὶ ὣς Τελέοντος ἐὺς πάις, οἷος ἑταίρων
but even so of-Teleon noble son alone of-comrades
προφθάμενος, ξεστοῖο κατὰ ζυγοῦ ἔνθορε πόντῳ
anticipating polished from bench leapt into-sea
Βούτης, Σειρήνων λιγυρῇ ὀπὶ θυμὸν ἰανθείς·
Butes of-Sirens by-clear voice in-heart warmed
νῆχε δὲ πορφυρέοιο δι' οἴδματος, ὄφρ' ἐπιβαίη,
swam and of-dark through swell so-that he-might-land
σχέτλιος. ἦ τέ οἱ αἶψα καταυτόθι νόστον ἀπηύρων,
wretched truly — from-him quickly there return they-took

ἀλλά μιν οἰκτείρασα θεὰ Ἔρυκος μεδέουσα
but him pitying goddess of-Eryx ruling
Κύπρις ἔτ' ἐν δίναις ἀνερέψατο, καί ῥ' ἐσάωσεν
Cypris still in eddies snatched-up and then saved
πρόφρων ἀντομένη Λιλυβηίδα ναιέμεν ἄκρην.
gladly meeting Lilybaean to-dwell-on headland
οἱ δ' ἄχεϊ σχόμενοι τὰς μὲν λίπον, ἄλλα δ' ὄπαζον
they and by-grief held them indeed left others and offered
κύντερα μιξοδίῃσιν ἁλὸς ῥαιστήρια νηῶν.
more-dreadful in-the-meeting-places of-sea destroyers of-ships
τῇ μὲν γὰρ Σκύλλης λισσὴ προυφαίνετο πέτρη·
on-one-side indeed for of-Scylla smooth appeared rock
τῇ δ' ἄμοτον βοάασκεν ἀναβλύζουσα Χάρυβδις·
on-the-other and unceasingly roared spouting Charybdis
ἄλλοθι δὲ Πλαγκταὶ μεγάλῳ ὑπὸ κύματι πέτραι
elsewhere and Wandering great under wave rocks
ῥόχθεον, ἦχι πάροιθεν ἀπέπτυεν αἰθομένη φλὸξ
roared where before spat-out blazing flame
ἄκρων ἐκ σκοπέλων, πυριθαλπέος ὑψόθι πέτρης,
topmost from crags fire-hot above rock
καπνῷ δ' ἀχλυόεις αἰθὴρ πέλεν, οὐδέ κεν αὐγὰς
with-smoke and misty air was nor — rays
ἔδρακες ἠελίοιο. τότ' αὖ λήξαντος ἀπ' ἔργων
would-you-have-seen of-sun then in-turn having-ceased from works
Ἡφαίστου θερμὴν ἔτι κήκιε πόντος ἀυτμήν.
of-Hephaestus hot still sent-up sea breath

ἔνθα σφιν κοῦραι Νηρηίδες ἄλλοθεν ἄλλαι
there to-them maidens Nereids from-one-side another
ἤντεον· ἡ δ' ὄπιθεν πτέρυγος θίγε πηδαλίοιο
met she and behind of-the-blade touched of-the-rudder
δῖα Θέτις, Πλαγκτῇσιν ἐνὶ σπιλάδεσσιν ἐρύσσαι.
divine Thetis Wandering among crags to-guard
ὡς δ' ὁπόταν δελφῖνες ὑπὲξ ἁλὸς εὐδιόωντες
as and when dolphins from-out-of sea in-fair-weather
σπερχομένην ἀγεληδὸν ἑλίσσωνται περὶ νῆα,
speeding in-schools whirl around ship
ἄλλοτε μὲν προπάροιθεν ὁρώμενοι, ἄλλοτ' ὄπισθεν,
at-one-time indeed in-front seen at-another behind
ἄλλοτε παρβολάδην, ναύτῃσι δὲ χάρμα τέτυκται·
at-another alongside to-sailors and joy is
ὣς αἱ ὑπεκπροθέουσαι ἐπήτριμοι εἱλίσσοντο
so they darting-forward close-set whirled
Ἀργῴῃ περὶ νηί, Θέτις δ' ἴθυνε κέλευθον.
Argo around ship Thetis and steered path
καί ῥ' ὅτε δὴ Πλαγκτῇσιν ἐνιχρίμψεσθαι ἔμελλον,
and then when indeed to-the-Wandering to-touch they-were-about
αὐτίκ' ἀνασχόμεναι λευκοῖς ἐπὶ γούνασι πέζας,
at-once raising white on knees hems
ὑψοῦ ἐπ' αὐτάων σπιλάδων καὶ κύματος ἀγῆς
high on the-very crags and of-wave breaking
ῥώοντ' ἔνθα καὶ ἔνθα διασταδὸν ἀλλήλῃσιν.
rushed here and there apart from-one-another
τὴν δὲ παρηορίην κόπτεν ῥόος· ἀμφὶ δὲ κῦμα
her and sideways struck current around and wave
λάβρον ἀειρόμενον πέτραις ἐπικαχλάζεσκεν,
fierce rising on-rocks splashed

αἵ θ' ὁτὲ μὲν κρημνοῖς ἐναλίγκιαι ἠέρι κῦρον,
which — sometimes indeed to-cliffs like in-air reached
ἄλλοτε δὲ βρύχιαι νεάτῳ ὑπὸ πυθμένι πόντου
at-another and submerged lowest under bottom of-sea
ἠρήρειν, τὸ δὲ πολλὸν ὑπείρεχεν ἄγριον οἶδμα.
were-fixed the and much overtopped wild swell
αἱ δ', ὥστ' ἠμαθόεντος ἐπισχεδὸν αἰγιαλοῖο
they and as of-sandy near beach
παρθενικαί, δίχα κόλπον ἐπ' ἰξύας εἰλίξασαι,
maidens apart bosom at waists rolling
σφαίρῃ ἀθύρουσιν περιηγέι· αἱ μὲν ἔπειτα
with-ball play round they indeed then
ἄλλη ὑπ' ἐξ ἄλλης δέχεται καὶ ἐς ἠέρα πέμπει
one up from other receives and into air sends
ὕψι μεταχρονίην· ἡ δ' οὔποτε πίλναται οὔδει·
high aloft it and never touches ground
ὣς αἱ νῆα θέουσαν ἀμοιβαδὶς ἄλλοθεν ἄλλη
so they ship running in-turn from-one-side another
πέμπε διηερίην ἐπὶ κύμασιν, αἰὲν ἄπωθεν
sent through-air on waves ever far-off
πετράων· περὶ δέ σφιν ἐρευγόμενον ζέεν ὕδωρ.
from-rocks around and them belching boiled water
τὰς δὲ καὶ αὐτὸς ἄναξ κορυφῆς ἔπι λισσάδος ἄκρης
them and also himself the-lord of-peak on smooth topmost
ὀρθὸς ἐπὶ στελεῇ τυπίδος βαρὺν ὦμον ἐρείσας
upright on handle of-hammer heavy shoulder leaning

Ἥφαιστος θηεῖτο, καὶ αἰγλήεντος ὕπερθεν
Hephaestus gazed-at and gleaming above
οὐρανοῦ ἑστηυῖα Διὸς δάμαρ· ἀμφὶ δ' Ἀθήνῃ
heaven standing of-Zeus wife around and Athena
βάλλε χέρας, τοῖόν μιν ἔχεν δέος εἰσορόωσαν.
threw hands such her held fear seeing
ὅσση δ' εἰαρινοῦ μηκύνεται ἤματος αἶσα,
as-much and of-spring is-lengthened of-day portion
τοσσάτιον μογέεσκον ἐπὶ χρόνον, ὀχλίζουσαι
so-long toiled for time heaving
νῆα διὲκ πέτρας πολυηχέας· οἱ δ' ἀνέμοιο
ship through rocks much-echoing they and of-wind
αὖτις ἐπαυρόμενοι προτέρω θέον· ὦκα δ' ἄμειβον
again having-caught forward ran quickly and passed
Θρινακίης λειμῶνα, βοῶν τροφὸν Ἠελίοιο.
of-Thrinacia meadow of-oxen nurse of-Helios
ἔνθ' αἱ μὲν κατὰ βένθος ἀλίγκιαι αἰθυίῃσιν
there they indeed down depth like to-gulls
δῦνον, ἐπεί ῥ' ἀλόχοιο Διὸς πόρσυνον ἐφετμάς.
dived when then of-the-wife of-Zeus they-accomplished the-commands
τοὺς δ' ἄμυδις βληχή τε δι' ἠέρος ἵκετο μήλων,
them and together bleating both through air came of-sheep
μυκηθμός τε βοῶν αὐτοσχεδὸν οὔατ' ἔβαλλεν.
lowing and of-oxen straightway ears struck
καὶ τὰ μὲν ἑρσήεντα κατὰ δρία ποιμαίνεσκεν
and them indeed dewy through thickets tended
ὁπλοτέρη Φαέθουσα θυγατρῶν Ἠελίοιο,
younger Phaethusa of-daughters of-Helios
ἀργύρεον χαῖον παλάμῃ ἔνι πηχύνουσα·
silver crook hand in holding

Λαμπετίη δ' ἐπὶ βουσὶν ὀρειχάλκοιο φαεινοῦ
Lampetia and among oxen of-mountain-copper bright
πάλλεν ὀπηδεύουσα καλαύροπα. τὰς δὲ καὶ αὐτοὶ
wielded following staff them and also themselves
βοσκομένας ποταμοῖο παρ' ὕδασιν εἰσορόωντο
grazing of-river by waters they-saw
ἂμ πεδίον καὶ ἕλος λειμώνιον· οὐδέ τις ἦεν
over plain and marsh meadowy nor any was
κυανέη μετὰ τῇσι δέμας, πᾶσαι δὲ γάλακτι
dark among them in-body all and to-milk
εἰδόμεναι, χρυσέοις κεράεσσιν κυδιάασκον.
like with-golden with-horns exulting
καὶ μὲν τὰς παράμειβον ἐπ' ἤματι· νυκτὶ δ' ἰούσῃ
and indeed them they-passed by day by-night and coming
πεῖρον ἁλὸς μέγα λαῖτμα κεχαρμένοι, ὄφρα καὶ αὖτις
they-cut of-sea great gulf rejoicing until also again
Ἠὼς ἠριγενὴς φέγγος βάλε νισσομένοισιν.
Dawn early-born light cast for-the-going-ones

The heroes reach Drepane, the island of the Phaeacians, and are welcomed by Alcinous. The Colchian fleet arrives and demands Medea. Medea supplicates Arete and the heroes. At night Arete persuades Alcinous, who resolves that if Medea is still a maiden she must return to her father, but if married she shall stay with her husband. Arete secretly sends her herald to tell Jason of the judgment and urge the marriage, and the heroes marry Jason and Medea that night in the sacred cave of Macris.

Ἔστι δέ τις πορθμοῖο παροιτέρη Ἰονίοιο
There-is and a of-the-strait in-front of-Ionian
ἀμφιλαφὴς πίειρα Κεραυνίῃ εἰν ἁλὶ νῆσος,
abundant rich Ceraunian in sea island
ἣ ὕπο δὴ κεῖσθαι δρέπανον φάτις — ἵλατε Μοῦσαι,
which under indeed to-lie sickle the-report be-gracious Muses
οὐκ ἐθέλων ἐνέπω προτέρων ἔπος — ᾧ ἀπὸ πατρὸς 985
not willing I-tell of-earlier-men word with-which from father
μήδεα νηλειῶς ἔταμεν Κρόνος· οἱ δέ ἑ Δηοῦς
genitals pitilessly cut Cronus others and it of-Deo
κλείουσι χθονίης καλαμητόμον ἔμμεναι ἅρπην.
call of-the-underworld reaping to-be hook
Δηὼ γὰρ κείνῃ ἐνὶ δή ποτε νάσσατο γαίῃ,
Deo for that in indeed once dwelt land
Τιτῆνας δ' ἔδαε στάχυν ὄμπνιον ἀμήσασθαι,
Titans and taught ear rich to-reap

Μάκριδα φιλαμένη. Δρεπάνη τόθεν ἐκλήισται
Macris loving Drepane thence is-called
οὔνομα, Φαιήκων ἱερὴ τροφός· ὣς δὲ καὶ αὐτοὶ
by-name of-Phaeacians sacred nurse so and also themselves
αἵματος Οὐρανίοιο γένος Φαίηκες ἔασιν.
of-blood Uranian race Phaeacians are
τοὺς Ἀργὼ πολέεσσιν ἐνισχομένη καμάτοισιν
them Argo by-many held-back by-toils
Θρινακίης αὔρῃς ἵκετ' ἐξ ἁλός· οἱ δ' ἀγανῇσιν
of-Thrinacia by-the-breezes reached from sea they and with-gentle
Ἀλκίνοος λαοί τε θυηπολίῃσιν ἰόντας
Alcinous peoples and with-sacrifices the-comers
δειδέχατ' ἀσπασίως· ἐπὶ δέ σφισι καγχαλάασκεν
welcomed gladly over and them exulted
πᾶσα πόλις· φαίης κεν ἑοῖς ἐπὶ παισὶ γάνυσθαι.
all city you-would-say — their-own over sons to-rejoice
καὶ δ' αὐτοὶ ἥρωες ἀνὰ πληθὺν κεχάροντο,
and and themselves heroes through multitude rejoiced
τῷ ἴκελοι, οἷόν τε μεσαιτάτῃ ἐμβεβαῶτες
to-it like as-if — in-the-middle having-set-foot
Αἱμονίῃ· μέλλον δὲ βοῇ ἔνι θωρήξεσθαι·
in-Haemonia they-were-about and battle in to-arm
ὧδε μάλ' ἀγχίμολον στρατὸς ἄσπετος ἐξεφαάνθη
so very near host boundless appeared
Κόλχων, οἳ Πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας
of-Colchians who of-Pontus through mouth and through rocks
Κυανέας μαστῆρες ἀριστήων ἐπέρησαν.
Cyanean searchers of-chiefs passed

Μήδειαν δ' ἔξαιτον ἑοῦ ἐς πατρὸς ἄγεσθαι
Medea and given-up her-own to of-father to-take
ἵεντ' ἀπροφάτως, ἠὲ στονόεσσαν ἀυτὴν
they-desired unexpectedly or grievous battle-cry
νωμήσειν χαλεπῇσιν ὁμόκλεον ἀτροπίῃσιν
to-ply with-harsh threatened with-cruelties
αὖθί τε καὶ μετέπειτα σὺν Αἰήταο κελεύθῳ.
there both and afterward with of-Aeetes expedition
ἀλλά σφεας κατέρυκεν ἐπειγομένους πολέμοιο
but them held-back eager for-war
κρείων Ἀλκίνοος. λελίητο γὰρ ἀμφοτέροισιν
lord Alcinous he-desired for for-both
δηιοτῆτος ἄνευθεν ὑπέρβια νείκεα λῦσαι.
of-battle without overweening quarrels to-loose
κούρη δ' οὐλομένῳ ὑπὸ δείματι πολλὰ μὲν αὐτοὺς
the-maiden and baneful under fear often indeed them
Αἰσονίδεω ἑτάρους μειλίσσετο, πολλὰ δὲ χερσὶν
of-the-son-of-Aeson comrades besought often and with-hands
Ἀρήτης γούνων ἁλόχου θίγεν Ἀλκινόοιο·
of-Arete knees of-the-wife touched of-Alcinous
"Γουνοῦμαι, βασίλεια· σὺ δ' ἵλαθι, μηδέ με Κόλχοις
I-supplicate queen you and be-gracious nor me to-Colchians
ἐκδώῃς ᾧ πατρὶ κομιζέμεν, εἴ νυ καὶ αὐτὴ
hand-over to-her-own to-father to-be-taken if now also yourself
ἀνθρώπων γενεῆς μία φέρβεαι, οἷσιν ἐς ἄτην
of-men of-the-race one are-fed of-whom to ruin
ὠκύτατος κούφῃσι θέει νόος ἀμπλακίῃσιν.
most-swiftly with-light runs mind with-errors

ὡς ἐμοὶ ἐκ πυκιναὶ ἔπεσον φρένες, οὐ μὲν ἔκητι
as for-me from shrewd fell wits not indeed for-the-sake
μαργοσύνης. ἴστω δ' ἱερὸν φάος Ἠελίοιο,
of-wantonness let-know and holy light of-Helios
ἴστω νυκτιπόλου Περσηίδος ὄργια κούρης,
let-know of-the-night-wandering daughter-of-Perses the-rites of-the-maiden
μὴ μὲν ἐγὼν ἐθέλουσα σὺν ἀνδράσιν ἀλλοδαποῖσιν
not indeed I willing with men foreign
κεῖθεν ἀφωρμήθην· στυγερὸν δέ με τάρβος ἔπεισεν
from-there set-out hateful and me fear persuaded
τῆσγε φυγῆς μνήσασθαι, ὅτ' ἤλιτον· οὐδέ τις ἄλλη
of-this flight to-think when I-erred nor any other
μῆτις ἔην. ἔτι μοι μίτρη μένει, ὡς ἐνὶ πατρὸς
plan was still for-me girdle remains as in of-father
δώμασιν, ἄχραντος καὶ ἀκήρατος. ἀλλ' ἐλέαιρε,
house unsullied and unharmed but pity
πότνα, τεόν τε πόσιν μειλίσσεο· σοὶ δ' ὀπάσειαν
lady your and husband appease to-you and may-grant
ἀθάνατοι βίοτόν τε τελεσφόρον ἀγλαΐην τε
immortals life both fulfilled splendor and
καὶ παῖδας καὶ κῦδος ἀπορθήτοιο πόληος."
and children and glory of-unsacked city
Τοῖα μὲν Ἀρήτην γουνάζετο δάκρυ χέουσα·
Such-things indeed Arete she-besought tear shedding
τοῖα δ' ἀριστήων ἐναμοιβαδὶς ἄνδρα ἕκαστον·
such and of-chiefs in-turn man each
"Ὑμέων, ὦ πέρι δὴ μέγα φέρτατοι, ἀμφί τ' ἀέθλοις
For-you O above indeed greatly mightiest about and contests
†τοὔνεκεν† ὑμετέροισιν, ἀτύζομαι· ἧς ἰότητι
(corrupt)-for-the-sake your I-am-distraught by-whose will

ταύρους τ᾽ ἐζεύξασθε, καὶ ἐκ θέρος οὐλοὸν ἀνδρῶν
bulls both you-yoked and from harvest baneful of-men
κείρατε γηγενέων· ἧς εἵνεκεν Αἱμονίηνδε
you-reaped of-earthborn for-whose sake to-Haemonia
χρύσεον αὐτίκα κῶας ἀνάξετε νοστήσαντες.
golden at-once fleece you-will-bring returning
ἥδ᾽ ἐγώ, ἣ πάτρην τε καὶ οὓς ὤλεσσα τοκῆας,
this I who fatherland both and my I-lost parents
ἣ δόμον, ἣ σύμπασαν ἐυφροσύνην βιότοιο·
who house who all gladness of-life
ὔμμι δὲ καὶ πάτρην καὶ δώματα ναιέμεν αὖτις
for-you and both fatherland and halls to-dwell again
ἤνυσα· καὶ γλυκεροῖσιν ἔτ᾽ εἰσόψεσθε τοκῆας
I-accomplished and with-sweet still you-will-see parents
ὄμμασιν· αὐτὰρ ἐμοὶ ἀπὸ δὴ βαρὺς εἵλετο δαίμων
with-eyes but from-me away indeed heavy took deity
ἀγλαΐας· στυγερὴ δὲ σὺν ὀθνείοις ἀλάλημαι.
splendors hateful and with foreign I-wander
δείσατε συνθεσίας τε καὶ ὅρκια, δείσατ᾽ Ἐρινὺν
fear compacts both and oaths fear Fury
Ἱκεσίην, νέμεσίν τε θεῶν, ἐς χεῖρας ἰοῦσαν
Suppliant's retribution and of-gods into hands coming
Αἰήτεω λώβῃ πολυπήμονι δῃωθῆναι.
of-Aeetes by-outrage much-afflicting to-be-slain
οὐ νηούς, οὐ πύργον ἐπίρροθον, οὐκ ἀλεωρὴν
not temples not tower helpful not refuge
ἄλλην, οἰόθι δὲ προτιβάλλομαι ὑμέας αὐτούς.
other alone and I-cast-myself-before you yourselves

σχέτλιοι ἀτροπίης καὶ ἀνηλέες· οὐδ' ἐνὶ θυμῷ
cruel in-hardness and pitiless nor in heart
αἰδεῖσθε ξείνης μ' ἐπὶ γούνατα χεῖρας ἀνάσσης
are-you-ashamed of-a-foreign me to knees hands of-queen
δερκόμενοι τείνουσαν ἀμήχανον· ἀλλά κε πᾶσιν,
seeing stretching helpless but — with-all
κῶας ἑλεῖν μεμαῶτες, ἐμίξατε δούρατα Κόλχοις
fleece to-take eager you-would-have-mingled spears with-Colchians
αὐτῷ τ' Αἰήτῃ ὑπερήνορι· νῦν δ' ἐλάθεσθε
with-himself and Aeetes overweening now and you-have-forgotten
ἠνορέης, ὅτε μοῦνοι ἀποτμηγέντες ἔασιν."
manliness when alone cut-off they-are
Ὣς φάτο λισσομένη· τῶν δ' ὅντινα γουνάζοιτο,
So she-spoke beseeching of-them and whomever she-might-supplicate
ὅς μιν θαρσύνεσκεν ἐρητύων ἀχέουσαν.
he her encouraged restraining grieving
σεῖον δ' ἐγχείας εὐήκεας ἐν παλάμῃσιν,
brandished and spears sharp in hands
φάσγανά τ' ἐκ κολεῶν· οὐδὲ σχήσεσθαι ἀρωγῆς
swords and from scabbards nor to-be-going-to-withhold from-help
ἔννεπον, εἴ κε δίκης ἀλιτήμονος ἀντιάσειεν.
they-said if — of-judgment sinful she-should-meet
στρευγομένοις δ' ἀν' ὅμιλον ἐπήλυθεν εὐνήτειρα
being-worn and through throng came bedfellow
Νὺξ ἔργων ἄνδρεσσι, κατευκήλησε δὲ πᾶσαν
Night of-works for-men lulled and all
γαῖαν ὁμῶς· τὴν δ' οὔτι μίννυθά περ εὖνασεν ὕπνος,
land alike her and not-at-all little indeed lulled sleep
ἀλλά οἱ ἐν στέρνοις ἀχέων εἰλίσσετο θυμός.
but to-her in breast with-griefs whirled heart

οἷον ὅτε κλωστῆρα γυνὴ ταλαεργὸς ἑλίσσει
as when spindle woman toiling twists
ἐννυχίη· τῇ δ' ἀμφὶ κινύρεται ὀρφανὰ τέκνα
by-night her and around wail orphaned children
χηροσύνῃ πόσιος· σταλάει δ' ὑπὸ δάκρυ παρειὰς
for-widowhood of-husband drips and down tear cheeks
μνωομένης, οἵη μιν ἐπὶ σμυγερὴ λάβεν αἶσα·
remembering how her upon wretched took fate
ὣς τῆς ἰκμαίνοντο παρηίδες· ἐν δέ οἱ ἦτορ
so her were-wet cheeks in and her heart
ὀξείῃς εἰλεῖτο πεπαρμένον ἀμφ' ὀδύνῃσιν.
with-sharp was-wound pierced around with-pains
Τὼ δ' ἔντοσθε δόμοιο κατὰ πτόλιν, ὡς τὸ πάροιθεν,
The-two and within house in city as the before
κρείων Ἀλκίνοος πολυπότνιά τ' Ἀλκινόοιο
lord Alcinous much-honored and of-Alcinous
Ἀρήτη ἄλοχος, κούρης πέρι μητιάασκον
Arete wife the-maiden about were-devising
οἷσιν ἐνὶ λεχέεσσι διὰ κνέφας· οἷα δ' ἀκοίτην
their in beds through darkness as and husband
κουρίδιον θαλεροῖσι δάμαρ προσπτύσσετο μύθοις·
wedded vigorous wife embraced with-words
"Ναὶ φίλος, εἰ δ' ἄγε μοι πολυκηδέα ῥύεο Κόλχων
Yes friend if and come for-me ill-fated save from-Colchians
παρθενικήν, Μινύῃσι φέρων χάριν. ἐγγύθι δ' Ἄργος
maiden to-the-Minyae bringing favor near and Argos
ἡμετέρης νήσοιο καὶ ἀνέρες Αἱμονιῆες·
of-our island and men Haemonian

Αἰήτης δ' οὔτ' ἂρ ναίει σχεδόν, οὐδέ τι ἴδμεν
Aeetes and neither then dwells near nor anything do-we-know
Αἰήτην, ἀλλ' οἷον ἀκούομεν· ἥδε δὲ κούρη
Aeetes but only we-hear this and maiden
αἰνοπαθὴς κατά μοι νόον ἔκλασεν ἀντιόωσα.
dread-suffering in me heart broke beseeching
μή μιν, ἄναξ, Κόλχοισι πόροις ἐς πατρὸς ἄγεσθαι.
not her lord to-Colchians give to of-father to-be-taken
ἀάσθη, ὅτε πρῶτα βοῶν θελκτήρια δῶκεν
she-erred when first of-oxen charm gave
φάρμακά οἱ· σχεδόθεν δὲ κακῷ κακόν, οἷά τε πολλὰ
drugs to-him at-once and by-evil evil as — many
ῥέζομεν ἀμπλακίῃσιν, ἀκειομένη ὑπάλυξεν
we-do in-errors remedying she-escaped
πατρὸς ὑπερφιάλοιο βαρὺν χόλον. αὐτὰρ Ἰήσων,
of-father overweening heavy wrath but Jason
ὡς ἀΐω, μεγάλοισιν ἐνίσχεται ἐξ ἔθεν ὅρκοις,
as I-hear by-great is-held from himself by-oaths
κουριδίην θήσεσθαι ἐνὶ μεγάροισιν ἄκοιτιν,
wedded to-be-going-to-make in halls wife
τῶ, φίλε, μήτ' οὖν αὐτὸν ἑκὼν ἐπίορκον ὀμόσσαι
therefore dear neither then him willingly perjured to-swear
θείης Αἰσονίδην, μήτ' ἄσχετα σεῖο ἕκητι
make son-of-Aeson nor outrageous-things your for-the-sake
παῖδα πατὴρ θυμῷ κεκοτηότι δηλήσαιτο.
the-child father in-heart angered should-harm
λίην γὰρ δύσζηλοι ἑαῖς ἐπὶ παισὶ τοκῆες·
too for jealous their-own over children parents
οἷα μὲν Ἀντιόπην εὐώπιδα μήσατο Νυκτεύς·
as indeed against-Antiope fair-faced devised Nycteus

οἷα δὲ καὶ Δανάη πόντῳ ἔνι πήματ᾽ ἀνέτλη,
as and also Danae sea in woes endured
πατρὸς ἀτασθαλίῃσι· νέον γε μέν, οὐδ᾽ ἀποτηλοῦ,
of-father by-the-recklessness newly indeed indeed nor far-off
ὑβριστὴς Ἔχετος γλήναις ἔνι χάλκεα κέντρα
insolent Echetus eyeballs in bronze spikes
πῆξε θυγατρὸς ἑῆς· στονόεντι δὲ κάρφεται οἴτῳ
fixed of-daughter his-own with-grievous and wastes by-fate
ὀρφναίῃ ἐνὶ χαλκὸν ἀλετρεύουσα καλιῇ.” 1095
dark in bronze grinding granary
Ὣς ἔφατ᾽ ἀντομένη· τοῦ δὲ φρένες ἰαίνοντο
So she-spoke beseeching his and heart was-warmed
ἧς ἀλόχου μύθοισιν, ἔπος δ᾽ ἐπὶ τοῖον ἔειπεν·
his-own of-wife by-the-words word and upon such spoke
“ Ἀρήτη, καί κεν σὺν τεύχεσιν ἐξελάσαιμι
Arete even — with arms I-might-drive-out
Κόλχους, ἡρώεσσι φέρων χάριν, εἵνεκα κούρης.
Colchians to-the-heroes bringing favor for-the-sake of-the-maiden
ἀλλὰ Διὸς δείδοικα δίκην ἰθεῖαν ἀτίσσαι. 1100
but of-Zeus I-fear judgment straight to-dishonor
οὐδὲ μὲν Αἰήτην ἀθεριζέμεν, ὡς ἀγορεύεις,
nor indeed Aeetes to-slight as you-say
λώιον· οὐ γάρ τις βασιλεύτερος Αἰήταο.
better not for any more-kingly than-Aeetes
καί κ᾽ ἐθέλων, ἔκαθέν περ, ἐφ᾽ Ἑλλάδι νεῖκος ἄγοιτο.
and — willing from-afar though to Hellas strife he-might-bring
τῶ μ᾽ ἐπέοικε δίκην, ἥτις μετὰ πᾶσιν ἀρίστη
therefore me it-befits judgment which among all best
ἔσσεται ἀνθρώποισι, δικαζέμεν· οὐδέ σε κεύσω. 1105
will-be for-men to-judge nor you will-I-hide

παρθενικὴν μὲν ἐοῦσαν ἑῷ ἀπὸ πατρὶ κομίσσαι
the-maiden indeed if-being her-own back to-father to-take
ἰθύνω· λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
I-direct bed and with husband sharing
οὔ μιν ἑοῦ πόσιος νοσφίσσομαι· οὐδέ, γενέθλην
not her from-her-own husband I-will-part nor offspring
εἴ τιν' ὑπὸ σπλάγχνοισι φέρει, δῄοισιν ὀπάσσω."
if any under womb she-bears to-foes I-will-give
Ὣς ἄρ' ἔφη· καὶ τὸν μὲν ἐπισχεδὸν εὖνασεν ὕπνος.
So then he-spoke and him indeed straightway lulled sleep
ἡ δ' ἔπος ἐν θυμῷ πυκινὸν βάλετ'· αὐτίκα δ' ὦρτο
she and word in heart shrewd cast at-once and rose
ἐκ λεχέων ἀνὰ δῶμα· συνήιξαν δὲ γυναῖκες
from bed through house rushed-together and women
ἀμφίπολοι, δέσποιναν ἑὴν μέτα ποιπνύουσαι.
handmaids mistress their-own about bustling
σῖγα δ' ἑὸν κήρυκα καλεσσαμένη προσέειπεν,
silently and her-own herald having-called addressed
ᾗσιν ἐπιφροσύνῃσιν ἐποτρυνέουσα μιγῆναι
by-her-own by-wisdom to-be-going-to-urge to-mingle
Αἰσονίδην κούρῃ, μηδ' Ἀλκίνοον βασιλῆα
son-of-Aeson with-the-maiden nor Alcinous king
λίσσεσθαι· τὸ γὰρ αὐτὸς ἰὼν Κόλχοισι δικάσσει,
to-beseech this for himself going for-Colchians will-judge
παρθενικὴν μὲν ἐοῦσαν ἑοῦ ποτὶ δώματα πατρὸς
the-maiden indeed if-being of-her-own to house of-father
ἐκδώσειν, λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
to-be-going-to-hand-over bed and with husband sharing
οὐκέτι κουριδίης μιν ἀποτμήξειν φιλότητος.
no-longer from-wedded her to-be-going-to-sever from-love

Ὣς ἄρ᾽ ἔφη· τὸν δ᾽ αἶψα πόδες φέρον ἐκ μεγάροιο,
So then she-spoke him and quickly feet bore from hall
ὥς κεν Ἰήσονι μῦθον ἐναίσιμον ἀγγείλειεν
so-that — to-Jason word auspicious he-might-announce
Ἀρήτης βουλάς τε θεουδέος Ἀλκινόοιο.
of-Arete counsels and of-god-fearing Alcinous
τοὺς δ᾽ εὗρεν παρὰ νηὶ σὺν ἔντεσιν ἐγρήσσοντας
them and he-found by ship with arms awake
Ὑλλικῷ ἐν λιμένι, σχεδὸν ἄστεος· ἐκ δ᾽ ἄρα πᾶσαν
Hyllic in harbor near city out and then all
πέφραδεν ἀγγελίην· γήθησε δὲ θυμὸς ἑκάστου
told message rejoiced and heart of-each
ἡρώων· μάλα γάρ σφιν ἑαδότα μῦθον ἔειπεν.
of-the-heroes very for to-them pleasing word he-spoke
Αὐτίκα δὲ κρητῆρα κερασσάμενοι μακάρεσσιν
At-once and mixing-bowl having-mixed to-the-blessed
ἢ θέμις, εὐαγέως ἐπιβώμια μῆλ᾽ ἐρύσαντες,
as right duly altar sheep having-dragged
αὐτονυχὶ κούρῃ θαλαμήιον ἔντυον εὐνὴν
that-same-night for-the-maiden nuptial prepared bed
ἄντρῳ ἐν ἠγαθέῳ, τόθι δή ποτε Μάκρις ἔναιεν,
cave in holy where indeed once Macris dwelt
κούρη Ἀρισταίοιο μελίφρονος, ὅς ῥα μελισσέων
daughter of-Aristaeus honey-minded who then of-bees
ἔργα πολυκμήτοιό τ᾽ ἀνεύρατο πῖαρ ἐλαίης.
works of-much-labored and discovered fat of-olive

κείνη δὴ πάμπρωτα Διὸς Νυσήιον υἷα
she indeed first-of-all of-Zeus Nysean son
Εὐβοίης ἔντοσθεν Ἀβαντίδος ᾧ ἐνὶ κόλπῳ
of-Euboea within Abantian her in bosom
δέξατο, καὶ μέλιτι ξηρὸν περὶ χεῖλος ἔδευσεν,
received and with-honey dry around lip moistened
εὖτέ μιν Ἑρμείας φέρεν ἐκ πυρός· ἔδρακε δ' Ἥρη,
when him Hermes carried from fire saw and Hera
καί ἑ χολωσαμένη πάσης ἐξήλασε νήσου.
and her angered from-all drove-out island
ἡ δ' ἄρα Φαιήκων ἱερῷ ἐνὶ τηλόθεν ἄντρῳ
she and then of-Phaeacians holy in from-afar cave
νάσσατο, καὶ πόρεν ὄλβον ἀθέσφατον ἐνναέτῃσιν.
settled and gave wealth unspeakable to-the-inhabitants
ἔνθα τότ' ἐστόρεσαν λέκτρον μέγα· τοῖο δ' ὕπερθεν
there then they-spread bed great it and above
χρύσεον αἰγλῆεν κῶας βάλον, ὄφρα πέλοιτο
golden gleaming fleece they-cast so-that might-be
τιμήεις τε γάμος καὶ ἀοίδιμος. ἄνθεα δέ σφιν
honored both marriage and famous-in-song flowers and for-them
νύμφαι ἀμεργόμεναι λευκοῖς ἐνὶ ποικίλα κόλποις
nymphs gathering white in many-colored bosoms
ἐσφόρεον· πάσας δὲ πυρὸς ὣς ἄμφεπεν αἴγλη·
brought all and of-fire like enveloped gleam
τοῖον ἀπὸ χρυσέων θυσάνων ἀμαρύσσετο φέγγος.
such from golden tassels glittered light
δαῖε δ' ἐν ὀφθαλμοῖς γλυκερὸν πόθον· ἴσχε δ' ἑκάστην
it-kindled and in eyes sweet longing held and each
αἰδὼς ἱεμένην περ ὅμως ἐπὶ χεῖρα βαλέσθαι.
shame eager though nevertheless on hand to-lay

αἱ μέν τ' Αἰγαίου ποταμοῦ καλέοντο θύγατρες·
they indeed — of-Aegaeus river were-called daughters
αἱ δ' ὄρεος κορυφὰς Μελιτηίου ἀμφενέμοντο·
they and of-mountain peaks Meliteian inhabited
αἱ δ' ἔσαν ἐκ πεδίων ἀλσηίδες. ὦρσε γὰρ αὐτὴ
they and were from plains grove-nymphs roused for herself
Ἥρη Ζηνὸς ἄκοιτις, Ἰήσονα κυδαίνουσα.
Hera of-Zeus wife Jason honoring
κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κληίζεται ἄντρον
that also still now holy is-called cave
Μηδείης, ὅθι τούσγε σὺν ἀλλήλοισιν ἔμιξαν
of-Medea where them with one-another they-joined
τεινάμεναι ἑανοὺς εὐώδεας. οἱ δ' ἐνὶ χερσὶν
spreading robes fragrant they and in hands
δούρατα νωμήσαντες ἀρήια, μὴ πρὶν ἐς ἀλκὴν
spears wielding warlike lest before to battle
δυσμενέων ἀΐδηλος ἐπιβρίσειεν ὅμιλος,
of-foes unseen should-fall-on throng
κράατα δ' εὐφύλλοις ἐστεμμένοι ἀκρεμόνεσσιν,
heads and with-leafy crowned with-boughs
ἐμμελέως, Ὀρφῆος ὑπαὶ λίγα φορμίζοντος
harmoniously of-Orpheus at clearly playing-the-lyre
νυμφιδίαις ὑμέναιον ἐπὶ προμολῇσιν ἄειδον.
bridal wedding-song at entrances sang
οὐ μὲν ἐν Ἀλκινόοιο γάμον μενέαινε τελέσσαι
not indeed in of-Alcinous marriage he-was-eager to-complete
ἥρως Αἰσονίδης, μεγάροις δ' ἐνὶ πατρὸς ἑοῖο,
hero son-of-Aeson halls and in of-father his-own

νοστήσας ἐς Ἰωλκὸν ὑπότροπος· ὣς δὲ καὶ αὐτὴ
having-returned to Iolcus back so and also herself
Μήδεια φρονέεσκε· τότ᾽ αὖ χρεὼ ἦγε μιγῆναι.
Medea intended then in-turn necessity led to-wed
ἀλλὰ γὰρ οὔποτε φῦλα δυηπαθέων ἀνθρώπων
but for never tribes of-woe-suffering of-men
τερπωλῆς ἐπέβημεν ὅλῳ ποδί· σὺν δέ τις αἰεὶ
of-joy set-foot-on whole foot with and some always
πικρὴ παρμέμβλωκεν ἐυφροσύνῃσιν ἀνίη.
bitter walks-beside gladness grief
τῷ καὶ τοὺς γλυκερῇ περ ἰαινομένους φιλότητι
therefore also them with-sweet though warmed with-love
δεῖμ᾽ ἔχεν, εἰ τελέοιτο διάκρισις Ἀλκινόοιο.
fear held whether should-be-accomplished the-judgment of-Alcinous

IV.10 · THE SYRTIS

Alcinous announces his judgment, and the Colchians, fearing Aeetes, settle among the Phaeacians. The heroes sail with Arete's twelve handmaids, but near the Peloponnese a north wind drives them into the Syrtis, the shallows of Libya. Stranded and despairing, they lie down to die, until the heroines of Libya appear to Jason and tell him to repay their mother for carrying them.

Ἠὼς δ᾽ ἀμβροσίοισιν ἀνερχομένη φαέεσσιν
Dawn and with-ambrosial rising with-lights
λῦε κελαινὴν νύκτα δι᾽ ἠέρος· αἱ δ᾽ ἐγέλασσαν
loosed dark night through air they and laughed
ἠιόνες νήσοιο καὶ ἑρσήεσσαι ἄπωθεν
shores of-the-island and dewy far-off
ἀτραπιτοὶ πεδίων· ἐν δὲ θρόος ἔσκεν ἀγυιαῖς·
paths of-plains in and noise was in-the-streets

κίνυντ᾽ ἐνναέται μὲν ἀνὰ πτόλιν, οἱ δ᾽ ἀποτηλοῦ
moved inhabitants indeed through city they and far-off
Κόλχοι Μακριδίης ἐπὶ πείρασι χερνήσοιο.
Colchians of-Macris at limits of-peninsula
αὐτίκα δ᾽ Ἀλκίνοος μετεβήσετο συνθεσίῃσιν
at-once and Alcinous went by-the-compact
ὃν νόον ἐξερέων κούρης ὕπερ· ἐν δ᾽ ὅγε χειρὶ
his mind declaring of-the-maiden about in and he hand
σκῆπτρον ἔχεν χρυσοῖο δικασπόλον, ᾧ ὕπο λαοὶ
scepter held of-gold judging which under peoples
ἰθείας ἀνὰ ἄστυ διεκρίνοντο θέμιστας.
straight through city decided judgments
τῷ δὲ καὶ ἐξείης πολεμήια τεύχεα δύντες
him and also in-order of-war arms having-put-on
Φαιήκων οἱ ἄριστοι ὁμιλαδὸν ἐστιχόωντο.
of-Phaeacians the best in-a-throng marched
ἥρωας δὲ γυναῖκες ἀολλέες ἔκτοθι πύργων
heroes and women in-crowds outside of-towers
βαῖνον ἐποψόμεναι· σὺν δ᾽ ἀνέρες ἀγροιῶται
went to-see with and men rustic
ἤντεον εἰσαΐοντες, ἐπεὶ νημερτέα βάξιν
met hearing since truthful report
Ἥρη ἐπιπροέηκεν. ἄγεν δ᾽ ὁ μὲν ἔκκριτον ἄλλων
Hera sent-forth led and one indeed chosen from-others
ἀρνειὸν μήλων, ὁ δ᾽ ἀεργηλὴν ἔτι πόρτιν·
ram of-sheep another and unworked still heifer
ἄλλοι δ᾽ ἀμφιφορῆας ἐπισχεδὸν ἵστασαν οἴνου
others and jars near set of-wine
κίρνασθαι· θυέων δ᾽ ἀποτηλόθι κήκιε λιγνύς.
to-be-mixed of-sacrifices and far-off rose smoke

αἱ δὲ πολυκμήτους ἑανοὺς φέρον, οἷα γυναῖκες,
they and much-labored robes brought as women
μείλιά τε χρυσοῖο καὶ ἀλλοίην ἐπὶ τοῖσιν
gifts both of-gold and other besides these
ἀγλαΐην, οἵην τε νεόζυγες ἐντύνονται·
adornment such-as — newly-wed provide
θάμβευν δ' εἰσορόωσαι ἀριπρεπέων ἡρώων
marveled and gazing of-the-glorious of-heroes
εἴδεα καὶ μορφάς, ἐν δέ σφισιν Οἰάγροιο
forms and shapes among and them of-Oeagrus
υἱὸν ὑπαὶ φόρμιγγος ἐυκρέκτου καὶ ἀοιδῆς
son at lyre of-well-struck and of-song
ταρφέα σιγαλόεντι πέδον κροτέοντα πεδίλῳ.
often with-glittering ground beating with-sandal
νύμφαι δ' ἄμμιγα πᾶσαι, ὅτε μνήσαιτο γάμοιο,
nymphs and together all when he-made-mention of-marriage
ἱμερόενθ' ὑμέναιον ἀνήπυον· ἄλλοτε δ' αὖτε
lovely wedding-song raised at-other-times and in-turn
οἰόθεν οἷαι ἄειδον ἑλισσόμεναι περὶ κύκλον,
alone by-themselves sang circling around ring
Ἥρη, σεῖο ἕκητι· σὺ γὰρ καὶ ἐπὶ φρεσὶ θῆκας
Hera your for-the-sake you for also in heart put
Ἀρήτῃ, πυκινὸν φάσθαι ἔπος Ἀλκινόοιο.
to-Arete wise to-speak word of-Alcinous
αὐτὰρ ὅγ' ὡς τὰ πρῶτα δίκης ἀνὰ πείρατ' ἔειπεν
but he as the first of-judgment through ends spoke
ἰθείης, ἤδη δὲ γάμου τέλος ἐκλήιστο,
straight already and of-marriage end was-noised

ἔμπεδον ὣς ἀλέγυνε διαμπερές· οὐδέ ἑ τάρβος
steadfastly so he-cared-for throughout nor him fear
οὐλοόν, οὐδὲ βαρεῖαι ἐπήλυθον Αἰήταο
baneful nor heavy came-upon of-Aeetes
μήνιες, ἀρρήκτοισι δ' ἐνιζεύξας ἔχεν ὅρκοις.
wraths with-unbreakable and having-bound held with-oaths
τῶ καὶ ὅτ' ἠλεμάτως Κόλχοι μάθον ἀντιόωντες,
therefore also when in-vain Colchians learned beseeching
καί σφεας ἠὲ θέμιστας ἑὰς εἴρυσθαι ἄνωγεν,
and them either judgments his to-keep he-bade
ἢ λιμένων γαίης τ' ἀποτηλόθι νῆας ἐέργειν,
or from-harbors of-land and far-off ships to-keep-off
δὴ τότε μιν βασιλῆος ἑοῦ τρομέοντας ἐνιπὰς
indeed then him of-king their fearing threats
δέχθαι μειλίξαντο συνήμονας· αὖθι δὲ νήσῳ
to-receive they-besought as-allies there and in-island
δὴν μάλα Φαιήκεσσι μετ' ἀνδράσι ναιετάασκον,
long very Phaeacians among men dwelt
εἰσότε Βακχιάδαι, γενεὴν Ἐφύρηθεν ἐόντες,
until Bacchiadae by-race from-Ephyra being
ἀνέρες ἐννάσσαντο μετὰ χρόνον· οἱ δὲ περαίην
men settled after time they and opposite
νῆσον ἔβαν· κεῖθεν δὲ Κεραύνια μέλλον Ἀβάντων
island went thence and Ceraunian were-to of-Abantes
οὔρεα, Νεσταίους τε καὶ Ὤρικον εἰσαφικέσθαι·
mountains Nestaeans both and Oricum to-reach
ἀλλὰ τὰ μὲν στείχοντος ἄδην αἰῶνος ἐτύχθη.
but these indeed of-passing abundantly time came-about

Μοιράων δ' ἔτι κεῖσε θύη ἐπέτεια δέχονται
of-Fates and still there sacrifices yearly receive
καὶ Νυμφέων Νομίοιο καθ' ἱερὸν Ἀπόλλωνος
and of-Nymphs of-the-Shepherd at temple of-Apollo
βωμοί, τοὺς Μήδεια καθίσσατο. πολλὰ δ' ἰοῦσιν
altars which Medea set-up many and to-the-going-ones
Ἀλκίνοος Μινύαις ξεινήια, πολλὰ δ' ὄπασσεν
Alcinous to-Minyae gifts-of-hospitality many and gave
Ἀρήτη· μετὰ δ' αὖτε δυώδεκα δῶκεν ἕπεσθαι
Arete with and in-turn twelve gave to-follow
Μηδείῃ δμωὰς Φαιηκίδας ἐκ μεγάροιο.
to-Medea handmaids Phaeacian from hall
ἤματι δ' ἑβδομάτῳ Δρεπάνην λίπον· ἤλυθε δ' οὖρος
on-day and seventh Drepane they-left came and breeze
ἀκραὴς ἠῶθεν ὑπὲκ Διός· οἱ δ' ἀνέμοιο
fresh at-dawn from-under Zeus they and of-wind
πνοιῇ ἐπειγόμενοι προτέρω θέον. ἀλλὰ γὰρ οὔπω
by-blast speeding forward ran but for not-yet
αἴσιμον ἦν ἐπιβῆναι Ἀχαιίδος ἡρώεσσιν,
fated was to-set-foot-on Achaea for-the-heroes
ὄφρ' ἔτι καὶ Λιβύης ἐπὶ πείρασιν ὀτλήσειαν.
until still also of-Libya at limits they-should-toil
Ἤδη μέν ποθι κόλπον ἐπώνυμον Ἀμβρακιήων,
Already indeed somewhere gulf named of-Ambracians
ἤδη Κουρῆτιν ἔλιπον χθόνα πεπταμένοισιν
already Curetian they-left land with-spread
λαίφεσι καὶ στεινὰς αὐταῖς σὺν Ἐχινάσι νήσους
sails and narrow themselves with Echinades islands
ἑξείης, Πέλοπος δὲ νέον κατεφαίνετο γαῖα·
in-order of-Pelops and newly appeared land

καὶ τότ᾽ ἀναρπάγδην ὀλοὴ βορέαο θύελλα
and then snatching baneful of-Boreas storm
μεσσηγὺς πέλαγόσδε Λιβυστικὸν ἐννέα πάσας
midway to-sea Libyan nine all
νύκτας ὁμῶς καὶ τόσσα φέρ᾽ ἤματα, μέχρις ἵκοντο
nights alike and as-many bore days until they-came
προπρὸ μάλ᾽ ἔνδοθι Σύρτιν, ὅθ᾽ οὐκέτι νόστος ὀπίσσω
far-forward very within Syrtis whence no-longer return back
νηυσὶ πέλει, ὅτε τόνγε βιώατο κόλπον ἱκέσθαι.
for-ships is when it they-be-forced gulf to-enter
πάντῃ γὰρ τέναγος, πάντῃ μνιόεντα βυθοῖο
everywhere for shoal everywhere weedy of-the-deep
τάρφεα· κούφη δέ σφιν ἐπιβλύει ὕδατος ἄχνη·
masses light and over-them washes of-water foam
ἠερίη δ᾽ ἄμαθος παρακέκλιται· οὐδέ τι κεῖσε
misty and sand lies-beside nor anything there
ἑρπετόν, οὐδὲ ποτητὸν ἀείρεται. ἔνθ᾽ ἄρα τούσγε
creeping nor flying is-lifted there then them
πλυμμυρίς — καὶ γάρ τ᾽ ἀναχάζεται ἠπείροιο
flood-tide also for — draws-back from-the-mainland
ἦ θαμὰ δὴ τόδε χεῦμα, καὶ ἂψ ἐπερεύγεται ἀκτὰς
truly often indeed this stream and back belches-upon shores
λάβρον ἐποιχόμενον — μυχάτῃ ἐνέωσε τάχιστα
fiercely coming innermost thrust swiftly
ἠιόνι, τρόπιος δὲ μάλ᾽ ὕδασι παῦρον ἔλειπτο.
on-shore of-keel and very in-waters little was-left
οἱ δ᾽ ἀπὸ νηὸς ὄρουσαν, ἄχος δ᾽ ἕλεν εἰσορόωντας
they and from ship leapt grief and seized seeing
ἠέρα καὶ μεγάλης νῶτα χθονὸς ἠέρι ἶσα,
air and of-great backs of-land to-air equal

τηλοῦ ὑπερτείνοντα διηνεκές· οὐδέ τιν᾽ ἀρδμόν,
far stretching continuously nor any watering-place
οὐ πάτον, οὐκ ἀπάνευθε κατηυγάσσαντο βοτήρων
nor path nor far-off they-saw of-herdsmen
αὔλιον, εὐκήλῳ δὲ κατείχετο πάντα γαλήνῃ.
fold in-quiet and was-held all in-calm
ἄλλος δ᾽ αὖτ᾽ ἄλλον τετιημένος ἐξερέεινεν·
one and in-turn another distressed asked
"Τίς χθὼν εὔχεται ἥδε; πόθι ξυνέωσαν ἄελλαι
What land boasts this where thrust storms
ἡμέας; αἴθ᾽ ἔτλημεν, ἀφειδέες οὐλομένοιο
us would-that we-had-dared reckless of-baneful
δείματος, αὐτὰ κέλευθα διαμπερὲς ὁρμηθῆναι
fear the-same paths through to-rush
πετράων. ἦ τ᾽ ἂν καὶ ὑπὲρ Διὸς αἶσαν ἰοῦσιν
of-rocks truly — — also beyond of-Zeus fate going
βέλτερον ἦν μέγα δή τι μενοινώοντας ὀλέσθαι.
better was great indeed something purposing to-perish
νῦν δὲ τί κεν ῥέξαιμεν, ἐρυκόμενοι ἀνέμοισιν
now and what — could-we-do held-back by-winds
αὖθι μένειν τυτθόν περ ἐπὶ χρόνον; οἷον ἐρήμη
here to-stay little indeed for time such desert
πέζα διωλυγίης ἀναπέπταται ἠπείροιο."
border of-vast spreads of-mainland
Ὣς ἄρ᾽ ἔφη· μετὰ δ᾽ αὐτὸς ἀμηχανίῃ κακότητος
So then he-spoke with and himself in-helplessness of-evil
ἰθυντὴρ Ἀγκαῖος ἀκηχέμενος ἀγόρευσεν·
helmsman Ancaeus grieving spoke

“ Ὤλόμεθ’ αἰνότατον δῆθεν μόρον, οὐδ’ ὑπάλυξις
We-have-perished most-dreadful indeed doom nor escape
ἔστ’ ἄτης· πάρα δ’ ἄμμι τὰ κύντατα πημανθῆναι
is from-ruin at-hand and for-us the most-dreadful to-suffer
τῇδ’ ὑπ’ ἐρημαίῃ πεπτηότας, εἰ καὶ ἀῆται
here under desert having-fallen if even winds
χερσόθεν ἀμπνεύσειαν· ἐπεὶ τεναγώδεα λεύσσω
from-land should-blow since shoaly I-see
τῆλε περισκοπέων ἅλα πάντοθεν· ἤλιθα δ’ ὕδωρ 1265
far looking-around sea from-every-side vainly and water
ξαινόμενον πολιῇσιν ἐπιτροχάει ψαμάθοισιν.
fretted on-gray runs-over on-sands
καί κεν ἐπισμυγερῶς διὰ δὴ πάλαι ἤδ’ ἐκεάσθη
and — miserably asunder indeed long-ago this would-have-been-split
νηῦς ἱερὴ χέρσου πολλὸν πρόσω· ἀλλά μιν αὐτὴ
ship holy of-land much forward but her itself
πλημμυρὶς ἐκ πόντοιο μεταχθονίην ἐκόμισσεν.
flood-tide from sea onto-land carried
νῦν δ’ ἡ μὲν πέλαγόσδε μετέσσυται, οἰόθι δ’ ἅλμη 1270
now and it indeed to-sea has-rushed-back alone and brine
ἄπλοος εἰλεῖται, γαίης ὕπερ ὅσσον ἔχουσα.
unnavigable rolls of-land over just covering
τούνεκ’ ἐγὼ πᾶσαν μὲν ἀπ’ ἐλπίδα φημὶ κεκόφθαι
therefore I all indeed away hope say to-be-cut-off
ναυτιλίης νόστου τε. δαημοσύνην δέ τις ἄλλος
of-voyage of-return and skill and some other

†φαίνοιεν†· πάρα γάρ οἱ ἐπ᾽ οἰήκεσσι θαάσσειν
(corrupt)-they-would-show at-hand for to-him on helm to-sit
μαιομένῳ κομιδῆς. ἀλλ᾽ οὐ μάλα νόστιμον ἦμαρ
eager for-escape but not at-all of-return day
Ζεὺς ἐθέλει καμάτοισιν ἐφ᾽ ἡμετέροισι τελέσσαι.”
Zeus wills toils on our to-accomplish
῾Ως φάτο δακρυόεις· σὺν δ᾽ ἔννεπον ἀσχαλόωντι
So he-spoke weeping with and spoke to-the-distressed-one
ὅσσοι ἔσαν νηῶν δεδαημένοι· ἐν δ᾽ ἄρα πᾶσιν
as-many-as were of-ships skilled in and then all
παχνώθη κραδίη, χύτο δὲ χλόος ἀμφὶ παρειάς.
froze heart was-poured and pallor around cheeks
οἷον δ᾽ ἀψύχοισιν ἐοικότες εἰδώλοισιν
as and to-lifeless like to-phantoms
ἀνέρες εἰλίσσονται ἀνὰ πτόλιν, ἢ πολέμοιο
men roam through city either of-war
ἢ λοιμοῖο τέλος ποτιδέγμενοι, ἠέ τιν᾽ ὄμβρον
or of-plague end awaiting or some storm
ἄσπετον, ὅς τε βοῶν κατὰ μυρία ἔκλυσεν ἔργα,
boundless which — of-oxen down countless washed works
ἢ ὅταν αὐτόματα ξόανα ῥέῃ ἱδρώοντα
or when of-themselves images flow sweating
αἵματι, καὶ μυκαὶ σηκοῖς ἔνι φαντάζωνται,
with-blood and bellowings shrines in appear
ἠὲ καὶ ἠέλιος μέσῳ ἤματι νύκτ᾽ ἐπάγῃσιν
or also sun at-mid at-day night brings
οὐρανόθεν, τὰ δὲ λαμπρὰ δι᾽ ἠέρος ἄστρα φαείνοι·
from-heaven they and bright through air stars shine

ὣς τότ᾽ ἀριστῆες δολιχοῦ πρόπαρ αἰγιαλοῖο
so then the-chiefs of-long along beach
ἤλυον ἑρπύζοντες. ἐπήλυθε δ᾽ αὐτίκ᾽ ἐρεμνὴ
wandered creeping came and at-once dark
ἕσπερος· οἱ δ᾽ ἐλεεινὰ χεροῖν σφέας ἀμφιβαλόντες
evening they and piteously in-arms each-other embracing
δακρυόειν ἀγάπαζον, ἵν᾽ ἄνδιχα δῆθεν ἕκαστος
tearfully bade-farewell so-that apart indeed each
θυμὸν ἀποφθίσειαν ἐνὶ ψαμάθοισι πεσόντες.
heart might-waste in sands falling
βὰν δ᾽ ἴμεν ἄλλυδις ἄλλος ἑκαστέρω αὖλιν ἐλέσθαι·
went and to-go elsewhere other farther fold to-take
ἐν δὲ κάρη πέπλοισι καλυψάμενοι σφετέροισιν
in and head robes covering their-own
ἄκμηνοι καὶ ἄπαστοι ἐκείατο νύκτ᾽ ἔπι πᾶσαν
fasting and unfed they-lay night through all
καὶ φάος, οἰκτίστῳ θανάτῳ ἔπι. νόσφι δὲ κοῦραι
and light most-pitiful death for apart and maidens
ἀθρόαι Αἰήταο παρεστενάχοντο θυγατρί.
in-a-throng of-Aeetes moaned-beside daughter
ὡς δ᾽ ὅτ᾽ ἐρημαῖοι πεπτηότες ἔκτοθι πέτρης
as and when deserted fallen outside of-rock
χηραμοῦ ἀπτῆνες λιγέα κλάζουσι νεοσσοί·
from-cleft unfledged shrilly scream nestlings
ἢ ὅτε καλὰ νάοντος ἐπ᾽ ὀφρύσι Πακτωλοῖο
or when fair flowing on brows of-Pactolus
κύκνοι κινήσωσιν ἑὸν μέλος, ἀμφὶ δὲ λειμὼν
swans stir their-own song around and meadow
ἑρσήεις βρέμεται ποταμοῖό τε καλὰ ῥέεθρα·
dewy resounds of-river and fair streams

ὣς αἱ ἐπὶ ξανθὰς θέμεναι κονίῃσιν ἐθείρας
so they in yellow putting the-dust hair
πανύχιαι ἐλεεινὸν ἰήλεμον ὠδύροντο.
all-night piteous lament wailed
καί νύ κεν αὐτοῦ πάντες ἀπὸ ζωῆς ἐλίασθεν
and now — there all from life would-have-departed
νώνυμνοι καὶ ἄφαντοι ἐπιχθονίοισι δαῆναι
nameless and unseen to-earth-dwellers to-be-known
ἡρώων οἱ ἄριστοι ἀνηνύστῳ ἐπ᾽ ἀέθλῳ·
of-heroes the best unaccomplished in toil
ἀλλά σφεας ἐλέηραν ἀμηχανίῃ μινύθοντας
but them pitied in-helplessness wasting
ἡρῳ̑σσαι, Λιβύης τιμήοροι, αἵ ποτ᾽ Ἀθήνην,
heroines of-Libya guardians who once Athena
ἦμος ὅτ᾽ ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα,
when when from of-father head leapt all-shining
ἀντόμεναι Τρίτωνος ἐφ᾽ ὕδασι χυτλώσαντο.
meeting of-Triton by waters bathed
ἔνδιον ἦμαρ ἔην, περὶ δ᾽ ὀξύταται θέρον αὐγαὶ
noonday day was around and sharpest scorched rays
ἠελίου Λιβύην· αἱ δὲ σχεδὸν Αἰσονίδαο
of-sun Libya they and near of-the-son-of-Aeson
ἔσταν, ἕλον δ᾽ ἀπὸ χερσὶ καρήατος ἠρέμα πέπλον.
stood took and from with-hands head gently robe
αὐτὰρ ὅγ᾽ εἰς ἑτέρωσε παλιμπετὲς ὄμματ᾽ ἔνεικεν,
but he to other-side back eyes turned
δαίμονας αἰδεσθείς· αὐτὸν δέ μιν ἀμφαδὸν οἷον
divinities revering him and him openly alone
μειλιχίοις ἐπέεσσιν ἀτυζόμενον προσέειπον·
with-gentle with-words distraught addressed

"Κάμμορε, τίπτ' ἐπὶ τόσσον ἀμηχανίῃ βεβόλησαι;
Unhappy-one why to so-great in-helplessness are-you-stricken
ἴδμεν ἐποιχομένους χρύσεον δέρος· ἴδμεν ἕκαστα
we-know seeking golden fleece we-know each-thing
ὑμετέρων καμάτων, ὅσ' ἐπὶ χθονός, ὅσσα τ' ἐφ' ὑγρὴν
of-your of-toils how-many on land how-many and on wet
πλαζόμενοι κατὰ πόντον ὑπέρβια ἔργ' ἐκάμεσθε.
wandering over sea overweening works you-toiled-at
οἰοπόλοι δ' εἰμὲν χθόνιαι θεαὶ αὐδήεσσαι,
solitary and we-are of-the-land goddesses speaking-with-voice
ἡρῳ̃σσαι, Λιβύης τιμήοροι ἠδὲ θύγατρες.
heroines of-Libya guardians and daughters
ἀλλ' ἄνα· μηδ' ἔτι τοῖον ὀιζύων ἀκάχησο·
but up nor longer such grieving be-distressed
ἄνστησον δ' ἑτάρους. εὖτ' ἂν δέ τοι Ἀμφιτρίτη
raise and comrades when — and for-you Amphitrite
ἅρμα Ποσειδάωνος ἐύτροχον αὐτίκα λύσῃ,
chariot of-Poseidon well-wheeled at-once looses
δή ῥα τότε σφετέρῃ ἀπὸ μητέρι τίνετ' ἀμοιβὴν
indeed then then your-own back to-mother pay recompense
ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ὔμμε φέρουσα·
for-what she-toiled long in womb you carrying
καί κεν ἔτ' ἠγαθέην ἐς Ἀχαιΐδα νοστήσαιτε."
and — still holy to Achaea you-may-return
Ὣς ἄρ' ἔφαν, καὶ ἄφαντοι ἴν' ἔσταθεν, ἔνθ' ἄρα ταίγε
So then they-spoke and unseen where they-stood there then they
φθογγῇ ὁμοῦ ἐγένοντο παρασχεδόν. αὐτὰρ Ἰήσων
with-voice together became near but Jason
παπτήνας ἀν' ἄρ' ἕζετ' ἐπὶ χθονός, ὧδέ τ' ἔειπεν·
gazing up then sat on ground thus and spoke

"Ἵλατ' ἐρημονόμοι κυδραὶ θεαί· ἀμφὶ δὲ νόστῳ
Be-gracious desert-dwelling glorious goddesses about and return
οὔτι μάλ' ἀντικρὺ νοέω φάτιν. ἦ μὲν ἑταίρους
not-at-all very clearly I-understand the-saying truly indeed comrades
εἰς ἓν ἀγειράμενος μυθήσομαι, εἴ νύ τι τέκμωρ
into one gathering I-will-tell if now some sign
δήωμεν κομιδῆς· πολέων δέ τε μῆτις ἀρείων."
we-may-find of-escape of-many and — plan better

IV.11 · THE CARRYING OF THE ARGO

Jason tells the heroes of the vision, and Peleus interprets it: their mother is the Argo, which they must carry. They bear the ship on their shoulders for twelve days to Lake Tritonis. Searching for water, they find the garden of the Hesperides, whom Heracles had robbed the day before, and the Hesperides show them the spring Heracles struck from the rock. Five heroes seek Heracles in vain.

Ἦ, καὶ ἀναΐξας ἑτάρους ἐπὶ μακρὸν ἀύτει,
He-spoke and having-sprung-up comrades to far shouted
αὐσταλέος κονίῃσι, λέων ὥς, ὅς ῥά τ' ἀν' ὕλην
squalid with-dust lion as who then — through forest
σύννομον ἣν μεθέπων ὠρύεται· αἱ δὲ βαρείῃ
mate his seeking roars they and at-the-heavy
φθογγῇ ὑποτρομέουσιν ἀν' οὔρεα τηλόθι βῆσσαι·
voice tremble through mountains far-off glens
δείματι δ' ἄγραυλοί τε βόες μέγα πεφρίκασιν
with-fear and of-the-field both oxen greatly shudder
βουπελάται τε βοῶν· τοῖς δ' οὔ νύ τι γῆρυς ἐτύχθη
herdsmen and of-oxen to-them but not now at-all the-voice was
ῥιγεδανὴ ἑτάροιο φίλους ἐπικεκλομένοιο.
chilling of-comrade friends calling-on

ἀγχοῦ δ᾽ ἠγερέθοντο κατηφέες· αὐτὰρ ὁ τούσγε
near and gathered downcast but he them
ἀχνυμένους ὅρμοιο πέλας μίγα θηλυτέρῃσιν
grieving of-anchorage near mingled with-the-women
ἱδρύσας, μυθεῖτο πιφαυσκόμενος τὰ ἕκαστα·
having-seated told showing the each-thing
“Κλῦτε, φίλοι· τρεῖς γάρ μοι ἀνιάζοντι θεάων,
Hear friends three for to-me grieving of-goddesses
στέρφεσιν αἰγείοις ἐζωσμέναι ἐξ ὑπάτοιο
with-skins of-goats girt from topmost
αὐχένος ἀμφί τε νῶτα καὶ ἰξύας, ἠύτε κοῦραι,
neck around both back and waists like maidens
ἕσταν ὑπὲρ κεφαλῆς μάλ᾽ ἐπισχεδόν· ἂν δ᾽ ἐκάλυψαν
stood over head very near up and uncovered
πέπλον ἐρυσσάμεναι κούφῃ χερί, καὶ μ᾽ ἐκέλοντο
robe drawing with-light with-hand and me bade
αὐτόν τ᾽ ἔγρεσθαι, ἀνά θ᾽ ὑμέας ὄρσαι ἰόντα·
myself both to-wake up and you to-rouse going
μητέρι δὲ σφετέρῃ μενοεικέα τῖσαι ἀμοιβὴν
to-mother and our satisfying to-pay recompense
ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ἄμμε φέρουσα
for-what she-toiled long in womb us carrying
ὁππότε κεν λύσῃσιν ἐύτροχον Ἀμφιτρίτη
when — looses well-wheeled Amphitrite
ἅρμα Ποσειδάωνος. ἐγὼ δ᾽ οὐ πάγχυ νοῆσαι
chariot of-Poseidon I and not at-all to-understand
τῆσδε θεοπροπίης ἴσχω πέρι. φάν γε μὲν εἶναι
of-this prophecy am-able about they-said indeed indeed to-be
ἡρῳ̂σσαι, Λιβύης τιμήοροι ἠδὲ θύγατρες·
heroines of-Libya guardians and daughters

καὶ δ᾽ ὁπόσ᾽ αὐτοὶ πρόσθεν ἐπὶ χθονὸς ἠδ᾽ ὅσ᾽ ἐφ᾽ ὑγρὴν
and and how-much ourselves before on land and how-many on wet
ἔτλημεν, τὰ ἕκαστα διίδμεναι εὐχετόωντο.
we-endured the each-thing to-know they-boasted
οὐδ᾽ ἔτι τάσδ᾽ ἀνὰ χῶρον ἐσέδρακον, ἀλλά τις ἀχλὺς
nor longer them through place did-I-see but some mist
ἠὲ νέφος μεσσηγὺ φαεινομένας ἐκάλυψεν.”
or cloud between shining-ones covered
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἐθάμβεον εἰσαΐοντες.
So he-spoke they and then all marveled hearing
ἔνθα τὸ μήκιστον τεράων Μινύῃσιν ἐτύχθη.
there the greatest of-portents to-the-Minyae came-about
ἐξ ἁλὸς ἤπειρόνδε πελώριος ἔκθορεν ἵππος,
from sea to-land huge leapt-forth horse
ἀμφιλαφής, χρυσέῃσι μετήορος αὐχένα χαίταις·
abundant with-golden lifted neck with-mane
ῥίμφα δὲ σεισάμενος γυίων ἄπο νήχυτον ἅλμην
quickly and having-shaken limbs from flowing brine
ὦρτο θέειν, πνοιῇ ἴκελος πόδας. αἶψα δὲ Πηλεὺς
rose to-run to-breath like in-feet at-once and Peleus
γηθήσας ἑτάροισιν ὁμηγερέεσσι μετηύδα·
rejoicing to-comrades gathered spoke
“ Ἅρματα μὲν δή φημι Ποσειδάωνος ἔγωγε
Chariot indeed truly I-say of-Poseidon I
ἤδη νῦν ἀλόχοιο φίλης ὑπὸ χερσὶ λελύσθαι·
already now of-wife dear by hands to-have-been-loosed

μητέρα δ᾽ οὐκ ἄλλην προτιόσσομαι, ἠέ περ αὐτὴν
mother and not other I-foresee than indeed herself
νῆα πέλειν· ἦ γὰρ κατὰ νηδύος ἄμμε φέρουσα
ship to-be truly for in womb us carrying
νωλεμὲς ἀργαλέοισιν ὀιζύει καμάτοισιν.
unceasingly with-grievous groans with-toils
ἀλλά μιν ἀστεμφεῖ τε βίῃ καὶ ἀτειρέσιν ὤμοις
but her with-unshaken both with-strength and with-tireless with-shoulders
ὑψόθεν ἀνθέμενοι ψαμαθώδεος ἔνδοθι γαίης
on-high having-lifted of-sandy within land
οἴσομεν, ᾗ προτέρωσε ταχὺς πόδας ἤλασεν ἵππος.
we-will-carry where forward swift feet drove horse
οὐ γὰρ ὅγε ξηρὴν ὑποδύσεται· ἴχνια δ᾽ ἡμῖν
not for he dry will-go-under tracks and to-us
σημανέειν τιν᾽ ἔολπα μυχὸν καθύπερθε θαλάσσης.᾽᾽
to-be-going-to-show some I-hope inlet above sea
῾Ως ηὔδα· πάντεσσι δ᾽ ἐπήβολος ἤνδανε μῆτις.
So he-spoke to-all and apt pleased plan
Μουσάων ὅδε μῦθος· ἐγὼ δ᾽ ὑπακουὸς ἀείδω
of-the-Muses this tale I and obedient sing
Πιερίδων, καὶ τήνδε πανατρεκὲς ἔκλυον ὀμφήν,
of-Pierides and this utterly I-heard voice
ὑμέας, ὦ πέρι δὴ μέγα φέρτατοι υἷες ἀνάκτων,
you O above indeed greatly mightiest sons of-kings
ᾗ βίῃ ᾗ τ᾽ ἀρετῇ Λιβύης ἀνὰ θῖνας ἐρήμους
by-your-own by-strength by-your-own and by-valor of-Libya over sands desert
νῆα μεταχρονίην ὅσα τ᾽ ἔνδοθι νηὸς ἄγεσθε,
ship aloft how-much and within of-ship you-carry

ἀνθεμένους ὤμοισι φέρειν δυοκαίδεκα πάντα
having-lifted on-shoulders to-carry twelve all
ἤματ' ὁμοῦ νύκτας τε. δύην γε μὲν ἠ καὶ ὀιζὺν
days alike nights and the-misery indeed indeed or also woe
τίς κ' ἐνέποι, τὴν κεῖνοι ἀνέπλησαν μογέοντες;
who — could-tell which they filled toiling
ἔμπεδον ἀθανάτων ἔσαν αἵματος, οἷον ὑπέσταν
surely of-immortals they-were of-blood such they-undertook
ἔργον, ἀναγκαίῃ βεβιημένοι. αὐτὰρ ἐπιπρὸ
work by-necessity forced but forward
τῆλε μάλ' ἀσπασίως Τριτωνίδος ὕδασι λίμνης
far very gladly of-Tritonian to-the-waters lake
ὡς φέρον, ὡς εἰσβάντες ἀπὸ στιβαρῶν θέσαν ὤμων.
how they-carried how going-in from sturdy they-set shoulders
Λυσσαλέοις δ' ἤπειτ' ἴκελοι κυσὶν ἀίσσοντες
To-raging then like to-dogs darting
πίδακα μαστεύεσκον· ἐπὶ ξηρὴ γὰρ ἔκειτο
spring they-sought on dry for lay
δίψα δυηπαθίῃ τε καὶ ἄλγεσιν, οὐδ' ἐμάτησαν
thirst with-misery both and with-pains nor did-they-toil-in-vain
πλαζόμενοι· ἶξον δ' ἱερὸν πέδον, ᾧ ἔνι Λάδων
wandering came and holy plain which in Ladon
εἰσέτι που χθιζὸν παγχρύσεα ῥύετο μῆλα
still surely yesterday all-golden guarded apples
χώρῳ ἐν Ἄτλαντος, χθόνιος ὄφις· ἀμφὶ δὲ νύμφαι
place in of-Atlas earthborn serpent around and nymphs
Ἑσπερίδες ποίπνυον, ἐφίμερον ἀείδουσαι.
Hesperides bustled lovely singing

δὴ τότε δ' ἤτοι τῆμος ὑφ' Ἡρακλῆι δαϊχθεὶς
indeed then and truly then by Heracles slain
μήλειον βέβλητο ποτὶ στύπος· οἰόθι δ' ἄκρῃ
apple-tree's was-struck against trunk only and at-tip
οὐρῇ ἔτι σκαίρεσκεν· ἀπὸ κρατὸς δὲ κελαινὴν
of-tail still writhed from head and dark
ἄχρις ἐπ' ἄκνηστιν κεῖτ' ἄπνοος· ἐκ δὲ λιπόντων
as-far-as on backbone lay breathless out and leaving
ὕδρης Λερναίης χόλον αἵματι πικρὸν ὀιστῶν
of-hydra Lernaean the-gall in-blood bitter of-arrows
μυῖαι πυθομένοισιν ἐφ' ἕλκεσι τερσαίνοντο.
flies the-festering on wounds were-dried-up
ἀγχοῦ δ' Ἑσπερίδες κεφαλαῖς ἔπι χεῖρας ἔχουσαι
near and Hesperides heads on hands holding
ἀργυφέας ξανθῇσι λίγ' ἔστενον· οἱ δ' ἐπέλασσαν
white golden shrilly lamented they and approached
ἄφνω ὁμοῦ· ταὶ δ' αἶψα κόνις καὶ γαῖα, κιόντων
suddenly together they and at-once dust and earth of-the-comers
ἐσσυμένως, ἐγένοντο καταυτόθι. νώσατο δ' Ὀρφεὺς
hastily became there perceived and Orpheus
θεῖα τέρα, τὰς δέ σφι παρηγορέεσκε λιτῇσιν·
divine portents them and them besought with-prayers
"Δαίμονες ὦ καλαὶ καὶ εὔφρονες, ἵλατ', ἄνασσαι,
Divinities O fair and kindly be-gracious queens
εἴτ' οὖν οὐρανίαις ἐναρίθμιοί ἐστε θεῇσιν,
whether then heavenly numbered-among you-are goddesses
εἴτε καταχθονίαις, εἴτ' οἰοπόλοι καλέεσθε
or underworld or solitary you-are-called
νύμφαι· ἴτ' ὦ νύμφαι, ἱερὸν γένος Ὠκεανοῖο,
nymphs come O nymphs holy race of-Ocean

δείξατ᾽ ἐελδομένοισιν ἐνωπαδὶς ἄμμι φανεῖσαι
show to-the-longing face-to-face to-us appearing
ἤ τινα πετραίην χύσιν ὕδατος, ἤ τινα γαίης
either some rocky outpouring of-water or some of-land
ἱερὸν ἐκβλύοντα, θεαί, ῥόον, ᾧ ἀπὸ δίψαν
holy gushing goddesses stream which from thirst
αἰθομένην ἄμοτον λωφήσομεν. εἰ δέ κεν αὖτις
burning unceasingly we-shall-quench if and — again
δή ποτ᾽ Ἀχαιΐδα γαῖαν ἱκώμεθα ναυτιλίῃσιν,
indeed ever Achaean land we-reach with-voyages
δὴ τότε μυρία δῶρα μετὰ πρώτῃσι θεάων
indeed then countless gifts among first of-goddesses
λοιβάς τ᾽ εἰλαπίνας τε παρέξομεν εὐμενέοντες.”
libations both feasts and we-will-offer gracious
῾Ως φάτο λισσόμενος ἀδινῇ ὀπί· ταὶ δ᾽ ἐλέαιρον
So he-spoke beseeching with-thick voice they and pitied
ἐγγύθεν ἀχνυμένους· καὶ δὴ χθονὸς ἐξανέτειλαν
from-near grieving and indeed from-earth made-spring-up
ποίην πάμπρωτον· ποίης γε μὲν ὑψόθι μακροὶ
grass first-of-all of-grass indeed indeed high tall
βλάστεον ὄρπηκες· μετὰ δ᾽ ἔρνεα τηλεθάοντα
sprouted shoots after and saplings flourishing
πολλὸν ὑπὲρ γαίης ὀρθοσταδὸν ἠέξοντο.
much above earth upright grew
῾Εσπέρη, αἴγειρος, πτελέη δ᾽ ᾽Ερυθηὶς ἔγεντο·
Hespere poplar elm and Erytheis became

Αἴγλη δ' ἰτείης ἱερὸν στύπος. ἐκ δέ νυ κείνων
Aegle and of-willow holy trunk out and now those
δενδρέων, οἷαι ἔσαν, τοῖαι πάλιν ἔμπεδον αὖτως
trees as-they they-were such again steadfastly just-so
ἐξέφανεν, θάμβος περιώσιον, ἔκφατο δ' Αἴγλη
appeared wonder exceeding spoke and Aegle
μειλιχίοις ἐπέεσσιν ἀμειβομένη χατέοντας·
with-gentle with-words answering the-lacking-ones
" Ἦ ἄρα δὴ μέγα πάμπαν ἐφ' ὑμετέροισιν ὄνειαρ
Truly then indeed great altogether on your boon
δεῦρ' ἔμολεν καμάτοισιν ὁ κύντατος, ὅστις ἀπούρας
here came toils the most-shameless who having-robbed
φρουρὸν ὄφιν ζωῆς παγχρύσεα μῆλα θεάων
guardian serpent of-life all-golden apples of-goddesses
οἴχετ' ἀειράμενος· στυγερὸν δ' ἄχος ἄμμι λέλειπται.
went-off lifting hateful and grief for-us is-left
ἤλυθε γὰρ χθιζός τις ἀνὴρ ὀλοώτατος ὕβριν
came for yesterday some man most-baneful in-violence
καὶ δέμας· ὄσσε δέ οἱ βλοσυρῷ ὑπέλαμπε μετώπῳ·
and body eyes and to-him grim flashed-beneath brow
νηλής· ἀμφὶ δὲ δέρμα πελωρίου ἕστο λέοντος
pitiless around and skin of-huge wore of-lion
ὠμόν, ἀδέψητον· στιβαρὸν δ' ἔχεν ὄζον ἐλαίης
raw untanned sturdy and held bough of-olive
τόξα τε, τοῖσι πέλωρ τόδ' ἀπέφθισεν ἰοβολήσας.
bow and with-which monster this destroyed shooting
ἤλυθε δ' οὗν κἀκεῖνος, ἅ τε χθόνα πεζὸς ὁδεύων,
came and then he-too as-one-who — land on-foot traveling
δίψῃ καρχαλέος· παίφασσε δὲ τόνδ' ἀνὰ χῶρον,
with-thirst parched rushed and this through place

ὕδωρ ἐξερέων, τὸ μὲν οὔ ποθι μέλλεν ἰδέσθαι.
water seeking which indeed not anywhere was-to to-see
ἥδε δέ τις πέτρη Τριτωνίδος ἐγγύθι λίμνης·
this and a rock of-Tritonian near lake
τὴν ὅγ' ἐπιφρασθείς, ἢ καὶ θεοῦ ἐννεσίῃσιν,
it he having-devised or also of-god by-promptings
λὰξ ποδὶ τύψεν ἔνερθε· τὸ δ' ἀθρόον ἔβλυσεν ὕδωρ.
with-heel with-foot struck below it and in-a-mass gushed water
αὐτὰρ ὅγ' ἄμφω χεῖρε πέδῳ καὶ στέρνον ἐρείσας
but he both hands on-ground and breast leaning
ῥωγάδος ἐκ πέτρης πίεν ἄσπετον, ὄφρα βαθεῖαν
cleft from rock drank boundless until deep
νηδύν, φορβάδι ἶσος ἐπιπροπεσών, ἐκορέσθη."
belly to-a-beast-of-grazing like falling-forward he-was-sated
Ὣς φάτο· τοὶ δ' ἀσπαστὸν ἵνα σφίσι πέφραδεν Αἴγλη
So she-spoke they and gladly where to-them showed Aegle
πίδακα, τῇ θέον αἶψα κεχαρμένοι, ὄφρ' ἐπέκυρσαν.
spring there ran quickly rejoicing until they-hit-upon-it
ὡς δ' ὁπότε στεινὴν περὶ χηραμὸν εἰλίσσονται
as and when narrow around hole swarm
γειομόροι μύρμηκες ὁμιλαδόν, ἢ ὅτε μυῖαι
earth-dwelling ants in-a-throng or when flies
ἀμφ' ὀλίγην μέλιτος γλυκεροῦ λίβα πεπτηυῖαι
around little of-honey of-sweet drop fallen
ἄπλητον μεμάασιν ἐπήτριμοι· ὣς τότ' ἀολλεῖς
unappeasably rage close-set so then in-crowds
πετραίῃ Μινύαι περὶ πίδακι δινεύεσκον.
rocky Minyae around spring thronged
καί πού τις διεροῖς ἐπὶ χείλεσιν εἶπεν ἰανθείς·
and surely some wet with lips said warmed

“ Ὦ πόποι, ἦ καὶ νόσφιν ἐὼν ἐσάωσεν ἑταίρους
Oh for-shame truly even far being saved comrades
Ἡρακλέης δίψῃ κεκμηότας. ἀλλά μιν εἴ πως
Heracles by-thirst worn but him if somehow
δήοιμεν στείχοντα δι᾽ ἠπείροιο κιόντες.”
we-might-find going through mainland going
Ἦ, καὶ ἀμειβομένων, οἵ τ᾽ ἄρμενοι ἐς τόδε ἔργον,
He-spoke and of-the-answering who — fit for this work
ἔκριθεν ἄλλυδις ἄλλος ἐπαΐξας ἐρεείνειν.
were-chosen elsewhere other rushing to-seek
ἴχνια γὰρ νυχίοισιν ἐπηλίνδητ᾽ ἀνέμοισιν
tracks for by-nightly were-obliterated by-winds
κινυμένης ἀμάθου. Βορέαο μὲν ὠρμήθησαν
moving of-sand of-Boreas indeed set-out
υἷε δύω, πτερύγεσσι πεποιθότε· ποσσὶ δὲ κούφοις
sons two on-wings trusting on-feet and light
Εὔφημος πίσυνος, Λυγκεύς γε μὲν ὀξέα τηλοῦ
Euphemus relying Lynceus indeed indeed sharp far
ὄσσε βαλεῖν· πέμπτος δὲ μετὰ σφίσιν ἔσσυτο Κάνθος.
eyes to-cast fifth and with them rushed Canthus
τὸν μὲν ἄρ᾽ αἶσα θεῶν κείνην ὁδὸν ἠνορέη τε
him indeed then fate of-gods that road manliness and
ὦρσεν, ἵν᾽ Ἡρακλῆος ἀπηλεγέως πεπύθοιτο,
roused so-that of-Heracles plainly he-might-learn
Εἰλατίδην Πολύφημον ὅπῃ λίπε· μέμβλετο γάρ οἱ
son-of-Eilatus Polyphemus where he-left was-a-care for to-him
οὗ ἕθεν ἀμφ᾽ ἑτάροιο μεταλλῆσαι τὰ ἕκαστα.
his-own of-him about comrade to-inquire the each-thing

ἀλλ᾽ ὁ μὲν οὖν Μυσοῖσιν ἐπικλεὲς ἄστυ πολίσσας
but he indeed then for-Mysians famous city having-founded
νόστου κηδοσύνῃσιν ἔβη διζήμενος Ἀργὼ
of-return in-longing went seeking Argo
τῆλε δι᾽ ἠπείροιο· τέως δ᾽ ἐξίκετο γαῖαν
far through mainland meanwhile and reached land
ἀγχιάλων Χαλύβων· τόθι μιν καὶ Μοῖρ᾽ ἐδάμασσεν.
of-sea-dwelling Chalybes there him also Fate subdued
καί οἱ ὑπὸ βλωθρὴν ἀχερωΐδα σῆμα τέτυκται
and to-him under tall white-poplar tomb is-made
τυτθὸν ἁλὸς προπάροιθεν. ἀτὰρ τότε γ᾽ Ἡρακλῆα
little of-sea in-front but then indeed Heracles
μοῦνον ἀπειρεσίης τηλοῦ χθονὸς εἴσατο Λυγκεὺς
alone of-boundless far of-land seemed Lynceus
τῶς ἰδέειν, ὥς τίς τε νέῳ ἐνὶ ἤματι μήνην
so to-see as some — new on day moon
ἢ ἴδεν, ἢ ἐδόκησεν ἐπαχλύουσαν ἰδέσθαι.
either saw or thought dim to-see
ἐς δ᾽ ἑτάρους ἀνιὼν μυθήσατο, μή μιν ἔτ᾽ ἄλλον
to and comrades going-back he-told not him still other
μαστῆρα στείχοντα κιχησέμεν· οἱ δὲ καὶ αὐτοὶ
seeker going to-be-going-to-overtake they and also themselves
ἤλυθον, Εὔφημός τε πόδας ταχὺς υἷέ τε δοιὼ
came Euphemus both in-feet swift sons and two
Θρηικίου Βορέω, μεταμώνια μοχθήσαντε.
of-Thracian Boreas in-vain having-toiled

Canthus is killed by a shepherd, and Mopsus dies from a snake bite. The heroes cannot find the way out of the lake until Orpheus offers Apollo's tripod to the local gods. Triton appears as a young man, gives Euphemus a clod of earth, and guides the Argo out into the sea. The heroes sail toward Crete.

Κάνθε, σὲ δ' οὐλόμεναι Λιβύῃ ἔνι Κῆρες ἕλοντο.
Canthus you and baneful Libya in Fates took
πώεσι φερβομένοισι συνήντεες· εἵπετο δ' ἀνὴρ
flocks grazing you-met followed and man
αὐλίτης, ὅ σ' ἑῶν μήλων πέρι, τόφρ' ἑτάροισιν
herdsman who you his-own sheep about while to-comrades
δευομένοις κομίσειας, ἀλεξόμενος κατέπεφνεν
lacking you-might-bring defending killed
λᾶι βαλών· ἐπεὶ οὐ μὲν ἀφαυρότερός γ' ἐτέτυκτο,
with-stone striking since not indeed feebler indeed was
υἱωνὸς Φοίβοιο Λυκωρείοιο Κάφαυρος
grandson of-Phoebus Lycoreian Caphaurus
κούρης τ' αἰδοίης Ἀκακαλλίδος, ἥν ποτε Μίνως
of-maiden and modest Acacallis whom once Minos
ἐς Λιβύην ἀπένασσε θεοῦ βαρὺ κῦμα φέρουσαν,
to Libya sent-away-to-dwell of-god heavy burden bearing
θυγατέρα σφετέρην· ἡ δ' ἀγλαὸν υἱέα Φοίβῳ
daughter his-own she and splendid son to-Phoebus
τίκτεν, ὃν Ἀμφίθεμιν Γαράμαντά τε κικλήσκουσιν.
bore whom Amphithemis Garamas and they-call
Ἀμφίθεμις δ' ἄρ' ἔπειτα μίγη Τριτωνίδι νύμφῃ·
Amphithemis and then thereafter mingled with-Tritonian with-nymph
ἡ δ' ἄρα οἱ Νασάμωνα τέκεν κρατερόν τε Κάφαυρον,
she and then to-him Nasamon bore strong and Caphaurus

ὃς τότε Κάνθον ἔπεφνεν ἐπὶ ῥήνεσσιν ἑοῖσιν.
who then Canthus killed over sheep his-own
οὐδ' ὅγ' ἀριστήων χαλεπὰς ἠλεύατο χεῖρας,
nor he of-the-chiefs harsh escaped hands
ὡς μάθον οἷον ἔρεξε. νέκυν δ' ἀνάειραν ὀπίσσω
when they-learned what he-did corpse and lifted back
πευθόμενοι Μινύαι, γαίῃ δ' ἐνὶ ταρχύσαντο
learning Minyae earth and in buried
μυρόμενοι· τὰ δὲ μῆλα μετὰ σφέας οἵγ' ἐκόμισσαν.
weeping the and sheep with them they took
Ἔνθα καὶ Ἀμπυκίδην αὐτῷ ἐνὶ ἤματι Μόψον
There also son-of-Ampycus same in day Mopsus
νηλειὴς ἕλε πότμος· ἀδευκέα δ' οὐ φύγεν αἶσαν
pitiless seized fate bitter and not he-escaped doom
μαντοσύναις· οὐ γάρ τις ἀποτροπίη θανάτοιο.
by-divinations not for any averting of-death
κεῖτο δ' ἐπὶ ψαμάθοισι μεσημβρινὸν ἦμαρ ἀλύσκων
lay and on sands midday day shunning
δεινὸς ὄφις, νωθὴς μὲν ἑκὼν ἀέκοντα χαλέψαι·
dread serpent sluggish indeed willingly an-unwilling-one to-harm
οὐδ' ἂν ὑποτρέσσαντος ἐνωπαδὶς ἀίξειεν.
nor — of-one-shrinking face-to-face would-dart
ἀλλὰ μὲν ᾧ τὰ πρῶτα μελάγχιμον ἰὸν ἐνείη
but indeed into-whom the first black venom it-should-put
ζωόντων, ὅσα γαῖα φερέσβιος ἔμπνοα βόσκει,
of-living-things as-many-as earth life-giving breathing feeds
οὐδ' ὁπόσον πήχυιον ἐς Ἄιδα γίγνεται οἶμος,
nor as-much-as a-cubit to Hades becomes the-way
οὐδ' εἰ Παιήων, εἴ μοι θέμις ἀμφαδὸν εἰπεῖν,
nor if Paean if for-me right openly to-say

φαρμάσσοι, ὅτε μοῦνον ἐνιχρίμψῃσιν ὀδοῦσιν.
should-heal when only it-grazes with-teeth
εὖτε γὰρ ἰσόθεος Λιβύην ὑπερέπτατο Περσεὺς
when for godlike over-Libya flew Perseus
Εὐρυμέδων — καὶ γὰρ τὸ κάλεσκέ μιν οὔνομα μήτηρ —
Eurymedon also for this called him name mother
Γοργόνος ἀρτίτομον κεφαλὴν βασιλῆι κομίζων,
of-Gorgon newly-cut head to-the-king bringing
ὅσσαι κυανέου στάγες αἵματος οὖδας ἵκοντο,
as-many-as of-dark drops of-blood ground reached
αἱ πᾶσαι κείνων ὀφίων γένος ἐβλάστησαν.
they all of-those of-serpents race produced
τῷ δ' ἄκρην ἐπ' ἄκανθαν ἐνεστηρίξατο Μόψος
its and topmost on spine planted Mopsus
λαιὸν ἐπιπροφέρων ταρσὸν ποδός· αὐτὰρ ὁ μέσσην
left putting-forward sole of-foot but it middle
κερκίδα καὶ μυῶνα, πέριξ ὀδύνῃσιν ἑλιχθείς,
shin and muscle around with-pains coiling
σάρκα δακὼν ἐχάραξεν. ἀτὰρ Μήδεια καὶ ἄλλαι
flesh biting tore but Medea and other
ἔτρεσαν ἀμφίπολοι· ὁ δὲ φοίνιον ἕλκος ἄφασσεν
trembled handmaids he and bloody wound felt
θαρσαλέως, ἕνεκ' οὔ μιν ὑπέρβιον ἄλγος ἔτειρεν.
boldly since not him overwhelming pain distressed
σχέτλιος· ἦ τέ οἱ ἤδη ὑπὸ χροΐ δύετο κῶμα
wretched truly — in-him already under skin entered torpor
λυσιμελές, πολλὴ δὲ κατ' ὀφθαλμῶν χέετ' ἀχλύς.
limb-loosening much and down eyes was-poured mist

αὐτίκα δὲ κλίνας δαπέδῳ βεβαρηότα γυῖα
at-once and leaning on-ground heavy limbs
ψύχετ᾽ ἀμηχανίῃ· ἕταροι δέ μιν ἀμφαγέροντο
grew-cold helplessly comrades and him gathered-around
ἥρως τ᾽ Αἰσονίδης, ἀδινῇ περιθαμβέες ἄτῃ.
hero and son-of-Aeson at-heavy astonished at-ruin
οὐδὲ μὲν οὐδ᾽ ἐπὶ τυτθὸν ἀποφθίμενός περ ἔμελλεν
nor indeed even for little dead though he-was-to
κεῖσθαι ὑπ᾽ ἠελίῳ. πύθεσκε γὰρ ἔνδοθι σάρκας
to-lie under sun rotted for within flesh
ἰὸς ἄφαρ, μυδόωσα δ᾽ ἀπὸ χροὸς ἔρρεε λάχνη.
venom at-once moldering and from skin flowed hair
αἶψα δὲ χαλκείῃσι βαθὺν τάφον ἐξελάχαινον
quickly and with-bronze deep grave they-dug
ἐσσυμένως μακέλῃσιν· ἐμοιρήσαντο δὲ χαίτας
hastily with-mattocks cut and hair
αὐτοὶ ὁμῶς κοῦραί τε, νέκυν ἐλεεινὰ παθόντα
themselves alike maidens and the-corpse piteously having-suffered
μυρόμενοι· τρὶς δ᾽ ἀμφὶ σὺν ἔντεσι δινηθέντες
weeping thrice and around with arms circling
εὖ κτερέων ἴσχοντα, χυτὴν ἐπὶ γαῖαν ἔθεντο.
well of-burial-rites having heaped on earth they-set
Ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐπὶ νηὸς ἔβαν, πρήσοντος ἀήτεω
But when indeed then on ship they-went blowing wind
ἂμ πέλαγος νοτίοιο, πόρους τ᾽ ἀπετεκμήραντο
over sea of-south passages and they-tried-to-find
λίμνης ἐκπρομολεῖν Τριτωνίδος, οὔτινα μῆτιν
of-lake to-go-forth Tritonian no plan
δὴν ἔχον, ἀφραδέως δὲ πανημέριοι φορέοντο.
long they-had aimlessly and all-day they-were-borne

ὡς δὲ δράκων σκολιὴν εἰλιγμένος ἔρχεται οἶμον,
as and serpent crooked coiling goes way
εὖτέ μιν ὀξύτατον θάλπει σέλας ἠελίοιο·
when him sharpest heats blaze of-sun
ῥοίζῳ δ' ἔνθα καὶ ἔνθα κάρη στρέφει, ἐν δέ οἱ ὄσσε
with-hissing and here and there head turns in and to-him eyes
σπινθαρύγεσσι πυρὸς ἐναλίγκια μαιμώοντι
to-sparks of-fire like raging
λάμπεται, ὄφρα μυχόνδε διὰ ῥωχμοῖο δύηται·
shine until to-its-lair through cleft it-enters
ὣς Ἀργὼ λίμνης στόμα ναύπορον ἐξερέουσα
so Argo of-lake mouth navigable seeking
ἀμφεπόλει δηναιὸν ἐπὶ χρόνον. αὐτίκα δ' Ὀρφεὺς
wandered-about long for time at-once and Orpheus
κέκλετ' Ἀπόλλωνος τρίποδα μέγαν ἔκτοθι νηὸς
bade of-Apollo tripod great outside of-ship
δαίμοσιν ἐγγενέταις νόστῳ ἔπι μείλια θέσθαι.
to-divinities native return for propitiation to-set
καὶ τοὶ μὲν Φοίβου κτέρας ἵδρυον ἐν χθονὶ βάντες·
and they indeed of-Phoebus gift set-up on land going
τοῖσιν δ' αἰζηῷ ἐναλίγκιος ἀντεβόλησεν
to-them and to-a-young-man like met
Τρίτων εὐρυβίης, γαίης δ' ἀνὰ βῶλον ἀείρας
Triton wide-ruling of-earth and up clod lifting
ξείνι' ἀριστήεσσι προΐσχετο, φώνησέν τε·
gift-of-hospitality to-the-chiefs held-out spoke and
"Δέχθε, φίλοι· ἐπεὶ οὐ περιώσιον ἐγγυαλίξαι
Receive friends since not abundant to-give
ἐνθάδε νῦν πάρ' ἐμοὶ ξεινήιον ἀντομένοισιν.
here now with me gift-of-hospitality to-the-meeters

εἰ δέ τι τῆσδε πόρους μαίεσθ' ἁλός, οἷά τε πολλὰ
if and some of-this passages you-seek of-sea as — many
ἄνθρωποι χατέουσιν ἐν ἀλλοδαπῇ περόωντες,
men want in foreign crossing
ἐξερέω. δὴ γάρ με πατὴρ ἐπιίστορα πόντου
I-will-tell indeed for me father acquainted of-sea
θῆκε Ποσειδάων τοῦδ' ἔμμεναι. αὐτὰρ ἀνάσσω
made Poseidon of-this to-be but I-rule
παρραλίης, εἰ δή τιν' ἀκούετε νόσφιν ἐόντες
coast if indeed some you-hear far being
Εὐρύπυλον Λιβύῃ θηροτρόφῳ ἐγγεγαῶτα."
Eurypylus in-Libya beast-nurturing born
Ὣς ηὔδα· πρόφρων δ' ὑπερέσχεθε βώλακι χεῖρας
So he-spoke eagerly and held-out to-the-clod hands
Εὔφημος, καὶ τοῖα παραβλήδην προσέειπεν·
Euphemus and such in-reply addressed
"Ἀπίδα καὶ πέλαγος Μινώιον εἴ νύ που, ἥρως,
Apis and sea Minoan if now somewhere hero
ἐξεδάης, νημερτὲς ἀνειρομένοισιν ἔνισπε.
you-have-learned truly to-the-askers tell
δεῦρο γὰρ οὐκ ἐθέλοντες ἱκάνομεν, ἀλλὰ βαρείαις
here for not willing we-come but by-heavy
χρίμψαντες γαίης ἐπὶ πείρασι τῆσδε θυέλλαις
grazing of-land at limits of-this by-storms
νῆα μεταχρονίην ἐκομίσσαμεν ἐς τόδε λίμνης
ship aloft we-carried to this of-lake
χεῦμα δι' ἠπείρου βεβαρημένοι· οὐδέ τι ἴδμεν,
stream through mainland weighed-down nor anything do-we-know
πῇ πλόος ἐξανέχει Πελοπηίδα γαῖαν ἱκέσθαι."
where voyage rises Peloponnesian land to-reach

Ὣς ἄρ᾽ ἔφη· ὁ δὲ χεῖρα τανύσσατο, δείξε δ᾽ ἄπωθεν
So then he-spoke he and hand stretched showed and far-off
φωνήσας πόντον τε καὶ ἀγχιβαθὲς στόμα λίμνης·
speaking sea both and deep-near-shore mouth of-lake
“Κείνη μὲν πόντοιο διήλυσις, ἔνθα μάλιστα
That indeed of-sea outlet where most
βένθος ἀκίνητον μελανεῖ· ἑκάτερθε δὲ λευκαὶ
depth unmoving is-dark on-each-side and white
ῥηγμῖνες φρίσσουσι διαυγέες· ἡ δὲ μεσηγὺ
breakers bristle bright it and between
ῥηγμίνων στεινὴ τελέθει ὁδὸς ἐκτὸς ἐλάσσαι.
of-breakers narrow is road outside to-drive
κεῖνο δ᾽ ὑπηέριον θείην Πελοπηίδα γαῖαν
that and misty divine Peloponnesian land
εἰσανέχει πέλαγος Κρήτης ὕπερ· ἀλλ᾽ ἐπὶ χειρὸς
rises-toward sea of-Crete beyond but on hand
δεξιτερῆς, λίμνηθεν ὅτ᾽ εἰς ἁλὸς οἶδμα βάλητε,
right from-the-lake when into of-sea swell you-cast
τόφρ᾽ αὐτὴν παρὰ χέρσον ἐεργμένοι ἰθύνεσθε,
so-long the-very by land kept-in steer
ἔστ᾽ ἂν ἄνω τείνῃσι· περιρρήδην δ᾽ ἑτέρωσε
until — upward it-stretches round-about and the-other-way
κλινομένης χέρσοιο, τότε πλόος ὔμμιν ἀπήμων
turning of-the-land then voyage for-you harmless
ἀγκῶνος τέτατ᾽ ἰθὺς ἀπὸ προύχοντος ἰοῦσιν.
the-headland stretches straight from jutting for-the-going-ones
ἀλλ᾽ ἴτε γηθόσυνοι, καμάτοιο δὲ μήτις ἀνίη
but go joyful of-toil and no grief
γιγνέσθω, νεότητι κεκασμένα γυῖα μογῆσαι.”
let-be in-youth excelling limbs to-toil

Ἴσκεν ἐυφρονέων· οἱ δ' αἶψ' ἐπὶ νηὸς ἔβησαν
He-spoke kindly they and quickly on ship went
λίμνης ἐκπρομολεῖν λελιημένοι εἰρεσίῃσιν.
of-lake to-go-forth eager with-oars
καὶ δὴ ἐπιπρονέοντο μεμαότες· αὐτὰρ ὁ τείως
and indeed went-forward eager but he meanwhile
Τρίτων ἀνθέμενος τρίποδα μέγαν, εἴσατο λίμνην
Triton taking-up tripod great seemed lake
εἰσβαίνειν· μετὰ δ' οὔτις ἐσέδρακεν, οἷον ἄφαντος
to-enter after and no-one saw how unseen
αὐτῷ σὺν τρίποδι σχεδὸν ἔπλετο. τοῖσι δ' ἰάνθη
the-very with tripod near became their and was-warmed
θυμός, ὃ δὴ μακάρων τις ἐναίσιμος ἀντεβόλησεν.
heart that indeed of-the-blessed some auspicious had-met
καί ῥά οἱ Αἰσονίδην μήλων ὅ τι φέρτατον ἄλλων
and then him son-of-Aeson of-sheep which any best of-others
ἤνωγον ῥέξαι καὶ ἐπευφημῆσαι ἑλόντα.
they-bade to-sacrifice and to-pray-over having-chosen
αἶψα δ' ὅγ' ἐσσυμένως ἐκρίνατο, καί μιν ἀείρας
quickly and he hastily chose and it lifting
σφάξε κατὰ πρύμνης, ἐπὶ δ' ἔννεπεν εὐχωλῇσιν·
slew at stern upon and spoke with-prayers
"Δαῖμον, ὅτις λίμνης ἐπὶ πείρασι τῆσδ' ἐφαάνθης,
Deity who-ever of-lake at limits of-this you-appeared
εἴτε σέγε Τρίτων', ἅλιον τέρας, εἴτε σε Φόρκυν,
whether you Triton of-the-sea portent or you Phorcys
ἢ Νηρῆα θύγατρες ἐπικλείουσ' ἁλοσύδναι,
or Nereus daughters call sea-born
ἵλαθι, καὶ νόστοιο τέλος θυμηδὲς ὄπαζε."
be-gracious and of-return end heart-pleasing grant

Ἦ ῥ᾽, ἅμα δ᾽ εὐχωλῇσιν ἐς ὕδατα λαιμοτομήσας
He-spoke then together and with-prayers into waters having-cut-the-throat
ἧκε κατὰ πρύμνης· ὁ δὲ βένθεος ἐξεφαάνθη
threw from stern he and from-depth appeared
τοῖος ἐών, οἷός περ ἐτήτυμος ἦεν ἰδέσθαι.
such being as indeed true was to-see
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ θοὸν ἵππον ἐπ᾽ εὐρέα κύκλον ἀγῶνος
as and when man swift horse over wide ring of-contest
στέλλῃ, ὀρεξάμενος λασίης εὐπειθέα χαίτης,
leads grasping of-shaggy obedient of-mane
εἶθαρ ἐπιτροχάων, ὁ δ᾽ ἐπ᾽ αὐχένι γαῦρος ἀερθεὶς
straightway running-beside it and on neck proudly raised
ἕσπεται, ἀργινόεντα δ᾽ ἐνὶ στομάτεσσι χαλινὰ
follows gleaming and in mouths bits
ἀμφὶς ὀδακτάζοντι παραβλήδην κροτέονται·
on-both-sides champing clashing-alongside sound
ὣς ὅγ᾽ ἐπισχόμενος γλαφυρῆς ὁλκήιον Ἀργοῦς
so he holding of-hollow keel of-Argo
ἦγ᾽ ἄλαδε προτέρωσε. δέμας δέ οἱ ἐξ ὑπάτοιο
led to-sea forward body and to-him from topmost
κράατος, ἀμφί τε νῶτα καὶ ἰξύας ἔστ᾽ ἐπὶ νηδὺν
head around both back and waist until to belly
ἀντικρὺ μακάρεσσι φυὴν ἔκπαγλον ἔικτο·
right to-the-blessed in-form wonderfully was-like

αὐτὰρ ὑπαὶ λαγόνων δίκραιρά οἱ ἔνθα καὶ ἔνθα
but under flanks forked to-him here and there
κήτεος ὀλκαίη μηκύνετο· κόπτε δ' ἀκάνθαις
of-sea-monster tail lengthened struck and with-spines
ἄκρον ὕδωρ, αἵ τε σκολιοῖς ἐπινειόθι κέντροις
top water which — crooked below with-points
μήνης ὡς κεράεσσιν ἐειδόμεναι διχόωντο.
of-moon like with-horns resembling divided
τόφρα δ' ἄγεν, τείως μιν ἐπιπροέηκε θαλάσσῃ
so-long and led until her sent-forth to-sea
νισσομένην· δῦ δ' αἶψα μέγαν βυθόν· οἱ δ' ὁμάδησαν
going plunged and quickly great depth they and shouted
ἥρωες, τέρας αἰνὸν ἐν ὀφθαλμοῖσιν ἰδόντες.
heroes portent dread in eyes seeing
ἔνθα μὲν Ἀργῷός τε λιμὴν καὶ σήματα νηὸς
there indeed of-Argo both harbor and signs of-ship
ἠδὲ Ποσειδάωνος ἰδὲ Τρίτωνος ἔασιν
and of-Poseidon and of-Triton are
βωμοί· ἐπεὶ κεῖν' ἦμαρ ἐπέσχεθον. αὐτὰρ ἐς ἠῶ
altars since that day they-stayed but at dawn
λαίφεσι πεπταμένοις αὐτὴν ἐπὶ δεξί' ἔχοντες
with-sails with-spread itself on right having
γαῖαν ἐρημαίην, πνοιῇ ζεφύροιο θέεσκον.
land desert by-breath of-west-wind they-ran
ἦρι δ' ἔπειτ' ἀγκῶνά θ' ὁμοῦ μυχάτην τε θάλασσαν
at-morning and then headland both together inmost and sea
κεκλιμένην ἀγκῶνος ὕπερ προύχοντος ἴδοντο.
lying headland beyond jutting they-saw

αὐτίκα δὲ ζέφυρος μὲν ἐλώφεεν, ἤλυθε δ' αὔρη
at-once and west-wind indeed ceased came and breeze
ἀργέσταο νότου· κεχάροντο δὲ θυμὸν ἰωῇ.
of-bright south they-rejoiced and in-heart at-the-sound
ἦμος δ' ἠέλιος μὲν ἔδυ, ἀνὰ δ' ἤλυθεν ἀστὴρ
when and sun indeed sank up and came star
αὔλιος, ὅς τ' ἀνέπαυσεν ὀιζυροὺς ἀροτῆρας,
of-the-fold which — gives-rest wretched plowmen
δὴ τότ' ἔπειτ' ἀνέμοιο κελαινῇ νυκτὶ λιπόντος
indeed then then of-wind in-black in-night leaving
ἱστία λυσάμενοι περιμήκεά τε κλίναντες
sails loosing tall and lowering
ἱστόν, ἐυξέστῃσιν ἐπερρώοντ' ἐλάτῃσιν
mast with-well-polished they-plied with-oars
παννύχιοι καὶ ἐπ' ἦμαρ, ἐπ' ἤματι δ' αὖτις ἰοῦσαν
all-night and through day for day and in-turn coming
νύχθ' ἑτέρην. ὑπέδεκτο δ' ἀπόπροθι παιπαλόεσσα
night next received and far-off rugged
Κάρπαθος· ἔνθεν δ' οἵγε περαιώσεσθαι ἔμελλον
Carpathus thence and they to-cross were-to
Κρήτην, ἥ τ' ἄλλων ὑπερέπλετο εἰν ἁλὶ νήσων.
Crete which — other surpassed in sea islands

Talos, the bronze giant of Crete, hurls rocks to keep them from landing, but Medea bewitches him with her evil eye and he grazes his ankle and bleeds to death. In a night of black darkness Apollo shows them the island of Anaphe. Euphemus' clod becomes the island of Thera, and after the water-carrying contest at Aegina, the heroes reach Pagasae.

Τοὺς δὲ Τάλως χάλκειος, ἀπὸ στιβαροῦ σκοπέλοιο
Them and Talos of-bronze from sturdy crag
ῥηγνύμενος πέτρας, εἶργε χθονὶ πείσματ' ἀνάψαι,
breaking-off rocks kept-from to-land cables to-fasten
Δικταίην ὅρμοιο κατερχομένους ἐπιωγήν.
Dictaean of-anchorage coming-into shelter
τὸν μὲν χαλκείης μελιηγενέων ἀνθρώπων
him indeed of-bronze of-ash-sprung of-men
ῥίζης λοιπὸν ἐόντα μετ' ἀνδράσιν ἡμιθέοισιν
of-the-root remaining being among men demigods
Εὐρώπῃ Κρονίδης νήσου πόρεν ἔμμεναι οὖρον,
to-Europa son-of-Cronus of-the-island gave to-be warder
τρὶς περὶ χαλκείοις Κρήτην ποσὶ δινεύοντα.
thrice around with-bronze Crete with-feet circling
ἀλλ' ἤτοι τὸ μὲν ἄλλο δέμας καὶ γυῖα τέτυκτο
but truly-indeed the indeed other body and limbs was
χάλκεος ἠδ' ἄρρηκτος· ὑπαὶ δέ οἱ ἔσκε τένοντος
bronze and unbreakable beneath and to-him was of-the-sinew
σύριγξ αἱματόεσσα κατὰ σφυρόν· αὐτὰρ ὁ τήνγε
vein bloody by ankle but the it
λεπτὸς ὑμήν, ζωῆς, ἔχε, πείρατα καὶ θανάτοιο.
thin membrane of-life held limits and of-death

οἱ δέ, δύῃ μάλα περ δεδμημένοι, αἶψ᾽ ἀπὸ χέρσου
they and by-woe very though overcome quickly from land
νῆα περιδδείσαντες ἀνακρούεσκον ἐρετμοῖς.
ship greatly-fearing backed with-oars
καί νύ κ᾽ ἐπισμυγερῶς Κρήτης ἑκὰς ἠέρθησαν,
and now — miserably from-Crete far would-have-been-borne
ἀμφότερον δίψῃ τε καὶ ἄλγεσι μοχθίζοντες,
both by-thirst both and by-pains laboring
εἰ μή σφιν Μήδεια λιαζομένοις ἀγόρευσεν·
if not to-them Medea turning-away spoke
"Κέκλυτέ μευ. μούνη γὰρ ὀίομαι ὔμμι δαμάσσειν
Hear me alone for I-think for-you to-be-going-to-subdue
ἄνδρα τόν, ὅστις ὅδ᾽ ἐστί, καὶ εἰ παγχάλκεον ἴσχει
man that whoever this is even if all-bronze has
ὃν δέμας, ὁππότε μή οἱ ἐπ᾽ ἀκάματος πέλοι αἰών.
his-own body when not to-him upon unwearied be life
ἀλλ᾽ ἔχετ᾽ αὐτοῦ νῆα θελήμονες ἐκτὸς ἐρωῆς
but hold here ship willing out-of the-cast
πετράων, εἵως κεν ἐμοὶ εἴξειε δαμῆναι."
of-rocks until — to-me he-yield to-be-overcome
Ὣς ἄρ᾽ ἔφη· καὶ τοὶ μὲν ὑπὲκ βελέων ἐρύσαντο
So then she-spoke and they indeed out-of missiles drew
νῆ᾽ ἐπ᾽ ἐρετμοῖσιν, δεδοκημένοι ἥντινα ῥέξει
ship on oars waiting what she-will-do
μῆτιν ἀνωίστως· ἡ δὲ πτύχα πορφυρέοιο
plan unexpectedly she and fold of-purple

προσχομένη πέπλοιο παρειάων ἑκάτερθεν
holding-before of-robe of-cheeks on-each-side
βήσατ' ἐπ' ἰκριόφιν· χειρὸς δέ ἑ χειρὶ μεμαρπὼς
went on deck of-hand and her by-hand grasping
Αἰσονίδης ἐκόμιζε διὰ κληῖδας ἰοῦσαν.
son-of-Aeson led through benches going
ἔνθα δ' ἀοιδῇσιν μειλίσσετο, μέλπε δὲ Κῆρας
there and with-songs propitiated sang and Fates
θυμοβόρους, Ἀΐδαο θοὰς κύνας, αἳ περὶ πᾶσαν
heart-devouring of-Hades swift hounds who around all
ἠέρα δινεύουσαι ἐπὶ ζωοῖσιν ἄγονται.
air whirling on living-men are-led
τὰς γουναζομένη τρὶς μὲν παρεκέκλετ' ἀοιδαῖς,
them supplicating thrice indeed invoked with-songs
τρὶς δὲ λιταῖς· θεμένη δὲ κακὸν νόον, ἐχθοδοποῖσιν
thrice and with-prayers setting and evil mind with-hostile
ὄμμασι χαλκείοιο Τάλω ἐμέγηρεν ὀπωπάς·
with-eyes of-bronze of-Talos she-bewitched the-eyes
λευγαλέον δ' ἐπὶ οἱ πρῖεν χόλον, ἐκ δ' ἀΐδηλα
baneful and against him gnashed wrath out and unseen
δείκηλα προΐαλλεν, ἐπιζάφελον κοτέουσα.
phantoms sent-forth furiously raging

Ζεῦ πάτερ, ἦ μέγα δή μοι ἐνὶ φρεσὶ θάμβος ἄηται,
Zeus father truly great indeed to-me in heart wonder blows
εἰ δὴ μὴ νούσοισι τυπῇσί τε λυγρὸς ὄλεθρος
if indeed not by-diseases by-wounds and baneful destruction
ἀντιάει, καὶ δή τις ἀπόπροθεν ἄμμε χαλέπτει.
comes even indeed some from-afar us harms

ὣς ὅγε χάλκειός περ ἐὼν ὑπόειξε δαμῆναι
so he bronze though being yielded to-be-overcome
Μηδείης βρίμῃ πολυφαρμάκου. ἂν δὲ βαρείας
of-Medea to-the-might much-drugging up and heavy
ὀχλίζων λάιγγας, ἐρυκέμεν ὅρμον ἱκέσθαι,
heaving stones to-keep-off anchorage to-reach
πετραίῳ στόνυχι χρίμψε σφυρόν· ἐκ δέ οἱ ἰχὼρ
on-rocky on-point grazed ankle out and of-him ichor
τηκομένῳ ἴκελος μολίβῳ ῥέεν· οὐδ' ἔτι δηρὸν
to-melting like to-lead flowed nor longer long
εἱστήκει προβλῆτος ἐπεμβεβαὼς σκοπέλοιο.
stood of-jutting standing-on crag
ἀλλ' ὥς τίς τ' ἐν ὄρεσσι πελωρίη ὑψόθι πεύκη,
but as some — in mountains huge high pine
τήν τε θοοῖς πελέκεσσιν ἔθ' ἡμιπλῆγα λιπόντες
which — with-swift with-axes still half-hewn leaving
ὑλοτόμοι δρυμοῖο κατήλυθον· ἡ δ' ὑπὸ νυκτὶ
woodcutters from-the-forest went-down it and under night
ῥιπῇσιν μὲν πρῶτα τινάσσεται, ὕστερον αὖτε
by-gusts indeed first is-shaken afterward in-turn
πρυμνόθεν ἐξαγεῖσα κατήριπεν· ὣς ὅγε ποσσὶν
from-the-root snapped falls so he on-feet
ἀκαμάτοις τείως μὲν ἐπισταδὸν ᾐωρεῖτο,
on-tireless for-a-while indeed standing swayed
ὕστερον αὖτ' ἀμενηνὸς ἀπείρονι κάππεσε δούπῳ.
afterward in-turn strengthless with-boundless fell with-crash

κεῖνο μὲν οὖν Κρήτῃ ἐνὶ δὴ κνέφας ηὐλίζοντο
that indeed then Crete in indeed darkness they-camped
ἥρωες· μετὰ δ' οἵγε νέον φαέθουσαν ἐς ἠῶ
heroes after and they newly shining at dawn
ἱρὸν Ἀθηναίης Μινωίδος ἱδρύσαντο,
shrine of-Athena Minoan set-up
ὕδωρ τ' εἰσαφύσαντο καὶ εἰσέβαν, ὥς κεν ἐρετμοῖς
water both drew and embarked so-that — with-oars
παμπρώτιστα βάλοιεν ὑπὲρ Σαλμωνίδος ἄκρης.
very-first they-might-round above Salmonian headland
Αὐτίκα δὲ Κρηταῖον ὑπὲρ μέγα λαῖτμα θέοντας
At-once and Cretan over great gulf running
νὺξ ἐφόβει, τήνπερ τε κατουλάδα κικλήσκουσιν·
night terrified which — Pall they-call
νύκτ' ὀλοὴν οὐκ ἄστρα διίσχανεν, οὐκ ἀμαρυγαὶ
night baneful not stars pierced not beams
μήνης· οὐρανόθεν δὲ μέλαν χάος, ἠέ τις ἄλλη
of-moon from-heaven and black chaos or some other
ὠρώρει σκοτίη μυχάτων ἀνιοῦσα βερέθρων.
rose darkness inmost rising from-pits
αὐτοὶ δ', εἴτ' Ἀΐδῃ, εἴθ' ὕδασιν ἐμφορέοντο,
themselves and whether in-Hades or on-waters they-were-borne
ἠείδειν οὐδ' ὅσσον· ἐπέτρεψαν δὲ θαλάσσῃ
knew not-even as-much-as entrusted and to-sea
νόστον, ἀμηχανέοντες, ὅπῃ φέροι. αὐτὰρ Ἰήσων
return helpless wherever it-might-bear but Jason
χεῖρας ἀνασχόμενος μεγάλῃ ὀπὶ Φοῖβον ἀΰτει,
hands raising with-great with-voice Phoebus called

ῥύσασθαι καλέων· κατὰ δ' ἔρρεεν ἀσχαλόωντι
to-rescue calling down and flowed for-the-distressed
δάκρυα· πολλὰ δὲ Πυθοῖ ὑπέσχετο, πολλὰ δ' Ἀμύκλαις,
tears many and at-Pytho he-promised many and at-Amyclae
πολλὰ δ' ἐς Ὀρτυγίην ἀπερείσια δῶρα κομίσσειν.
many and to Ortygia boundless gifts to-be-going-to-bring
Λητοΐδη, τύνη δὲ κατ' οὐρανοῦ ἵκεο πέτρας
son-of-Leto you and down from-heaven came the-rocks
ῥίμφα Μελαντίους ἀριήκοος, αἵ τ' ἐνὶ πόντῳ
swiftly Melantian quick-to-hear which — in sea
ἧνται· δοιάων δὲ μιῆς ἐφύπερθεν ὀρούσας,
lie of-two and one above leaping
δεξιτερῇ χρύσειον ἀνέσχεθες ὑψόθι τόξον·
in-right golden held-up high bow
μαρμαρέην δ' ἀπέλαμψε βιὸς περὶ πάντοθεν αἴγλην.
dazzling and shone-forth bow around from-all-sides gleam
τοῖσι δέ τις Σποράδων βαιὴ ἀπὸ τόφρ' ἐφαάνθη
to-them and a of-Sporades small apart then appeared
νῆσος ἰδεῖν, ὀλίγης Ἱππουρίδος ἀντία νήσου,
island to-see of-little of-Hippuris opposite island
ἔνθ' εὐνὰς ἐβάλοντο καὶ ἔσχεθον· αὐτίκα δ' ἠὼς
there anchors cast and stayed at-once and dawn
φέγγεν ἀνερχομένη· τοὶ δ' ἀγλαὸν Ἀπόλλωνι
shone rising they and splendid to-Apollo
ἄλσει ἐνὶ σκιερῷ τέμενος σκιόεντά τε βωμὸν
grove in shady precinct shady and altar

ποίεον, Αἰγλήτην μὲν ἐυσκόπου εἵνεκεν αἴγλης
made Gleamer indeed of-far-seen for-the-sake of-gleam
Φοῖβον κεκλόμενοι· Ἀνάφην δέ τε λισσάδα νῆσον
Phoebus calling Anaphe and — smooth island
ἴσκον, ὃ δὴ Φοῖβός μιν ἀτυζομένοις ἀνέφηνεν.
called because indeed Phoebus it for-the-distraught revealed
ῥέζον δ' ὅσσα περ ἄνδρες ἐρημαίῃ ἐνὶ ῥέζειν
sacrificed and whatever indeed men desert in to-sacrifice
ἀκτῇ ἐφοπλίσσειαν· ὃ δή σφεας ὁππότε δαλοῖς
shore could-provide therefore indeed them when with-brands
ὕδωρ αἰθομένοισιν ἐπιλλείβοντας ἴδοντο
water on-burning pouring saw
Μηδείης δμωαὶ Φαιηκίδες, οὐκέτ' ἔπειτα
of-Medea maids Phaeacian no-longer then
ἴσχειν ἐν στήθεσσι γέλω σθένον, οἷα θαμειὰς
to-hold in breasts laughter could as frequent
αἰὲν ἐν Ἀλκινόοιο βοοκτασίας ὁρόωσαι.
ever in of-Alcinous slaughters-of-oxen seeing
τὰς δ' αἰσχροῖς ἤρωες ἐπεστοβέεσκον ἔπεσσιν
them and with-shameful heroes taunted with-words
χλεύῃ γηθόσυνοι· γλυκερὴ δ' ἀνεδαίετο τοῖσιν
with-jeering joyful sweet and was-kindled among-them
κερτομίη καὶ νεῖκος ἐπεσβόλον. ἐκ δέ νυ κείνης
mockery and quarrel abusive out and now that
μολπῆς ἡρώων νήσῳ ἔνι τοῖα γυναῖκες
sport of-heroes island in thus women
ἀνδράσι δηριόωνται, ὅτ' Ἀπόλλωνα θυηλαῖς
with-men contend when Apollo with-sacrifices
Αἰγλήτην Ἀνάφης τιμήορον ἱλάσκωνται.
Gleamer of-Anaphe guardian they-propitiate

Ἀλλ᾽ ὅτε δὴ κἀκεῖθεν ὑπεύδια πείσματ᾽ ἔλυσαν,
But when indeed also-thence in-fair-weather cables they-loosed
μνήσατ᾽ ἔπειτ᾽ Εὔφημος ὀνείρατος ἐννυχίοιο,
remembered then Euphemus dream nightly
ἁζόμενος Μαίης υἷα κλυτόν. εἴσατο γάρ οἱ
revering of-Maia son famous seemed for to-him
δαιμονίη βῶλαξ ἐπιμάστιος ᾧ ἐν ἀγοστῷ
divine clod at-his-breast his in arm
ἄρδεσθαι λευκῇσιν ὑπὸ λιβάδεσσι γάλακτος,
to-be-watered white under drops of-milk
ἐκ δὲ γυνὴ βώλοιο πέλειν ὀλίγης περ ἐούσης
out and woman the-clod to-become little though being
παρθενικῇ ἰκέλη· μίχθη δέ οἱ ἐν φιλότητι
to-maiden like mingled and with-her in love
ἄσχετον ἱμερθείς· ὀλοφύρετο δ᾽ ἠύτε κούρην
irresistibly desiring lamented and as-if maiden
ζευξάμενος, τήν τ᾽ αὐτὸς ἑῷ ἀτίταλλε γάλακτι·
having-yoked her and himself with-his-own nursed with-milk
ἡ δέ ἑ μειλιχίοισι παρηγορέεσκ᾽ ἐπέεσσιν·
she and him with-gentle comforted with-words
“Τρίτωνος γένος εἰμί, τεῶν τροφός, ὦ φίλε, παίδων,
Of-Triton race I-am of-your nurse O friend of-children
οὐ κούρη· Τρίτων γὰρ ἐμοὶ Λιβύη τε τοκῆες.
not daughter Triton for to-me Libya and parents
ἀλλά με Νηρῆος παρακάτθεο παρθενικῇσιν
but me of-Nereus entrust to-maidens
ἂμ πέλαγος ναίειν Ἀνάφης σχεδόν· εἶμι δ᾽ ἐς αὐγὰς
in sea to-dwell of-Anaphe near I-will-go and into rays
ἠελίου μετόπισθε, τεοῖς νεπόδεσσιν ἑτοίμη.”
of-sun hereafter for-your for-offspring ready

Τῶν ἄρ᾽ ἐπὶ μνῆστιν κραδίῃ βάλεν, ἔκ τ᾽ ὀνόμηνεν
Of-these then upon memory in-heart cast out and named-it
Αἰσονίδῃ· ὁ δ᾽ ἔπειτα θεοπροπίας Ἑκάτοιο
to-the-son-of-Aeson he and then prophecies of-the-Far-Shooter
θυμῷ πεμπάζων ἀνενείκατο φώνησέν τε·
in-heart pondering drew-up spoke and
“ Ὦ πέπον, ἦ μέγα δή σε καὶ ἀγλαὸν ἔμμορε κῦδος.
O friend truly great indeed you and splendid has-fallen glory
βώλακα γὰρ τεύξουσι θεοὶ πόντονδε βαλόντι
clod for will-make gods into-the-sea for-you-having-cast
νῆσον, ἵν᾽ ὁπλότεροι παίδων σέθεν ἐννάσσονται
island where younger of-children your will-dwell
παῖδες· ἐπεὶ Τρίτων ξεινήιον ἐγγυάλιξεν
children since Triton gift-of-hospitality handed
τήνδε τοι ἠπείροιο Λιβυστίδος. οὔ νύ τις ἄλλος
this to-you from-mainland Libyan not now any other
ἀθανάτων, ἢ κεῖνος, ὅ μιν πόρεν ἀντιβολήσας.”
of-immortals than he who it gave meeting
Ὣς ἔφατ᾽· οὐδ᾽ ἀλίωσεν ὑπόκρισιν Αἰσονίδαο
So he-spoke nor made-vain the-answer of-the-son-of-Aeson
Εὔφημος· βῶλον δέ, θεοπροπίῃσιν ἰανθείς,
Euphemus clod and by-the-prophecies cheered
ἧκεν ὑποβρυχίην. τῆς δ᾽ ἔκτοθι νῆσος ἀέρθη
threw under-the-water it and outside island rose
Καλλίστη, παίδων ἱερὴ τροφὸς Εὐφήμοιο,
Calliste of-children holy nurse of-Euphemus
οἳ πρὶν μέν ποτε δὴ Σιντηίδα Λῆμνον ἔναιον,
who before indeed once indeed Sintian Lemnos dwelt

Λήμνου τ᾽ ἐξελαθέντες ὑπ᾽ ἀνδράσι Τυρσηνοῖσιν
from-Lemnos and driven-out by men Tyrrhenian
Σπάρτην εἰσαφίκανον ἐφέστιοι· ἐκ δὲ λιπόντας
Sparta reached settlers out and leaving
Σπάρτην Αὐτεσίωνος ἐὺς πάις ἤγαγε Θήρας
Sparta of-Autesion noble son led Theras
Καλλίστην ἐπὶ νῆσον, ἀμείψατο δ᾽ οὔνομα Θήρης
Calliste to island changed and name of-Theras
ἐξ ἕθεν. ἀλλὰ τὰ μὲν μετόπιν γένετ᾽ Εὐφήμοιο.
from him but these indeed afterward happened of-Euphemus
Κεῖθεν δ᾽ ἀπτερέως διὰ μυρίον οἶδμα λιπόντες
Thence and swiftly through boundless swell leaving
Αἰγίνης ἀκτῇσιν ἐπέσχεθον· αἶψα δὲ τοίγε
of-Aegina on-shores they-landed quickly and they
ὑδρείης πέρι δῆριν ἀμεμφέα δηρίσαντο,
water-drawing about contest blameless contended
ὅς κεν ἀφυσσάμενος φθαίη μετὰ νῆάδ᾽ ἱκέσθαι.
who — having-drawn might-be-first to the-ship to-reach
ἄμφω γὰρ χρειώ τε καὶ ἄσπετος οὖρος ἔπειγεν.
both for need both and boundless breeze urged
ἔνθ᾽ ἔτι νῦν πλήθοντας ἐπωμαδὸν ἀμφιφορῆας
there still now full on-the-shoulder jars
ἀνθέμενοι κούφοισιν ἄφαρ κατ᾽ ἀγῶνα πόδεσσιν
having-taken with-light at-once in contest with-feet
κοῦροι Μυρμιδόνων νίκης πέρι δηριόωνται.
youths of-Myrmidons victory for strive
Ἵλατ᾽ ἀριστήων μακάρων γένος· αἵδε δ᾽ ἀοιδαὶ
Be-gracious of-chiefs of-blessed race these and songs
εἰς ἔτος ἐξ ἔτεος γλυκερώτεραι εἶεν ἀείδειν
to year from year sweeter may-be to-sing

ἀνθρώποις. ἤδη γὰρ ἐπὶ κλυτὰ πείραθ' ἱκάνω
for-men already for to famous ends I-come
ὑμετέρων καμάτων· ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος
of-your of-toils since not now any for-you contest
αὖτις ἀπ' Αἰγίνηθεν ἀνερχομένοισιν ἐτύχθη,
again from Aegina coming-home occurred
οὔτ' ἀνέμων ἐριωλαὶ ἐνέσταθεν· ἀλλὰ ἕκηλοι
nor of-winds storms stood-against but quietly
γαίην Κεκροπίην παρά τ' Αὐλίδα μετρήσαντες
land Cecropian by and Aulis measuring
Εὐβοίης ἔντοσθεν Ὀπούντιά τ' ἄστεα Λοκρῶν
of-Euboea within Opuntian and cities of-Locrians
ἀσπασίως ἀκτὰς Παγασηίδας εἰσαπέβητε.
gladly shores Pagasaean you-stepped-onto